ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἢ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ

καὶ σπανίων ἑλληνικῶν συγγραφῶν περὶ τῶν κατὰ τὴν Ἑῴαν
ὀρθοδόξων ἐκκλησιῶν καὶ μάλιστα τῆς τῶν Παλαιστινῶν

ΣΥΛΛΕΓΕΝΤΑ ΜΕΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΑ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

ἐκτυπούμενα δὲ ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ

4.

Bibliotheca
universitatis
Jurievensis.

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

Ἐκ τοῦ τυπογραφείου Β. Κιρσπάουμ.

1897

ΑΝΑΛΕΚΤΑ

ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΣΤΑΧΥΟΛΟΓΙΑΣ

ἤ

ΣΥΛΛΟΓΗ ΑΝΕΚΔΟΤΩΝ ΚΑΙ ΣΠΑΝΙΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΣΥΓΓΡΑΦΩΝ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΩΑΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΩΝ

ΚΑΙ ΜΑΛΙΣΤΑ ΤΗΣ ΤΩΝ ΠΑΛΑΙΣΤΙΝΩΝ.

ΠΡΟΛΟΓΟΣ.

Τῶν ἀναλέκτων ὁ τέταρτος οὗτοσὶ τόμος ἤρξατο, καθὰ καὶ ὁ πρὸ τούτου, τύποις ἐκδίδοσθαι ἔτει 1894-ῳ [1]· μετὰ δὲ χαλεπάς τινας νόσους, αἷς ἔκτοτε προσεπάλαισα, πεπεράτωται νῦν αἰσίως, ὕλην, οἶμαι, χρησίμην, μάλιστα δὲ πρὸς τὴν παλαιστινὴν ἀφορῶσαν ἱστορίαν, ἐν ἑαυτῷ περιλαβών. Καὶ πρῶτον μὲν ἐμπεριέλαβε Νεκταρίου πατριάρχου [2] προσφωνήσιμόν τινα Διονυσίῳ πρώην Κωνσταντινουπόλεως πατριάρχῃ λόγον [3], ὃς ἐρρήθη τούτῳ, παραγενομένῳ εἰς Ἱεροσόλυμα ἔτει 1670-ῷ, ἐν τῷ ναῷ τῆς Ἀναστάσεως (σ. 1-14) [4]· μετὰ δὲ τοῦτον τὸν λόγον, οὗ τὸ κείμενον ἐκ τοῦ 254-ου κώδικος ἐλήφθη τῆς Ἁγιοταφιτικῆς ἐν Κωνσταντινουπόλει βιβλιοθήκης [5], ἐμπεριέλαβεν ὁ τόμος ἓξ καὶ τριάκοντα πράξεις· ἐπειδὴ δὲ ταύτας ἡ ἀρχὴ τῆς τῶν Ἁγιοταφιτῶν ἔγραψεν Ἀδελφότητος, ἐγὼ διὰ τοῦτο τὰς τοιάσδε πράξεις ὠνόμασα δικαίως «Ἁγιοταφιτικὰ Ὑπομνήματα» (σ. 15-38). Ταῦτα μὲν οὖν τὰ ὑπομνήματα συνετάχθη

[1] Καὶ τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης ὁ τρίτος τόμος ἤρξατο τύποις ἐκδίδοσθαι ἔτει 1894-ῳ.

[2] Οὗτος ὁ Νεκτάριος πατριάρχης ἦν Ἱεροσολύμων ἀπὸ τοῦ 1661-ου μέχρι τῆς 23-ης ἡμέρας τοῦ μηνὸς ἰανουαρίου ἔτους 1669-ου, ὅτε, διὰ γῆρας αὐτοῦ καὶ νόσους παραίτησιν δόντος, ἐγένετο πατριάρχης Ἱεροσολύμων Δοσίθεος ὁ Νοταρᾶς· ἔτει γοῦν 1670-ῷ προσεφώνησε τὸν Διονύσιον ὁ Νεκτάριος ὡς πρώην Ἱεροσολύμων πατριάρχης. Περὶ δὲ τοῦ Νεκταρίου ὅρα προχείρως Ἀναλέκτων τόμ. II, σ. 273-285.

[3] Οὗτος ὁ πατριάρχης γνωστός ἐστιν ὡς Διονύσιος τρίτος, τῆς δ' ἐκκλησίας ἦρξε Κωνσταντινουπόλεως ἀπὸ τοῦ 1662-ου μέχρι τοῦ 1665-ου ἔτους.

[4] Ὁ λόγος οὗτος ἐρρήθη τῇ Μεγάλῃ Πέμπτῃ· ὅ τι δὲ φιλάνθρωπον ὁ Διονύσιος ἐν τῇ πόλει τῶν Ἱεροσολύμων ἔπραξε, τὴν μνήμην αὐτοῦ μέχρι σήμερον ἐκεῖ τηροῦν ἅληστον, ὅρα ἐν τῇ 527-ῃ σελίδι τούτου τοῦ τόμου.

[5] Οὗτος ὁ κῶδιξ ἐν τῷ τετάρτῳ περιγραφήσεται τόμῳ τῆς ἡμετέρας Ἱεροσολυμιτικῆς Βιβλιοθήκης.

μεταξὺ τοῦ 1698-ου καὶ τοῦ 1737-ου ἔτους, καὶ ὡς ἔχει χρήσιμα ἡμῖν ἐστι διὰ τοῦτο, ὅτι ὀνόματα παλαιστινῶν ἐμφανίζει κωμῶν οὐκ ὀλίγων, φυλῶν τε παντοίων ἀραβικῶν καὶ μάλιστα τούτων ἔθη καὶ ἤθη, δι' ἃ συνεχῶς, ὡς φαίνεται, τῶν Ἁγιοταφιτῶν ἡ Ἀδελφότης εἰς ἀλγηδόνας ὑπεβάλλετο τὸ παλαιὸν ὀξυτάτας· τοῖς δὲ τοιούτοις ὑπομνήμασιν ἐπισυνήφθη συνοδική τις τοῦ Πατριαρχείου τῆς Ἱερουσαλὴμ πρᾶξις, ἥπερ ἔτει 1755-ῳ συνταχθεῖσα, Παρθενίου τοῦ Ἀθηναίου πατριαρχοῦντος [1], ἀναγράφει τὸν ὃν εἶχε τότε κανόνα βίου καὶ πολιτείας ἡ τῶν Ἁγιοταφιτῶν Ἀδελφότης (σ. 39-47)· μετὰ δὲ ταύτην τὴν πρᾶξιν ἐτέθη παλαιά τις ἑρμηνεία βλαχικοῦ τινος χρυσοβούλλου λόγου (σ. 48-52), δι' οὗ τῆς Βλαχίας ἡγεμὼν εὐσεβής, Νικόλαος ὁ Μαυροκορδᾶτος [2], ἔτει 1721-ῳ δωρησάμενος ἀνέθηκε τῷ Πατριαρχείῳ τῆς Ἱερουσαλὴμ εὐρείας τε γαίας καὶ ἣν αὐτὸς ἱδρύσατο μονὴν τοῦ Βακαρεστίου [3]· ἐκείνου δὲ τοῦ λόγου τὸ κείμενον ἐν παλαιῷ τινι κεῖται συνοδικῷ τοῦ Πατριαρχείου κώδικι. Ἐκ μέντοι κωδίκων ἑτέρων, οὓς ἐν τῷ οἰκείῳ δεδήλωκα τόπῳ, περιέλαβεν ὁ τόμος ἐν ἑαυτῷ «διαφόρων ἐγγράφων σειρὰν τρίτην»—αἱ γὰρ πρῶται δύο σειραὶ ἐν τοῖς δυσὶ πρώτοις τῶν ἀναλέκτων εὑρίσκονται τόμοις—, ἔτη παντοῖα φερόντων (1167-1843)· ταῦτα δὲ τὰ ἔγγραφα, οἷα καὶ ὅσα ἐστίν, εἰ καὶ ποικίλην ἔχει τὴν ὑπόθεσιν, καθόλου μέντοι πρός τε τῆς Παλαιστίνης ἀναφέρεται καὶ πρὸς ἄλλων τινῶν χωρῶν τῆς ὀρθοδόξου Ἀνατολῆς τὴν ἐκκλησιαστικὴν ἱστορίαν.

[1] Ὅρα περὶ τούτου Κυρίλλου τοῦ Ἀθανασιάδου πραγματείαν, ἧς ἡ ἐπιγραφή· «Τὰ κατὰ τὸν ἀοίδιμον Παρθένιον, πατριάρχην Ἱεροσολύμων». Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος, τ. IV, 1893, τ. 234-252.

[2] Ὅρα Émile Legrand, Généalogie des Maurocordato de Constantinople. Paris 1886, σ. 2, 12-20, 33-73. Ἐ. Σταματιάδου, Βιογραφίαι τῶν Ἑλλήνων μεγάλων διερμηνέων τοῦ Ὀθωμανικοῦ κράτους. Ἀθήνησι 1865, σ 94-115. Τὰς δὲ πολυαρίθμους πρὸς Χρύσανθον, πατριάρχην Ἱεροσολύμων, ἐπιστολὰς Νικολάου τοῦ Μαυροκορδάτου ὅρα παρὰ τῷ É. Legrand, Épistolaire grec. Paris 1888, σ. 198 κέ. Recueil de documents grecs concernants les relations du Patriarcat de Jérusalem avec la Roumanie. Paris 1895, σ. 94, 97, 106, 123, 135, 140 κέ.

[3] Περὶ τῆς μονῆς τοῦ Βακαρεστίου ὅρα Ἀ. Κ. Ὑψηλάντου τὰ μετὰ τὴν Ἅλωσιν. Ἐν Κωνσταντινουπόλει 1870, σ. 548. Const. Dapontes, Ephémérides Daces ou chronique de la guerre de quatre ans (1736-1739), publiée, traduite et annotée par E. Legrand. Paris 1880-1888, τ. II, σ. LXXXVIII, 17-18.

Οὕτω μὲν οὖν τοῖς τοιούτοις ἐγγράφοις πέρας δίδοται μέρει τοῦδε τοῦ τόμου ἱκανῷ, τῷ δὲ λοιπῷ τούτου μέρει προσετέθη πολύστιχά τινα κείμενα, βίους ἢ μαρτύρια ἐνίων ἀναγράφοντα τῆς Ἐκκλησίας ἁγίων ἀνδρῶν· καὶ πρώτιστον μὲν τῶν τοιῶνδε κειμένων ὁ Ἀναστασίου τοῦ Πέρσου βίος (σ. 126-148), ὃν ἐκ τοῦ 18-ου παλαιοῦ ληφθέντα κώδικος τῆς πατριαρχικῆς ἐν Ἱεροσολύμοις συλλογῆς [1] ἐν τούτῳ κατεχώρισα τῷ τόμῳ ἔτει 1894-ῳ· χρόνου μέντοι βραχέος ἔκτοτε παρελθόντος ἤκουσταί μοι δεδημοσιεῦσθαι βίου τινὸς τοῦ αὐτοῦ Ἀναστασίου τοῦ Πέρσου κείμενόν τι, ὅπερ Usener ἐκ δύο βερολινείων ἐξεγράψατο παλαιῶν ἀντιγράφων· ἐγὼ δέ, καθάπερ ἦν εἰκός, φόβῳ τινὶ διὰ τοῦτο συσχεθείς, ὅτι ταὐτοχρόνως οὕτω δύο τυπώσεις ἑνὸς ἴσως ἐγένοντο καὶ τοῦ αὐτοῦ βίου, τὸν ἐλλογιμώτατον περὶ τούτου ἐρωτήσας Usener ἀπόκρισιν ἐξ αὐτοῦ χαρίεσσαν ἔλαβον, οὕτως ἔχουσαν· «ἔστιν, ὡς ἐφοβήθης, οὐδ' ἔστιν ἄπρακτον ποιῆσαι ὃ ἐπράξαμεν, οὐ συνειδότες ἀλλήλοις· πέμπω σοι τὸ βυβλίον τὸ ἀκαδημαϊκόν, ἐν ᾧ τόν τε βίον ἐκεῖνον καὶ τἄλλα τὰ περὶ Ἀναστασίου τοῦ Πέρσου ὅσα ἀνέκδοτα ἦν συναγόμενα εὑρήσεις» [2]. Οὕτω μὲν οὖν ἐγένετο τοῦτο, ἡ δὲ τῶν ἐκδόσεων ἀμφοτέρων διαφορότης εἴη ἄλλῳ τινὶ μελέτης ἔργον [3]. Δεύτερος δὲ βίος ἐν τούτῳ κατεχωρίσθη τῷ τόμῳ ὁ τῆς περσίδος ὁσιομάρτυρος Γολινδούχ, ἥπερ ἀπέθανεν ἔτει 592-ῳ· καὶ τοῦτον μὲν τὸν βίον ἐκ τοῦ 185-ου πατμιακοῦ κώδικος ἐξεγραψάμην ἔτει 1891-ῳ, τὰ δὲ περὶ τὴν Γολινδοὺχ αὐτὴν ἐγινώσκετο πρότερον ἐκ βραχυτάτων τινῶν συναξαρικῶν ὑπομνημάτων καὶ τῶν ἱστοριῶν ἰδίᾳ Θεοφυλάκτου τε τοῦ Σιμοκάττου καὶ Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, οἵπερ οὕτω τὸν βίον αὐτῆς ἱστόρησαν, ὡς εἰκάζειν ἡμᾶς ὃν ἡ περσὶς αὕτη τῷ προσελθεῖν εἰς τὴν Χριστοῦ θρησκείαν ἐν τοῖς Ἡρακλείου χρόνοις μέγαν τοῖς χριστιανοῖς ἐπήγαγε θαυμασμόν. Καὶ Θεοφύλακτος μὲν ὁ Σιμο-

[1] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. I, σ. 77-79.

[2] Ἐπιστολὴ H. Usener, 5 ἰαν. 1895. Τὸ δὲ βιβλίον αὐτοῦ ἐπιγραφὴν ἔχει τὸ Acta martyris Anastasii Persae. Bonnae 1894.

[3] Ἐν τῇ 538-ῃ σελίδι τοῦδε τοῦ τόμου βραχύ τι κατεχώρισα σημείωμα περὶ τῆς καταστάσεως ἀμφοτέρων τῶν ἐκδόσεων.

κάττης, ὁ χρόνοις ὑπάρξας ἐγγίζουσι τῷ θανάτῳ τῆς Γολινδούχ [1], ἔγραψε τάδε· «Λόγος δὲ ὡς ἡμᾶς ἐξεφοίτησε πρὸς τῇ Ἱερᾷ πόλει τὸ τηνικαῦτα καιροῦ Γολινδούχ γενομένην, κατὰ τὴν Χοσρόου πρὸς τὰ βασίλεια κάθοδον· ἀλλά τίς καὶ πόθεν, κατὰ τὴν ποίησιν, λελέχθω τὸ γύναιον· μὴ γὰρ οὖν ἀφελώμεθα τὴν περὶ ταύτης διήγησιν, μεγίστοις σεμνολογήμασιν οὖσαν κατάκοσμον. Τίκτεται μὲν οὖν αὕτη ἐπὶ τῆς Βαβυλωνίας, μάγοι δὲ τὸ γένος αὐτῆς· πατὴρ δὲ τῶν ἐπιφανῶν σατραπευόντων ἐφορολόγει τὸ Περσικόν. Ἐπεὶ δὲ ἀκμὴ ἐπέστη αὐτῇ, ὥρα λάμπουσα εἰς γάμον, ἀνδρὶ τῶν ἐπισήμων ἐκδίδωσιν· συνεστιωμένη δέ ποτε τῷ ἀνδρὶ ἔδοξεν ἐξαπιναίως γεγονέναι πάρετος, εἶτα ἀκίνητος διαμένειν τῷ σώματι καὶ τὰς αἰσθήσεις πολλῷ ὕστερον ἐπανήκειν πως εἰς αὐτήν. Ἐπεὶ δὲ οἱ θεαταὶ τοῦ πάθους, εἴ γε καὶ πάθος δεῖ τήνδε τὴν θείαν ἀποφαίνεσθαι ἔκστασιν, διεπυνθάνοντο τί ἂν εἴη τὸ συμβεβηκὸς τῇ νεάνιδι, ἔλεγε τάδε· "Μεγάλας που ἐν οὐδει τεθέαμαι ἐναποκειμένας ποινάς, μεγάλων τε ἀγαθῶν πρεσβευομένην τρυφὴν τοῖς τὸν μέγιστον προσκυνοῦσι θεόν, ὃν δὴ χριστιανοὶ θρησκεύοντες καθεστήκασι Πέρσαις ὑπόθεσιν γέλωτος". Ὁ μὲν οὖν ἐκείνης γαμέτης ἐξεμυκτήριζε τοῦ γυναίου τὰ ῥήματα· ὅτε δέ που ἑδραίαν αὐτῆς τὴν διάνοιαν πρὸς τὴν τῆς θρησκείας μετάθεσιν κατενόησεν, σωφρονίζειν ἐδόκει ῥαπίζων· ἠπείλει δὲ καὶ θάνατον εἶναι ζημίαν αὐτῇ, ὡς θέμις Πέρσαις ποιεῖν τοῖς τὰ μάγων ἀθετήσασι δόγματα. Ἡ μὲν οὖν τῷ θείῳ ἔρωτι πτερωθεῖσα τὸν νοῦν, τὰ ὠτά που καταβύουσα, ταῖς αὔραις διαχεῖσθαι τοὺς λόγους παρείχετο. Γίνεται τοίνυν τῷ γυναίῳ καὶ ἑτέρας θείας κρείττονος ἐπιφοιτήσεως ἔλλαμψις· ἄγγελος γὰρ ἐφεστήκει αὐτῇ τήν τε μορφὴν καὶ τὴν ἐσθῆτα λαμπηδόνος φαιδρότερος, καὶ πάλιν αὐτῇ τὴν τῶν φθασάντων θέαν ἐδείκνυε, προηγόρευέ τε καὶ τὸν ὅσον οὔπω τοῦ συνευνέτου θάνατον. Ὁ μὲν οὖν τοῦ γυναίου γαμέτης καταλύει τὸν βίον, κατὰ τὴν τοῦ ἀγγέλου προαναγόρευσιν, τὸ δὲ γύναιον τὴν Βαβυλωνίαν καταλιπὸν πρὸς τὴν Νίσιβιν γίνεται, τοῖς τε τῶν

[1] K. Krumbacher, Geschichte der byzantinischen Litteratur. München 1897, σ. 247.

χριστιανῶν ἱερεῦσι περιτυχὸν ἀνθωμολογεῖτο τὰ μεγαλεῖα τοῦ πνεύματος. Μυεῖται γοῦν παρ' αὐτῶν ταῦτα δὴ τὰ τῶν χριστιανῶν θεῖα ὄντως καὶ ἀπόρρητα δόγματα· ἐπεὶ δὲ τοῖς μάγοις τοῦτο κατάδηλον γέγονεν, ἐς ἀναζήτησιν γίνονται τοῦ γυναίου. Ἦκον γοῦν εἰς τὴν Νίσιβιν, καὶ τὰ μὲν πρεσβύτερα τῆς ἀξιώσεως ἐν κολακείαις αὐτοῖς παρεσκεύαστο, ἐντεῦθεν ἀποβουκολῆσαι πειρωμένοις τὴν ἄνθρωπον· ἐπεὶ δὲ νικῶνται καὶ ὁ λόγος αὐτοῖς ἀδρανής, ἐν εἱρκτῇ σκληρᾷ τὸ γύναιον χρόνῳ πολλῷ κατακλείουσιν. Τοῦ τοίνυν πάντα θεοῦ περισκοποῦντος καὶ ἀμάρτυρον ἑαυτὸν ἐν οὐδενὶ χρόνῳ καταλιμπάνοντος, ἐπικουρίᾳ τοῦ ἐπιστατοῦντος ἀγγέλου αὕτη τῆς φυλακῆς ἐξεχώρησε καὶ ἐς τὴν Ῥωμαίων ἀφίκετο γῆν. Ἡ μὲν οὖν ἄχρι τῶν Ἱεροσολύμων ἐπελθοῦσα διεκήρυττε τὴν ἐπιφανῆ τοῦ θεοῦ καὶ ἀδιήγητον μεγαλειότητα, εὐχάς τε ἀποδομένη ἐν τῷ παναγεῖ μνημείῳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τόν τε σταυρὸν τῶν παθημάτων κατασεβασθεῖσα τῷ προσκυνήματι ἐς τὴν Ἱερὰν ἐπανέδραμεν πόλιν· πολλά τε περὶ τῶν ἐσομένων τῷ Χοσρόῃ προαναγορεύσασα, τήν τε προσχώρησιν αὐτοῦ Ῥωμαίοις πρὸ τῆς τῶν πραγμάτων ἐνάρξεως καταμηνύσασα, βίον τε ἰσάγγελον πολιτευσαμένη, καὶ ὡς πρέπει ἁγίοις τὰ εἰς ψυχὴν καὶ τὸ σῶμα ὁρῶντα, ἀπέστη τῶν τῇδε, τὸν τῆς καρτερίας στέφανον ἀκηράτοις ἀναδησομένη τροπαίοις». Καὶ ταῦτα μὲν ὁ Θεοφύλακτος [1]· ὁ δὲ Νικηφόρος, εἰ καὶ σφόδρα τοῦ Θεοφυλάκτου συγγραφεὺς μεταγενέστερος [2], ἔγραψε τάδε· «Τηνικαῦτα δὲ καὶ Γολινδοὺχ ἡ μάρτυς ζῶσα διέπρεπεν, ἐκ μάγων γεγεννημένη Περσῶν, Ἀσμοδὸχ μὲν πατρός, μητρὸς δὲ Μυζούχ· ἥτις κατὰ τὴν ἐκείνων θρησκείαν τὸ πῦρ σεβομένη, καὶ τἄλλα τῶν Περσῶν [ἔσεβε] βδελύγματα· ἐπετέλει δὲ καὶ αὐτὴ τὴν μυσαρὰν καὶ θεοστυγῆ τῶν εἰδώλων μαγείαν. Ἀνδρὶ δὲ τῷ πρώτῳ τῆς συγκλήτου βουλῆς ἐκδοθεῖσα, δύο παῖδας γεννᾷ· μετὰ δὲ τριετῆ χρόνον ἐν ἐκστάσει γεγενημένη, ὑπ' ἀγγέλου τὸ θεῖον τῆς οἰκονομίας μυεῖται μυστήριον. Καὶ δὴ τοῖς μάγοις ἔκδοτος γενο-

[1] Theoph. Simocattae historiae, ed. C. de Boor. Lipsiae 1887, σ. 210-212.

[2] K. Krumbacher ἔνθ. ἀνωτ. σ. 291.

μένη, καὶ διὰ πολλῶν αἰκιῶν καὶ δεσμῶν ὑπέρτερος πάντων ὀφθεῖσα, θαυμάτων ἀπείρων καὶ παραδόξων τεραστίων γέγονεν αὐτουργός, διαφόρως τοῦ ἐπιστατοῦντος ἀγγέλου ἀφικνουμένου καὶ εὐμαρῶς καὶ ῥᾳδίως πάντα φέρειν παρασκευάζοντος. Πολλὰ δὲ καὶ τῶν ἀπορρήτων διεσάφησε, τὸ προορᾶν εἰληφυῖα χάριν ἀπὸ θεοῦ. Ἐπεὶ δὲ διὰ πολλῶν ἐτῶν βασάνοις ἐξεταζομένη καὶ τὸν διὰ μαρτυρίου στέφανον ἐπόθει κομίσασθαι, ὁ πολλάκις αὐτῇ φανεὶς ἄγγελος ἐπιστὰς καί τινα νεανίαν ξιφήρη ἐπαγαγών, τῇ ἐφέσει ταύτης πέρας ἐδίδου· καὶ κελεύσαντος γὰρ ἐκείνου ξίφει ὁ νεανίας τὴν ἐκείνης κάραν ἀπέτεμε, καὶ τὸ αἷμα ῥεῦσαν τοῦ τραχήλου ἐπὶ τὸ ἔνδον ταύτης ὀθόνιον, ἡμαγμένον ἄχρι μηρῶν ἔδρα, ὃ καὶ διεφαίνετο μυρία τεράστια ἐργαζόμενον· ζῶσα γὰρ ἐκείνη καὶ μετὰ τὴν ἐκτομὴν τοῦ λοιποῦ διεγένετο, καὶ εἰς τὰ Ῥωμαίων ὅρια γενομένη ἐν τῷ Κιρκησίῳ τε καὶ τῷ Δάρας καὶ τοῖς μέρεσι τῶν Ἱεροσολύμων ἐφίστατο, θέαμα ξένον ἅπασι τοῖς πιστοῖς ὁρωμένη, ἅτε δὴ ζῶντι σώματι τὰ τοῦ Χριστοῦ περιάγουσα στίγματα· ἣ καὶ δεινῶς ὑπὸ τῶν τοῦ μαρτυρίου δεινῶν ἔχουσα περιήει τὰς πόλεις ὑφ' ὁδηγῷ τῷ ἀγγέλῳ τὴν πορείαν πεποιημένη, μή τινος ἰατρείας ἀνασχομένη τοῖς πάθεσι, μόνοις δὲ τοῖς αὐτομάτοις ἐφάπαξ χρησαμένη λουτροῖς. Πάντας δὲ τοὺς οἰκείους καὶ ἄλλας προσαγαγοῦσα τῷ Χριστῷ, τέλος ἐν Ἱεραπόλει γεγενημένη, τὸν τῇδε βίον καταλιποῦσα, πρὸς τὴν ἀγήρω μετέβαινε βιοτήν· ἣν ζῶσαν ὁ βασιλεὺς ἀνὰ τὴν αὐτοῦ πόλιν μεταστελλόμενος ἥκιστα πειθομένην ἔσχε. Ταύτης τὸν βίον Στέφανος ὁ τῆς Ἱεραπόλεως πρόεδρος συνεγράψατο, ἐκείνῃ τε συγγενόμενος καὶ ἕκαστα, ὡς εἶχεν, ἐξ ἐκείνης ἀναμαθών, ἐντίμως τε καὶ μεγαλοπρεπῶς καὶ τὸν ταύτης νεκρὸν τῇ γῇ παραδεδωκώς»[1]. Ἀλλ' ὁ τῷ Στεφάνῳ πονηθεὶς βίος τῆς ἁγίας Γολινδοὺχ οὕπω εὑρέθη· Ἰωάννης ὅμως ὁ Σακκελίων ἐκ πολλοῦ δεδήλωκεν, ὅτι ὁ 185-ος κῶδιξ τῆς ἐν Πάτμῳ βιβλιοθήκης ἔχει τινὰ βίον τῆς Γολινδοὺχ ἀνώνυμον[2]· διόπερ ἐγὼ νομίσας ἐν τούτῳ τὸ κείμενον ἐγκεκρύφθαι

[1] Migne, Patrol. Gr. τ. 147, σ. 377.

[2] Ἰω. Σακκελίωνος, Πατμιακὴ βιβλιοθήκη. Ἀθήνησιν 1890, σ. 106. Τὸν 185-ον

τοῦ Στεφάνου, τὸν κώδικα προθύμως ἐκεῖνον ἐν αὐτῇ τῇ νήσῳ Πάτμῳ ἠρεύνησα· πλὴν ἀλλὰ τὸν μὲν βίον αὐτὸν εὗρον οὐχὶ πόνημα εἶναι τοῦ Στεφάνου, ἀλλ' ἑτέρου τινὸς ἀγνώστου μοι συγγραφέως, ὃς Εὐστράτιος ὠνομάζετο καὶ τὴν πρεσβυτέρου τάξιν εἶχε τῆς Μελιτηνῶν ἐκκλησίας· ὅμως δὲ καὶ οὗτος ὁ Εὐστράτιος ἦν ἐπὶ τῶν ἡμερῶν τῆς Γολινδούχ, καὶ ὅ τι περὶ ταύτης ἔγραψεν, ἐξ ἀνδρῶν ἔμαθε τὴν Γολινδοὺχ αὐτὴν ἰδόντων, μάλιστα δ' ἐκ τοῦ Μελιτηνῶν ἀρχιεπισκόπου Δομετιανοῦ (σ. 151 καὶ 169), περὶ οὗ πολλὰ Θεοφύλακτος ἡμῖν ὁ Σιμοκάττης εὐφημότατα παραδέδωκεν [1].

Τρίτος δ' ἐν τῷδε περιέχεται τῷ τόμῳ βίος, ὃν ἔλαβον ἐκ τοῦ 188-ου κώδικος τῆς ἐν Πάτμῳ βιβλιοθήκης [2], ὁ Γερασίμου τοῦ κατὰ τὴν ἔρημον ἀσκήσαντος τοῦ ποταμοῦ Ἰορδάνου (σ. 175-184)· πλὴν ἀλλὰ τοῦ βίου τοῦδε τὸ κείμενον ὁ κῶδιξ ἔχει παντάπασιν ἀνώνυμον· ἐγὼ μέντοι τὴν αὐτοῦ λέξιν ὕστερον ἀνακρίνας ἀδιστάκτως ἐπίστευσα τὸν βίον ἐκεῖνον εἶναι σύνταγμα Κυρίλλου τοῦ Σκυθοπολίτου, εἰ καὶ πονήματος αὐτοῦ παρ' ἄλλου τινὸς οὐκ

πατμιακὸν κώδικα, ἐν ᾧ τῆς Γολινδοὺχ ὁ βίος εὑρίσκεται, Σακκελίων ἐθέλει γεγραμμένον εἶναι «κατὰ τὴν ια′ ἑκατονταετηρίδα»· ἀλλ' ὁ βίος οὗτος, ὡς ἔχει, τὸ δεύτερον ἀποτελεῖ κείμενον ἑτέρου τινὸς κώδικος, γραφέντος περὶ τὴν ἀρχὴν τῆς δεκάτης ἑκατονταετηρίδος, οὗ φύλλα μόνα πέντε καὶ δέκα περιέσωσέ τις βιβλιοδέτης καὶ τῷ 185-ῳ πατμιακῷ συνῆψε κώδικι, συναποτελέσαντα τὰ τούτου ἔσχατα φύλλα (τοʹ-τπδʹ), ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα δίστηλον ἐκ γραμμῶν 38· καὶ πρῶτον μὲν τὰ τοιαῦτα πρόσθετα φύλλα περιέχει τὸ «Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων μαρτύρων τοῦ Χριστοῦ Πρόκλου καὶ Ἱλαρίου» (ἰουλίῳ ιβʹ), οὗ ἡ ἀρχή· «Ἐγένετο ἐπὶ Μαξιμιανοῦ ἡγεμόνος» (φύλ. τοʹ-τογʹ)· ἔπεται δὲ τῷ μαρτυρίῳ τούτῳ ὁ τῆς ἁγίας Γολινδοὺχ βίος, καὶ πάλιν ἀτελὴς «βίος καὶ πολιτεία τοῦ ἁγίου καὶ ἐνδόξου καὶ θαυματουργοῦ Ὀνησίμου» (ἰουλίῳ ιδʹ), οὗ ἡ ἀρχή· «Ἔσχε πατέρα ὁ δίκαιος Ὀνήσιμος ὀνόματι Θεόδουλον· οὗτος δὲ ὁ Θεόδουλος ἔγημεν γυναῖκα ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, καὶ ἦσαν ἀμφότεροι ἀπὸ κώμης (κῶδ. κόμης) Καρινῆς, προσκεκολλημένοι τῇ πλάνῃ τῶν εἰδώλων» κτλ.

[1] Theoph. Simocattae historiae; σ. 179, 182, 183, 194, 197. Ὁ Δομετιανός ἐστι τῆς καθολικῆς ἐκκλησίας πατὴρ ἅγιος, ᾧ καὶ ἡμέραν ἑορτῆς ὥρισεν αὐτῷ τὴν 10-ην τοῦ μηνὸς ἰανουαρίου· τῆς δὲ Γολινδοὺχ τὴν μνημην ἡ τῆς Κωνσταντινουπόλεως ἐκκλησία τὸ παλαιὸν ἐτίμα μεγάλως, ὁρίσασα ταύτῃ ἡμέραν ἑορτῆς τὴν ιβʹ τοῦ μηνὸς ἰουλίου, ὅτε καὶ Ἰωσὴφ ὁ ὑμνογράφος ἐποίησέ τινα κανόνα πρὸς τὴν Γολινδοὺχ ἁσματικόν, ἄχρι τοῦδε ψαλλόμενον ἐκείνῃ τῇ ἡμέρᾳ· ἐτελεῖτο δὲ τῆς ἡγιασμένης Γολινδοὺχ «ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Τρύφωνος, τῷ ὄντι πλησίον τῆς Ἁγίας Εἰρήνης, τῆς ἀρχαίας καὶ νέας». Κῶδιξ 40-ὸς τῆς μονῆς τοῦ Σταυροῦ, φύλλ. 185α.

[2] Ἰω. Σακκελίωνος, Πατμιακὴ βιβλιοθήκη, σ. 108-109, κῶδ. 188, ὅστις ἐγράφη οὐχὶ τῇ ιδʹ, καθὰ Σακκελίων ἐνόμιζεν, ἀλλὰ τῇ τρίτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι.

ἐγένετό που μνεία τοιούτου· διὸ καὶ τὸ Κυρίλλου ὄνομα, τὰς ἐμὰς ἐμμαρτύρους πίστεις ἐν τῷ οἰκείῳ τόπῳ σημειωσάμενος, τῇ ἐπιγραφῇ τοῦ βίου προσέθηκα τοῦ Γερασίμου. Τέταρτον δὲ βίον ὁ τόμος οὗτος ἐμπεριέλαβε τὸν Θεοφάνους καὶ Θεοδώρου τῶν Γραπτῶν (σ. 185-223), πόνημα τυγχάνοντα δεσποίνης ὀνομαστῆς, Θεοδώρας Ῥαουλαίνης Καντακουζηνῆς τῆς Παλαιολογίνης, ἔτει θανούσης 1301-ῳ, ἣν οἱ συγχρονίσαντες αὐτῇ Νικηφόρος ὁ Γρηγορᾶς, Νικηφόρος ὁ Χοῦμνος καὶ Γρηγόριος ὁ Κύπριος, φιλόλογον καὶ σοφωτάτην ὠνόμαζον [1]· πέμπτον δὲ κείμενον ἐμπεριέλαβε τὸ ὑπὸ τὸν 10-ον ἀριθμόν, ὅπερ ἀναγράφει τὸ μαρτύριον τῶν ἐν τῇ πόλει Γορτύνῃ τῆς νήσου Κρήτης δέκα μαρτύρων (σ. 224-237)· τοῦτο δὲ ἐκ τοῦ 181-ου σαβαϊτικοῦ μεμβρανίνου κώδικος ἔλαβον [2]. Μετὰ μὲν οὖν ἐκεῖνο τὸ μαρτύριον προσετέθη τῷ τόμῳ διήγησίς τις (σ. 238-246) περὶ τῆς ἐκ Θεσσαλονίκης τοῦ μεγαλομάρτυρος Δημητρίου κομισθείσης εἰς τὴν ἐν τῇ Κωνσταντίνου πόλει παντοκρατορικὴν μονὴν εἰκόνος, ἣ τὸν αὐτοῦ πρότερον ἔσκεπε τάφον· τῆς δὲ τοιαύτης διηγήσεως, ἣν ἐγὼ παρέλαβον ἐκ τοῦ 179-ου σαβαϊτικοῦ μεμβρανίνου κώδικος [3], τὸ κείμενον ἤδη Νικόδημος ἐγίνωσκεν ὁ Ἁγιορίτης ἐξ ἑτέρου τινὸς ἀντιγράφου, ἐπιτομὴν ὡς εἰκὸς ἁπλῶς αὐτοῦ προποιησάμενος [4]. Εἶτα προσετέθη τις (σ. 247-251) ἑτέρα περὶ τοῦ μαρτυρίου Παύλου τοῦ ἐν τοῖς Καϊουμᾶ διήγησις, ἣν ἐκ τοῦ 17-ου κώδικος τῆς πατριαρχικῆς ἐν Ἱεροσολύμοις ἔλαβον συλλογῆς [5]· καὶ πάλιν ἑτέρα προσετέθη διήγησις ἐκ τοῦ 242-ου σαβαϊτικοῦ ληφθεῖσα κώδικος [6], ὑπόθεσιν δ' ἔχουσα τὸ

[1] Maximi monachi Planudis epistulae; edidit Max. Treu. Vratislaviae 1890, σ. 245-247.

[2] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. II, σ. 34.

[3] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. II, σ. 293.

[4] Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, ἐκδ. Θ. Νικολαΐδου Φιλαδελφέως. Ἀθήνῃσι 1868, τ. I, σ. 162.

[5] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. I, σ. 70.

[6] Ἐν τῇ 252-ᾳ σελίδι τοὐδε τοῦ τόμου γέγραπται κατὰ παραδρομὴν ἀριθμὸς 168-ος ἀντὶ τοῦ 242-ου· περὶ δὲ τοῦ κώδικος ὅρα Ἱεροσολυμ. Βιβλιοθήκης τ. II, σ. 373-376.

μαρτύριον Ἀθηνογένους ἐπισκόπου (σ. 252-257)[1]· μετὰ δὲ ταύτην ἐτέθη Μαρκιανοῦ πρεσβυτέρου καὶ οἰκονόμου τῆς Μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως βίος τις (σ. 258-270), ὃν ἐκ τοῦ αὐτοῦ 242-ου κώδικος ἔλαβον[2]· τῷ δὲ βίῳ τούτῳ συνήφθη τῶν ποιητῶν Κοσμᾶ καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ (σ. 271-302) βίος ἕτερος ἀνώνυμος, ὃν εὗρον, ὡς ἔχει, ἐν τῷ 1-ῳ κώδικι τῆς ἐν τῇ νήσῳ Χάλκῃ μονῆς τῆς Θεοτόκου· πλὴν ἀλλ' ὁ βίος οὗτός ἐστι διάφορος ἑτέρου τινὸς τῶν αὐτῶν ποιητῶν βίου (σ. 303-350), ὃν ἐξ ἐμῆς αἰτήσεως Ἀλκιβιάδης ὁ Σακκελίων ἐκ τοῦ 983-ου κώδικος ἐξεγράψατο τῆς Ἀθήνησιν Ἐθνικῆς Βιβλιοθήκης, συγγραφέως ἐν ἑαυτῷ φέροντος ὄνομα τὸ Ἰωάννης ὁ Μερκουρόπωλος, ὃς ἦν Ἱεροσολύμων πατριάρχης[3]· βίον ὅμως ἁπλῶς Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὗ τὸ κείμενον φράσει τε καὶ λέξει καὶ τάξει σχέσιν ἔχει μεγίστην πρὸς τὸ κείμενον Ἰωάννου τοῦ Μερκουροπώλου, πάντες ἤδη γινώσκουσι[4]. Τούτου μὲν οὖν τοῦ βίου τὰ ἀντίγραφα καθόλου συγγραφέα θέλει εἶναι ὡσαύτως Ἰωάννην τινὰ πατριάρχην Ἱεροσολύμων, ὃν ἄχρι τοῦδε πάντες ὁμωνύμῳ τινὶ ταὐτίζουσι πατριάρχῃ ἐν τῷ ναῷ καέντι τῆς Ἀναστάσεως ἔτει 966-ῳ· λόγος μέντοι σπου-

[1] Ἐν τῷ αὐτῷ σαβαϊτικῷ κώδικι περιέχεται καὶ δεύτερον μαρτύριον τοῦ ἁγίου Ἀθηνογένους ἐκτενέστατον, οὗ ἡ ἀρχή· «Τοῦ βίου καὶ τῆς ἀθλήσεως τοῦ τρισμακαρίου μάρτυρος Ἀθηνογένους παρὰ πολλῶν ἐπιζητουμένου μόλις εὗρον ἐν παλαιοτάτῳ βιβλίῳ παρά τινι, ἰδιωτικῷ λόγῳ συγγεγραμμένῳ καὶ φιλαληθῶς εἰπεῖν οὔτε κατὰ τάξιν, οὔτε δὲ ἀκολούθως συγγεγραμμένῳ, ἀλλὰ μᾶλλον καὶ ἐλλιπῶς· ἀναγνοὺς δὲ τὸ βιβλίον ἀναγκαῖον ἡγησάμην μᾶλλον ἀκολούθως τούτῳ συγγράψασθαι, ὥστε καὶ τοὺς ἀκροωμένους πληροφορεῖσθαι. Ὁ ἅγιος οὗτος Ἀθηνογένης ἐγεννήθη χριστιανὸς ἀπὸ χριστιανῶν γονέων ἐν Ἐπικλήσοις οὕτω λεγομένῳ χωρίῳ, ὅπερ ἐστὶν τῆς ἐνορίας τῆς λεγομένης Σαδοπίνης, τελούσης ὑπὸ τὴν Σεβαστουπολιτῶν πόλιν. οὗτος ἐπὶ τῷ τέλει τῆς ἡλικίας αὐτοῦ προσωμίλησεν γάμῳ, κατὰ βούλησιν τῶν γονέων, καὶ ἔτεκεν υἱὸν ὀνόματι Πατρόφιλον, καὶ ἔζη βίον εὐσεβῆ, ὡς τὸ τηνικαῦτα τὸν Σεβαστουπόλεως ἐπίσκοπον ἱερέα αὐτὸν χειροτονῆσαι καὶ τῆς μνημονευθείσης ἐνορίας χωρεπίσκοπον καταστῆσαι» κτλ. Ὁ βίος οὗτος, ὡς ἔχει, εἰ καὶ διαφέρει τῆς ὀρθοδόξου καθολικῆς παραδόσεως περὶ τοῦ μάρτυρος Ἀθηνογένους, ἔστιν οὐχ ἧττον λόγου πολλοῦ ἄξιος καὶ τύποις ἐκδοθήσεται παρ' ἐμοῦ, εἰ Θεὸς ἐθέλει, δι' ἑτέρου τινὸς τόμου τῶνδε τῶν ἀναλέκτων.

[2] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. II, σ. 374. Τοῦτον τὸν βίον Συμεὼν ὁ Μεταφράστης ἀνασυνέταξε ῥητορικῶς. Migne Patrol. Gr. τ. 114, σ. 429-456.

[3] Ἰωάννου καὶ Ἀλκιβιάδου Σακκελίωνος, Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος. Ἐν Ἀθήναις 1892, σ. 177.

[4] Bibliotheca hagiographica graeca. Bruxellis 1895, σ. 64.

δαῖος εἰς τοῦ πράγματος τούτου τὴν βεβαίωσιν οὐδεὶς προβάλλεται[1]. Ἰωάνναι γὰρ πατριάρχαι Ἱεροσολύμων πολλοὶ ἐγένοντο, τούτων δ' ἔσχατοι δύο μετὰ τὴν δεκάτην ὑπῆρξαν ἑκατονταετηρίδα, ὁ μὲν ἀρχομένης τῆς ἑνδεκάτης[2], ὁ δὲ ἀπὸ τῆς 12-ης τοῦ μαΐου μηνὸς ἔτους 1156-ου[3]· ἦν δὲ καὶ ὁ καεὶς ὑπὸ τῶν Σαρακηνῶν υἱὸς Δζουμεΐ τινος ὀρθοδόξου χριστιανοῦ Σύρου[4]. Ἐπειδὴ γοῦν ὁ ἡμέτερος Ἰωάννης ἐπώνυμον ἑλληνικὸν εἶχε τὸ Μερκουρόπωλος καὶ γνώστης ἦν, ὡς φησι (σ. 350), τῆς Ἀράβων διαλέκτου, ἐκ δὲ ταύτης ἡρμήνευσε τὸν βίον Κοσμᾶ καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ, καὶ ἐπειδὴ τοῦτ' αὐτό φησι καὶ ὁ τοῦ μεμονωμένου βίου Ἰωάννου τοῦ Δαμασκηνοῦ συγγραφεὺς Ἰωάννης, γνώμης εἰμὶ τοῦτον δὴ τὸν ἕτερον Ἰωάννην ἀδιστάκτως ταὐτίζειν Ἰωάννῃ τῷ Μερκουροπώλῳ, διά τε χρείας λειτουργικὰς δύο κείμενα τοῦτον ἀλλήλοις οἴεσθαι πεποιηκέναι σφόδρα διαφέροντα, ἕνα δὲ τῶν ἐσχάτων ὁμωνύμων εἶναι πατριαρχῶν[5]. Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τούτου δὴ τοῦ συγγραφέως Ἰωάννου τοῦ Μερκουροπώλου· μετὰ δὲ τὸ καταχωρισθὲν ἐν τῷδε τῷ τόμῳ τέως ἄγνωστον αὐτοῦ πόνημα, προσετέθη πάλιν αὐτῷ τῷ τόμῳ συνοπτικόν τι τῆς Γολινδουχ μαρτύριον ἐκ τριῶν εἰλημμένον ἑτεροίων ἀντιγράφων (σ. 351-356), καὶ μετὰ τοῦτο παντάπασιν ἄλλοθεν ἄγνωστον ἐμοὶ διήγημα στιχηρὸν Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου περὶ σημαντικῶν τινων Νικολάου τοῦ μεγάλου θαυμάτων, ὧν ὁ Μεταφράστης

[1] Remi Ceillier, Histoire générale des auteurs sacrés et ecclésiastiques. Paris, τ. XVIII, 1752, σ. 111. J. H. Lupton, St. John of Damascus. London 1882, σ. 23.

[2] Καὶ τοῦτο διότι Ἰωάννης τις ὑπῆρξε τοῦ πατριάρχου Συμεὼν διάδοχος. Ὅρα τὰ ἡμέτερα Ἀνάλεκτα Ἱεροσολυμ. Σταχυολογίας, τ. Ι, σ. 125, 132, 140, 142.

[3] Mai, Spicilegium Romanum, τ. X, σ. 6 καὶ 89, ἔνθα τὸ «Ὁ ταπεινὸς μοναχὸς Ἰωάννης καὶ ἐλέῳ Θεοῦ πατριάρχης τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν ἁγίας Σιών, πόλεως Ἱερουσαλήμ, ὁρίσας ὑπέγραψα».

[4] В. Р. Розенъ, Императоръ Василій Болгаробойца; извлеченія изъ лѣтописи Яхъи Антіохійскаго. Ἐν Πετρουπόλει 1883, σ. 089 καὶ 351.

[5] Ὁ ταὐτισμὸς ἀμφοτέρων οὐ μόνον ἐκ τῆς λέξεως τῶν συγγραφῶν αὐτῶν βεβαιοῦται, ἀλλὰ καὶ ἐκ τῆς παραδόσεως δύο καλλιγράφων, ἐκγραψαμένων τὸν ἤδη γνωστὸν βίον Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὗ ὁ ἀρχή· «Τοῖς τετηρηκόσι τὸ κατ' εἰκόνα» κτλ. Ὅρα Ἱεροσολυμ. Βιβλιοθ. τ. II, σ. 468. III, σ. 325.

οὐ μέμνηται (σ. 357-366) [1]· μετὰ δὲ τοῦτο βίος Εὐστρατίου προσετέθη τῆς μονῆς ἡγουμένου τῶν Ἀγαύρου λίαν ἐκτενής (σ. 367-400), ληφθεὶς ἐκ τοῦ σαβαϊτικοῦ 242-ου κώδικος, τύποις δὲ πεπηρωμένος οὕτως, ὡς εὑρέθη, δοθείς [2]· ἐκ δὲ κώδικος ἑτέρου, ἀριθμὸν ἔχοντος τὸν 428-ον ἐν τῇ πατριαρχικῇ τῶν Ἱεροσολύμων συλλογῇ [3], προσετέθη τις ἀφελὴς ἑρμηνεία τινῶν ἀραβικῶν τε καὶ τουρκικῶν ἐγγράφων περὶ τῶν Ἁγίων Τόπων (σ. 401-438)· τούτοις δὲ πάλιν ψιλή τις ἀπογραφὴ συνήφθη πολλῶν τῶν ἐν τῷ ἀρχείῳ τοῦ Ὀρθοδόξου Καθολικοῦ τῶν Ἱεροσολύμων Πατριαρχείου σῳζομένων ἀραβικῶν τε καὶ τουρκικῶν γραμμάτων (σ. 439-516), τούτου δὴ τοῦ Πατριαρχείου τὴν ἱστορίαν καὶ δρᾶσιν δυναμένων, εἴποτε τύποις ἐκδοθείεν, σφόδρα διασαφῆσαι.

Οὕτω τοίνυν ἅπασι τοῖς ἠριθμημένοις ὧδε ποικίλοις ὑπομνήμασι καὶ γράμμασιν εἴληφε πέρας ὁ τῶν ἀναλέκτων οὑτοσὶ τέταρτος τόμος· ἐδέξατο μέντοι ἐν ἑαυτῷ καὶ ἕτερά τινα χρήσιμα, οἷον ἡμέτερά τινα διορθωτέα παροράματα, ἔν τε τῷ δευτέρῳ καὶ ἐν τούτῳ δὴ τῷ τετάρτῳ περιεχόμενα τόμῳ (σ. 517-525), προσθήκας τέ τινας αὐτῷ τούτῳ χρηζούσας τῷ τόμῳ (σ. 527-538) [4], καὶ πίνακα τῶν ἃ περιέχει κυρίων ὀνομάτων.

Ἐν Πετρουπόλει, τῇ 2-ᾳ τοῦ μαρτίου μηνὸς ἔτους ,αωϟζ'.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ-ΚΕΡΑΜΕΥΣ.

[1] Τοῦτο δὲ τὸ διήγημα ἐλήφθη ἐκ τοῦ 261-ου σαβαϊτικοῦ κώδικος. Ἱεροσολ. Βιβλιοθήκη, τ. II, σ. 392-393.

[2] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. II, σ. 374.

[3] Ἱεροσολυμ. Βιβλιοθήκη, τ. I, σ. 422-423.

[4] Ἐν ταύταις ταῖς προσθήκαις ἐμπεριέχεται, κατὰ τὸν Κριτίου κώδικα τὸν ἐν τῷ Πατριαρχείῳ Κωνσταντινουπόλεως, καὶ τὸ ἐπὶ Χρυσάνθου πατριάρχου γενόμενον μεταξὺ τῶν Ἁγιοταφιτῶν καὶ τῶν ἐν Ἱεροσολύμοις Ἀρμενίων συνθηκῶν γράμμα (σ. 534-537), ὃ πρότερον ὑπῆρχε κατακεχωρισμένον ἐν τῇ Ἐκκλησιαστικῇ Ἀληθείᾳ, τ. VIII, σ. 355-356.

I.

ΝΕΚΤΑΡΙΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΕΙΣ ΔΙΟΝΥΣΙΟΝ ΤΟΝ ΠΡΩΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ὁποῦ ὑπῆγεν εἰς Ἱερουσαλὴμ διὰ προσκύνησιν.

(Cod. Metoch. S. Sep. 254, p. 339 ff.).

Ἠμποροῦμεν λέγω καὶ ἡμεῖς σήμερον νὰ ἁρμόσωμεν πρὸς τοῦ λόγου μας τὴν ῥῆσιν τοῦ προφήτου Δαυὶδ καὶ νὰ λέγωμεν, ὅτι ἐξήλθομεν ἀπὸ δόξης εἰς δόξαν. Ἐξήλθομεν, εὐγήκαμεν ἀπὸ μίαν δόξαν καὶ λαμπρότητα, καὶ ἤλθομεν εἰς ἄλλην δόξαν καὶ εἰς ἄλλην φαιδρότητα ἀπὸ μίαν λαμπροτάτην ἑορτήν, καὶ ἤλθομεν εἰς ἄλλην πανήγυριν φαιδροτέραν, ἀπὸ τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως τὴν λαμπροτάτην εἰς τὴν σημερινὴν ἑορτὴν τῶν Θεοφανείων, τὴν φαιδροτάτην καὶ φωτεινοτάτην. Ἀλλ', ὦ θεοφιλέστατον συνάθροισμα, σύγκρισιν ἐγὼ μὲ τὴν μικράν μου κρίσι νὰ κάμω ἀπὸ τὰς δύο ταύτας ἑορτάς, ποῖα εἶναι λαμπροτέρα ἢ φαιδροτέρα εἰς τὰ περιστατικά της, περισσότερι δὲν δύνομαι· διότι τοῦτο μόνον ἐγὼ γνωρίζω, πῶς τὸ ὑποκείμενον καὶ τῶν δύο ἑορτῶν τούτων ἕνα καὶ τὸ αὐτὸ εἶναι, τὸ ὁποῖον δὲν εἶναι ἄλλο, πάρεξ αὐτὸς ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ καὶ πατρός, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, Θεὸς καὶ ἄνθρωπος, ἄνθρωπος καὶ Θεος· Θεός, ὡσὰν ὁποῦ εἶναι υἱὸς καὶ λόγος Θεοῦ, γεγεννημένος ἀπὸ τὸν Θεὸν πατέρα ἀνάρχως ἀχρόνως καὶ ἀιδίως, μιᾶς φύσεως μὲ τὸν πα-

τέρα, μιᾶς οὐσίας μὲ τὸν πατέρα, ἐπειδὴ κάθε πατέρας γεννᾷ υἱὸν ὁμοούσιον μὲ τοῦ λόγου του καὶ ὄχι ἑτεροούσιον, καὶ διὰ τοῦτο Θεὸς ὁ πατὴρ καὶ Θεὸς ὁ υἱός· ἄνθρωπος πάλιν, ἐπειδὴ "ἔκλινεν οὐρανοὺς καὶ κατέβη"· κατέβη "ὡς ὑετὸς ἐπὶ πόκον". Ποῦ κατέβη; εἰς τὴν ἀνθρωπίνην φύσιν· εἰς ποῖον πόκον; εἰς τὴν καθαρωτάτην μήτραν τῆς παρθένου καὶ θεοτόκου Μαρίας, ἀπὸ τὴν ὁποίαν μήτραν τῆς παρθένου ἐγεννήθη Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, ὄχι πῶς ἡ ἄναρχος φύσις τοῦ Θεοῦ νὰ ἔλαβεν ἀρχὴν ἀπὸ τὴν παρθένον—ὄχι· μὴ γένοιτο—, ἀλλὰ πῶς ἡ θεότης τοῦ υἱοῦ ὁποῦ ἐκατοίκησεν εἰς τὴν μήτραν τῆς παρθένου σωματικῶς ἐγεννήθη ἀπὸ τὴν παρθένον· διότι δὲν ἔσμιξεν ἡ θεότης τοῦ υἱοῦ μὲ τὴν ἀνθρωπότητα, ὕστερα ἀφοῦ ἐγεννήθη ὁ Χριστός, καθὼς ἔλεγαν οἱ αἱρετικοί, ἀλλὰ μέσα εἰς τὴν κοιλίαν τῆς παρθένου μὲ τὸν χαιρετισμὸν τοῦ ἀγγέλου ἐκατοίκησε ὁ λόγος τοῦ Θεοῦ μὲ ὅλον τὸ πλήρωμα τῆς θεότητός του καὶ ἔγινεν ὑπόστασις ἡ θεότητος τῆς ἀνθρωπότητος. Πέρνει ἐκεῖ τὴν σάρκα ἀπὸ τὰ καθαρώτατα αἵματα τῆς παρθένου καὶ ἐφόρεσεν ἡ θεότης εἰς τοῦ λόγου της τὴν ἀνθρωπότητα καὶ ὄχι νὰ ἐφόρεσεν ἡ ἀνθρωπότης τὴν θεότητα, καθὼς ἔλεγαν οἱ αἱρετικοί· καὶ διὰ τοῦτο λέγομεν τὸν υἱὸν τοῦ Θεοῦ, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, Θεὸν σαρκοφόρον καὶ ὄχι ἄνθρωπον θεοφόρον, λέγει ὁ Δαμασκηνός, διατί λέγω ἀπὸ μέσα ἀπὸ τὴν κοιλίαν τῆς παρθένου ἐνδύθη τὴν σάρκα καὶ ἐγεννήθη ἀπὸ τὴν μακαρίαν παρθένον Θεὸς καὶ ἄνθρωπος, καὶ διὰ τοῦτο κυρίως καὶ ἀληθῶς θεοτόκος ἡ παρθένος καὶ εἶναι καὶ ὀνομάζεται, καὶ ἂς φλυαρεῖ ὁ Νεστόριος· καὶ τοῦτο εἶναι τὸ μυστήριον, καὶ τοῦτο εἶναι τὸ ὑποκείμενον τῆς περασμένης μας ἑορτῆς τῆς Χριστοῦ γεννήσεως, αὐτὸς ὁ Χριστὸς ὁ γεννηθεὶς ἐκ τῆς παρθένου.

Ὅσον πάλιν διὰ τὴν σημερινήν, τὸ ὑποκείμενον της εἶναι αὐτὸς πάλιν ὁ Χριστός. "Πάλιν Ἰησοῦς ὁ ἐμὸς" ἐκεῖ ἐγεννήθη, ἐδῶ

4 Ψαλμ. ιή, 10. Βασιλ. Ι, κβ', 10 || Ψαλμ. οα', 6. 16 καθαρώτατα αἵματα] πρβλ. Ἰωάννου Δαμασκηνοῦ ἔκθ. ἀκριβῆ τῆς ὀρθοδόξου πίστεως, βιβλ. β', κεφ. 2, ἐκδ. Migne σ. 985 (Patrol. τ. 94). 30 Γρηγ. Ναζ. λόγος ιζ', 1.

ἐβαπτίσθη· Χριστὸς σήμερον, "Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας". Καὶ τοῦτο, λέγω, μόνον γνωρίζω· τόσον μόνον καταλαμβάνω, πῶς ἕνα καὶ τὸ αὐτὸ ὑποκείμενον, τὸν Χριστόν, ἔχουσι καὶ αἱ δύο ἑορταί. Αὕτη, ἡ μία, μᾶς τὸν ἔδειξε γεννηθέντα· ἡ σημερινὴ μᾶς (τὸν) δείχνει βαπτισθέντα. Ἀλλὰ νὰ συγκρίνω τὰ ἐξωτερικὰ καὶ περιστατικὰ πράγματα τῆς μίας καὶ τῆς ἄλλης ἑορτῆς, ποῖα νὰ εἶναι λαμπροτέρα, ποῖα νὰ εἶναι φαιδροτέρα, ἀδυνατῶ καὶ νοῦν καὶ διάνοιαν καὶ στόμα καὶ γλῶσσαν. Διὰ τοῦτο κατὰ παράθεσιν βάλλοντας ἕνα μὲ τὸ ἄλλο σήμερον, καὶ προσφέροντές τα εἰς τὴν ἡμετέραν ἀγάπην, ἀφίνω εἰς τοῦ λόγου σας τὴν κρίσι, ἂν καλὰ καὶ νομίζω καὶ ἡ ἐντιμότης σας σύγκρισιν δὲν θέλετε κάμει, ἀλλὰ μόνον θέλετε θαυμάσειν εἰς τὰ μεγαλεῖα τῶν πραγμάτων· καὶ θαυμάζοντες μόνον τοῦτο θέλετε κάμειν, νὰ δοξάσετε μὲ τὴν τότε στρατιὰν τῶν οὐρανίων ἀγγέλων καὶ νὰ λέγετε "δόξα ἐν ὑψίστοις Θεῷ". Καὶ ἡ περασμένη ἑορτὴ τῆς Χριστοῦ γεννήσεως μᾶς ἔδειξε τὸν Χριστὸν μέσα εἰς τὸ σπήλαιον τῆς ἁγίας Βηθλεέμ· ἡ σημερινὴ ἑορτὴ μᾶς τὸν δείχνει εἰς τὸν Ἰορδάνην ποταμόν· ἐκεῖ, εἰς τὸ σπήλαιον, διὰ νὰ μᾶς δείξῃ ἐξ ἀρχῆς τὴν ἄκραν του ταπείνωσιν καὶ πολλὴν του πτωχείαν ὁ "πλούσιος ἐν ἐλέει", ἐπειδή, καθὼς ἀτός του ὕστερον εἶπεν, οὐκ εἶχε "ποῦ τὴν κεφαλὴν κλῖναι"· ἐδῶ φαίνεται, εἰς τὸν Ἰορδάνην ποταμόν, διὰ νὰ ἁγιάσῃ τὴν φύσιν τῶν ὑδάτων, δίδοντάς τως τὴν ἐνέργειαν τοῦ μεγάλου μυστηρίου τοῦ βαπτίσματος· ἐκεῖ ἐσπαργανωμένον, ἐδῶ γυμνόν· ἐκεῖ, εἰς τὴν φάτνην τῶν ἀλόγων ζώων, διὰ νὰ ἐλευθερώσῃ τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τὴν ἀλογίαν, ὁποῦ ἐθυσίαζεν καὶ ἐπροσκύνα ὡς θεοὺς τὰ ἄλογα ζῷα· ἐδῶ κατεβαίνει καὶ βαπτίζεται καὶ ἐνδύνεται τὰ νερὰ τοῦ ποταμοῦ, διὰ νὰ πατήσῃ καὶ νὰ συντρίψῃ τὴν κεφαλὴν τοῦ δράκοντος, τοῦ πονηροῦ Διαβόλου, ὁποῦ ἐκατοίκα εἰς τὰ νερὰ καὶ εἰς τοὺς ποταμούς· ἐκεῖ ὑπηρετοῦσιν ὁ δίκαιος Ἰωσὴφ καὶ ἡ μακαρία παρθένος, ἐδῶ ὁ πρόδρομος Ἰωάννης λειτουργεῖ τὸ μυστήριον· ἐκεῖ ὁ

1 πρὸς Ἑβρ. ιγ', 8. 15 Λουκ. β', 14. 20 πρὸς Ἐφεσ. β', 4. 21 Ματθ. η', 20. Λουκ. θ', 58.

ἄγγελος ἐπροσκάλει τοὺς ποιμένας νὰ ἔλθουσι νὰ ἰδοῦσι τὸν σωτῆρα τοῦ κόσμου, βρέφος κείμενον ἐν τῇ φάτνῃ· ἐδῶ ὁ πρόδρομος Ἰωάννης προσκαλεῖται τοὺς λαοὺς νὰ ἑτοιμάσουσι τὴν ὁδὸν τοῦ Κυρίου· "ἑτοιμάσετε τὴν ὁδὸν τοῦ Κυρίου"· καὶ δείχνοντάς τον μὲ τὸ δάκτυλον εἰς τοὺς μαθητάς του ἔλεγε "ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου". Ἐκεῖ ἐφάνη ὁ ἀστὴρ ὁδηγῶντας τοὺς μάγους, καὶ "ἰδού", λέγει, "ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον"· ἐδῶ ὄχι ἀστὴρ ἀπὸ τὸν οὐρανόν, ἀλλὰ αὐτὸς ὁ οὐράνιος πατὴρ μαρτυρεῖ μὲ φωνὴν ἀόρατον τὴν θεότητα τοῦ μονογενοῦς του υἱοῦ· "οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός". Ἐκεῖ χορὸς οὐρανίων ἀγγέλων ἔψαλλε καὶ ἔλεγε "δόξα ἐν ὑψίστοις"· ἐδῶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον κατέρχεται ἐν εἴδει περιστερᾶς καὶ μένει εἰς τὸν βαπτιζόμενον υἱόν, δείχνοντας πῶς ἡ φωνὴ ἐκείνη τοῦ πατρός, ὁποῦ μαρτυρεῖ τὸν υἱὸν υἱόν του ἀγαπητόν, δὲν ἤτονε διὰ τὸν βαπτίζοντα Ἰωάννην, ἀλλὰ διὰ τὸν βαπτιζόμενον Χριστόν· καὶ θέλεις ἰδεῖν ἐδῶ ὅλον τὸ μυστήριον τῆς ἁγίας τριάδος φανερωμένον εἰς τὸν Ἰορδάνην ποταμόν, τὸν υἱὸν βαπτιζόμενον κάτω ὡς ἄνθρωπον, τὸν πατέρα μαρτυροῦντα αὐτὸν ὡς Θεὸν ἄνωθεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον κατερχόμενον εἰς αὐτὸν καὶ μαρτυροῦντα τὴν ὁμοουσιότητα τῶν τριῶν ὑποστάσεων, πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ διὰ τοῦτο ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία σήμερον ψάλλει καὶ λέγει "Τριάδος ἡ φανέρωσις ἐν Ἰορδάνῃ".

Καὶ τέλος πάντων, διὰ νὰ ἔλθω εἰς τὰ ἐδικά μας, ποῖος ἤτονε ὁποῦ τότε λάμπρυνε τὴν περασμένην ἐκείνην ἑορτὴν τῆς Χριστοῦ γεννήσεως; ποῖος εἶναι ὁποῦ στολίζει καὶ φαιδρύνει τὴν παροῦσαν πανήγυριν τῆς τοῦ Χριστοῦ μου βαπτίσεως σήμερον; ποῖος ἄλλος παρὰ οὗτος ὁ ὄντως ἄνθρωπος τοῦ Θεοῦ, ὁ παναγιώτατος αὐθέντης καὶ δεσπότης οἰκουμενικὸς πατριάρχης πρώην, ἀλλὰ καὶ τότε καὶ νῦν ἁπάσης τῆς οἰκουμένης ὀφθαλμός; Τοῦτος εἶναι ὁποῦ

4 Ματθ. γ', 3. Μάρκ. α', 3. Λουκ. γ', 4. 5 Ἰωάν. α', 29, 36. 7 Ματθ. β', 9. 10 Ματθ. γ', 17. 22 Μηναῖον τοῦ Ἰανουαρίου. Βενετία 1890, σ. 71, τροπάριον οὗ ἡ ἀρχή· «Ἐν Ἰορδάνῃ βαπτιζομένου σου».

τότε εἰς τὴν ἁγίαν Βηθλεὲμ ὡσὰν ἕνας ἄλλος λαμπρότατος ἀστὴρ ἐφάνη εἰς τὸ ἅγιον σπήλαιον, ὁποῦ ἦν τὸ παιδίον, ὁ Χριστός, κείμενον, καὶ κατηύγασε καὶ ἐλάμπρυνεν ἐκείνην τὴν ἑορτήν. Τοῦτος καὶ σήμερον ὡσὰν ἕνας ἄλλος πρόδρομος Ἰωάννης ἐπιστατεῖ καὶ στολίζει καὶ τὴν σημερινὴν πανήγυριν, ὑπηρετῶντας τὸ σημερινὸν μυστήριον. Ἀλλ' ὦ ἄνθρωπε τοῦ Θεοῦ καὶ πιστὲ θεράπων καὶ οἰκονόμε τῶν μυστηρίων τῶν πνευματικῶν καὶ ἄνερ ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, "πόθεν μοι τοῦτο" (νὰ εἰπῶ καὶ ἐγώ, καθὼς ἡ Ἐλισάβετ ἔλεγε πρὸς τὴν μακαρίαν παρθένον), πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ πρὸς ἡμᾶς ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης; ἤ, ὡσὰν οἰκουμενικὸς καὶ ὡσὰν ὀφθαλμὸς τῆς οἰκουμένης ὁποῦ καὶ ἐχρημάτισας καὶ εἶσαι, περιτρέχεις τὴν οἰκουμένην ἐπισκεπτόμενος ἡμᾶς τοὺς ἐλαχίστους καὶ σμικροτάτους σου ἀδελφούς; ὡσὰν ἕνας ἄλλος ἀπόστολος Παῦλος, ἐπιστηρίζων τοὺς ἀδελφοὺς καὶ τὰς ἐκκλησίας τοῦ Θεοῦ; πόθεν μοι τοῦτο, ἵνα ἔλθῃς πρὸς ἡμᾶς; ἢ ἦλθες νὰ ἰδῇς τοῦτο τὸ μικρότατον ποίμνιον, ἢ ἦλθες νὰ ἰδῇς τὰ πάθη μας καὶ τοὺς πειρασμοὺς τοὺς καθημερινοὺς καὶ τὴν ἐσχάτην πτωχείαν μας, καὶ νὰ μᾶς παρηγορήσῃς καὶ μὲ ἔργον καὶ μὲ λόγον; Ἦλθες νὰ δώσῃς φαγὶ τῶν πεινασμένων, νὰ ποτίσῃς τοὺς διψασμένους, νὰ ἐνδύσῃς τοὺς γυμνούς, νὰ ἐπισκεφθῇς ἀσθενεῖς καὶ ἡμᾶς τοὺς ὡς φυλακισμένους, κατὰ τὴν εὐαγγελικὴν ἐντολήν;

Ναί, λέγω, καὶ τοῦτα ὅλα καὶ διὰ τοῦτα ὅλα· ἀλλὰ περισσότερα ἦλθες, ἐπεὶ ὡσὰν πλεονέκτης τοῦ καλοῦ ὁποῦ εἶσαι, δὲν σοῦ ἤτονε ἀρκετὸν νὰ ἔχῃς μόνον μυστικῶς τὸν Χριστόν, τὸν ἀρχιποίμενά σου, ἐστερνισμένον μέσα εἰς τὴν καρδίαν σου, ἀλλὰ ζήλῳ θείῳ καὶ ἔρωτι θεϊκῆς ἀγάπης κινούμενος ἠθέλησας καὶ αἰσθητῶς νὰ ἰδῇς καὶ νὰ προσκυνήσῃς καὶ τοὺς τόπους τούτους τοὺς ἁγίους ὁποῦ αὐτὸς ὁ Χριστὸς σωματικῶς ἐπιδημῶντας ἡγίασεν· καὶ διὰ τοῦτο ὡσὰν ἕνας ἄλλος Μωυσῆς πρῶτον ἀνέβῃς εἰς τὸ θεοδόξαστον καὶ ἅγιον ἐκεῖνο ὄρος τὸ Σίναιον καὶ εἶδες τὴν ἀκα-

8 Λουκ. α', 43. 22 Ματθ. κε', 34-39.

τάφλεκτον βάτον καὶ δὲν ἄκουσες ὡσὰν τὸν Μωυσῆν "μὴ ἐγγίσῃς ὧδε", ἀλλὰ καὶ προσῆλθες καὶ ἤγγισες καὶ ἐπροσκύνησες, ἔστοντας ὁποῦ πρότερον νὰ ἔλυσες τὸ ὑπόδημα ἐκ τῶν ποδῶν τουτέστι τὰ γηϊκὰ καὶ σαρκικὰ θελήματα. Ἔπειτα ἀνέβης καὶ εἰς τὴν κορυφὴν τοῦ ὄρους ἐσὺ ὁποῦ πάντοτε "διέθου ἀναβάσεις ἐν τῇ καρδίᾳ σου", καὶ μέσα εἰς τὸν γνόφον τῆς θεϊκῆς θεωρίας ἐστάθης, καὶ διὰ τοῦτο εἰς τὴν ὀπὴν τῆς πέτρας δὲν εἰσέβης, μήτε ἐσκεπάσθης μὲ τὴν θεϊκὴν χεῖρα διὰ νὰ ἰδῇς μόνον τοῦ Θεοῦ τὰ ὀπίσθια, διατὶ "ἀνακεκαλυμμένῳ προσώπῳ", κατὰ τὸν μακάριον Παῦλον, πάντοτε τὸν νόμον τοῦ Θεοῦ τὸν ἔχεις ἐγγεγραμμένον νοερῶς εἰς τὰς πλάκας τῆς καρδίας σου. Ἐκεῖθεν ὁδηγῶντας τὸν καθαρώτατόν σου νοῦν, ὡσὰν ἕνα ἄλλον ἰσραηλιτικὸν λαὸν ὁ Ἰησοῦς τοῦ Ναυῆ, ἦλθες εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας, ὄχι νὰ τὴν κληροδοτήσῃς ἀλλωνῶν, ὡσὰν ἐκεῖνος, ἀλλὰ σὺ αὐτὸς νὰ γένῃς κληρονομία καὶ ἀφιέρωμα ταύτης τῆς Γῆς τῆς Ἐπαγγελίας. Τοῦτα ὅλα εἶναι ὁποῦ εἰς τὴν καθαράν σου ψυχὴν ἄναψαν τὴν φλόγα τῆς θεϊκῆς ἀγάπης καὶ ἦλθες πρὸς ἡμᾶς. Ἦλθες, λέγω, νὰ ἰδῇς μίαν χώραν τῆς Ἱερουσαλήμ, βέβαια πολλὰ μικροτάτην, ἀλλὰ ὀνομαστοτάτην ἀπὸ ὅλαις ταῖς ἄλλαις χώραις ταῖς ὀνομαστικαῖς· διατὶ ὅλαις αἱ ἄλλαις χώραις ὀνομάζονται μὲ ὀνόματα βασιλέων θνητῶν ἀνθρώπων, ἀλλὰ τούτη ὀνομάζεται μὲ τὸ ἴδιον ὄνομα τοῦ μεγάλου βασιλέως Θεοῦ, τοῦ βασιλέως τῶν βασιλευόντων καὶ κυρίου τῶν κυριευόντων. Ἡ Νινευὶ ἐκείνη ἡ ὀνομαστοτάτη ὠνομάσθη Νινευὶ ἀπὸ τὸν παλαιὸν ἐκεῖνον Νῖνον τὸν κτίτορά της, ἡ Ῥώμη ἀπὸ τὸν Ῥωμύλον, ἡ Τραϊανούπολις ἀπὸ τὸν βασιλέα Τραϊανόν, οἱ Καισάρειαις (ἡ μία καὶ ἡ ἄλλη) ἀπὸ τοὺς Καίσαρες τοὺς βασιλεῖς τῆς Ῥώμης.

Διατί ἔτζη τοῦτοι; διότι ἤθελαν τοῦτο μόνον καὶ ὄχι ἄλλο περισσότερο, τὰ ὀνόματά τως νὰ ὀνομάζωνται μόνον ἐδῶ κάτω εἰς τὴν γῆν· τῶν ὁποίων τὴν ἀγνωσίαν γελῶντας ὁ προφήτης Δαυὶδ λέγει· "ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν",

1 Ἐξόδ. γ', 5. 5 Ψαλμ. πγ', 5. 9 πρὸς Κορινθ. 2, γ', 18. 31 Ψαλμ. μη', 11.

εἰς τὰς γαῖας. Εἰς ἕνα μέρος τῆς γῆς καθένας ἤθελε νὰ ὀνομάζεται τὸ ὄνομά του. Διατί; διότι δὲν ἤτονε ἄξιοι νὰ συναριθμοῦνται μετ' ἐμᾶς τοὺς πιστοὺς μαθητὰς τοῦ Χριστοῦ, ὁποῦ μᾶς λέγει "χαίρετε δέ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς". Διὰ τοῦτο, λέγω, ἡ ἁγία τούτη πόλις Ἱερουσαλὴμ ὑπερέχει πασῶν τῶν ἄλλων πόλεων, διατὶ δὲν ὀνομάζεται πόλις κανενὸς βασιλέως, θνητοῦ ἀνθρώπου, πόλις Νέρωνος, ἢ πόλις Τραϊανοῦ, ἢ πόλις Καίσαρος, ἀλλὰ πόλις τοῦ Θεοῦ καὶ πόλις τοῦ μεγάλου βασιλέως Θεοῦ. Καὶ ποῖος τὸ μαρτυρεῖ; αὐτὸς ὁ ἴδιος Θεός, ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ καὶ πατρὸς καὶ Θεός, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· "μήτε ἐν τῇ Ἱερουσαλήμ", λέγει "ὀμόσῃς, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως". Καὶ ἂν ἐρωτᾷς διατί τούτη ἡ πόλις μόνη κατ' ἐξαίρετον ὀνομασίαν μὲ τοιοῦτον ὑψηλὸν καὶ θεῖον ὄνομα ὀνομάζεται πόλις Θεοῦ καὶ πόλις τοῦ μεγάλου βασιλέως, τούτη εἶναι [ἡ] αἰτία· διατὶ ὁ μακάριος Παῦλος ἀλληγορεῖ τούτην τὴν ἐπίγειον Ἱερουσαλὴμ εἰς τὴν οὐράνιον ἐκείνην Ἱερουσαλήμ, τὴν ὁποίαν καὶ ὁ θεολόγος Ἰωάννης εἶδεν εἰς τὴν ἀποκάλυψιν· "καὶ εἶδον", λέγει, "τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ κατεβαίνουσαν ἐκ τοῦ οὐρανοῦ"· διότι ἐκείνην τὴν πόλιν, τὴν ἄνω Ἱερουσαλήμ, λέγει ὁ μακάριος Παῦλος, πῶς τὰ τείχη της ἐζωγράφηνται ἐν ταῖς χερσὶ τοῦ ἀοράτου· ἡ ὁποία δὲν εἶναι ἄλλη ἐκείνη ἡ οὐράνιος Ἱερουσαλήμ, παρὰ ἡ οὐράνιος βασιλεία, εἰς τὴν ὁποίαν ὁ Χριστὸς θέλει νὰ βασιλεύσῃ μετὰ τὴν κοινὴν ἀνάστασιν εἰς ὅλον τὸ γένος τῶν πιστῶν, τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς· βασιλείαν αἰώνιον, καθὼς ἔλεγεν καὶ ὁ ἄγγελος πρὸς τὴν παρθένον, ὅτι "δώσει κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας"· καὶ γροικᾶται "οἶκος Ἰακὼβ" ὅλοι οἱ δίκαιοι ὁποῦ εἶναι σὰν τὸν Ἰακώβ. Διὰ τοῦτο λοιπὸν τούτη ἡ ἁγία πόλις λέγεται καὶ εἶναι πόλις Θεοῦ καὶ πόλις τοῦ μεγάλου βασιλέως, ὡσὰν ὁποῦ εἶναι τύπος καὶ εἰκὼν τῆς ἄνω Ἱερουσαλήμ, τῆς οὐρανίου βασιλείας·

4 Λουκ. ι', 20. 11 Ματθ. ε', 35. 15 πρὸς Γαλάτ. δ', 25, 26. Ἑβρ. ιβ', 22. 18 Ἀποκ. γ', 12. 26 Λουκ. α', 31, 32.

διατί, καθὼς τότε ὁ ἰσραηλιτικὸς λαὸς φεύγοντας ἀπὸ τὴν δουλείαν καὶ τὴν σκλαβίαν τοῦ Φαραώ, ἀπὸ τὴν Αἴγυπτον, ἀπὸ τὸν πηλὸν καὶ τὴν πλινθείαν, ἦλθε καὶ ἐκατοίκησεν εἰς τούτην τὴν Ἱερουσαλήμ, τοιουτοτρόπως, ἄνθρωπε, φεύγοντας καὶ ἐσὺ μετὰ θάνατον ἀπὸ τὴν δουλείαν καὶ ἀπὸ τὴν λάσπην καὶ ἀπὸ τὴν πλινθείαν τῆς λάσπης καὶ τοῦ πηλίνου τούτου σώματος ἐλπίζεις νὰ ἔλθῃς νὰ κατοικήσῃς εἰς τὴν οὐράνιον ἐκείνην Ἱερουσαλήμ.

Βλέπεις πῶς τούτη ἡ Ἱερουσαλὴμ εἶναι τύπος καὶ εἰκὼν τῆς οὐρανίου ἐκείνης Ἱερουσαλήμ, καὶ ἀνίσως καὶ αἱ εἰκόνες τῶν πραγμάτων ὀνομάζωνται μὲ τὰ ὀνόματα τῶν πραγμάτων καὶ τὴν εἰκόνα τοῦ Χριστοῦ, τὴν λέγομεν Χριστόν, ὡσὰν εἰκόνα Χριστοῦ, καὶ τὴν εἰκόνα τῆς Παναγίας τὴν λέγομεν Παναγίαν, ὡσὰν εἰκόνα τῆς Παναγίας· καὶ ἂν ἰδοῦμεν μίαν εἰκόνα ἑνὸς βασιλέως, χάριν λόγου τοῦ μεγάλου Ἰουστινιανοῦ, λέγομεν τοῦτος εἶναι ὁ Ἰουστινιανός, διατὶ ἔχει τὸν χαρακτῆρα τοῦ Ἰουστινιανοῦ· διὰ τοῦτο λέγω καὶ τούτη ἡ ἁγία Ἱερουσαλήμ, ἐπειδὴ εἶναι τύπος καὶ εἰκὼν τῆς οὐρανίου Ἱερουσαλήμ, πρεπόντως ἔχει καὶ τὸ ὄνομα τῆς ἄνω Ἱερουσαλήμ· καὶ ὡς καθὼς ἐκείνη ἡ ἄνω καὶ οὐράνιος Ἱερουσαλὴμ λέγεται πόλις τοῦ μεγάλου βασιλέως Θεοῦ, τοιουτοτρόπως καὶ τούτην τὴν Ἱερουσαλὴμ τὴν ὀνομάζει ὁ Χριστὸς πόλιν τοῦ μεγάλου βασιλέως Θεοῦ, ὡσὰν ὁποῦ εἶναι τύπος καὶ εἰκὼν τῆς ἄνω Ἱερουσαλήμ, τῆς οὐρανίου βασιλείας. Λοιπόν, ὦ εὐσεβέστατοι χριστιανοί, ἂν προσκυνοῦμεν τὰς ἁγίας εἰκόνας τοῦ Χριστοῦ καὶ τῶν ἁγίων διὰ τὴν τιμὴν τοῦ Χριστοῦ καὶ τῶν ἁγίων, ἐπειδὴ ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, πρέπει κάθε χριστιανὸς εὐλαβής, ἐφόσον δύναται, νὰ τρέχῃ καὶ νὰ προσκυνῇ τούτην τὴν ἐπίγειον Ἱερουσαλὴμ ὡσὰν εἰκόνα τῆς ἄνω Ἱερουσαλήμ, ἂν ἔχῃ πόθον καὶ ἀγάπην καὶ ἔρωτα θεῖον νὰ τὴν ἀπολαύσῃ καὶ ἐκείνην τὴν Ἱερουσαλὴμ τὴν οὐράνιον, καὶ τὸ περισσότερον διατὶ ἐδῶ εἰς τούτην τὴν Ἱερουσαλὴμ θεωρεῖ τὸν Χριστὸν μὲ τὸν νοῦν ἄνθρωπον ποθητόν, καταφρονεμένον καὶ ἐσταυρωμένον· ἀλλὰ ἐκεῖ εἰς τὴν ἄνω Ἱερουσαλὴμ θέλει νὰ τὸν ἰδῇ πρόσωπον πρὸς πρόσωπον, μὲ τὴν δόξαν τῆς θεότητος.

Ἀφίνω καὶ δὲν λέγω πῶς ἐδῶ μέλλει νὰ τὸν ἰδοῦμεν ὅλοι ἐξ οὐρανοῦ κατερχόμενον ἐν τῇ δόξῃ αὐτοῦ καὶ ὡς κριτὴν καθεζόμενον κρῖναι ζῶντας καὶ νεκρούς.

Τοῦτα λοιπὸν ὅλα μελετῶντας εἰς τὴν καθαράν σου ψυχὴν ἀείποτε, παναγιώτατε καὶ ἅγιε δέσποτα, ἦλθες νὰ ἰδῇς καὶ νὰ προσκυνήσῃς τούτην τὴν πόλιν τοῦ μεγάλου βασιλέως Θεοῦ· ἀλλὰ ἐξαιρέτως νὰ ἰδῇς καὶ μεθ' ὅσης τῆς εὐλαβείας σου νὰ ἰδῇς καὶ νὰ προσκυνήσῃς καὶ τοὺς ἐξαιρέτους τόπους ὁποῦ μὲ τὰ ὑπερφυᾶ μυστήρια τῆς ἐνσάρκου του οἰκονομίας αὐτὸς ὁ Χριστὸς ὁ μέγας βασιλεὺς ἡγίασε καὶ μεγάλως ἐτίμησε καὶ ἐδόξασε· νὰ ἰδῇς τὴν ἁγίαν Ναζαρὲτ ὁποῦ εὐηγγελίσθη ἡ παρθένος καὶ σὰν ἕνας ἄλλος ἄγγελος Γαβριήλ, καὶ μετ' αὐτὸν τὸν Γαβριὴλ νὰ ὑμνήσῃς τὴν παρθένον καὶ νὰ τῆς εἰπῇς "χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ", καὶ ὄχι μόνον μετὰ σοῦ, ἀλλὰ καὶ διὰ σοῦ μεθ' ἡμῶν. Ἦλθες νὰ ἰδῇς καὶ εἶδες τὸ ἅγιον σπήλαιον τῆς ἁγίας Βηθλεέμ, ὁποῦ ὡς βρέφος ὁ Χριστὸς ἀνεπαύθη ἐν τῇ φάτνῃ τῶν ἀλόγων. Ἐσὺ ὁποῦ ἐκ νεαρᾶς σου ἡλικίας τὴν καρδίαν σου ἠμέρωσας ἀπὸ τὰ ἄλογα πάθη καὶ τὴν ἔκαμες κατοικητήριον τοῦ ἁγίου πνεύματος, ἐδοξολόγησες ἐκεῖ μετὰ ἀγγέλων, ἐθαύμασας μετὰ ποιμένων, ὡδηγήθης μὲ τὸν ἀστέρα, ὡς οἱ μάγοι, μὲ τὴν καθαρωτάτην καὶ ὀρθόδοξόν σου πίστιν· ἐπρόσφερες ἐκεῖ ὄχι τριπλᾶ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ἀλλὰ ὅλον τὸν ὁρμαθὸν τῶν θαυμασίων σου ἀρετῶν, τὰς τρεῖς θεολογικὰς ἀρετάς, πίστιν ἐλπίδα καὶ ἀγάπην. Ἦλθες νὰ ἰδῇς τὸν ἁγιώτατον πάντων ποταμῶν, τὸν Ἰορδάνην, ὁποῦ ὁ Χριστὸς ἐβαπίσθη τὸ ἀνθρώπινον, μὲ τὸν ὁποῖον Χριστὸν συνετάφης διὰ τοῦ βαπτίσματος καὶ διὰ τῆς ἀρχιερατικῆς σου πορφύρας ἔγινες ποταμὸς τῶν χαρισμάτων τοῦ πνεύματος· νὰ ἰδῇς τὴν ἔρημον ὁποῦ ἀνήχθη ὁ Χριστὸς ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου καὶ ἐνήστευσεν ἡμέρας τεσσαράκοντα καὶ ἐπειράχθη ὑπὸ τοῦ Διαβόλου, ἐσὺ ὁποῦ πολλοὺς καὶ μυρίους πειρασμοὺς ὑπέμεινας καὶ κόπους ὑπέφερες καὶ ἱδρῶτας ἔχυσας διὰ

13 Λουκ. α', 28.

τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ ὅλα τοῦτα τὰ ἐνίκησας μὲ τὴν ἀρετήν σου· καὶ τέλος νὰ ἰδῇς καὶ νὰ προσκυνήσῃς τὰ ἅγια τοῦ Χριστοῦ πάθη, ἐσὺ ὁποῦ κατὰ τὸν μακάριον Παῦλον τὰ στίγματα τοῦ Χριστοῦ καὶ τὴν νέκρωσιν τοῦ Χριστοῦ ἐν τῷ σώματί σου περιφέρεις, καὶ ζῇς οὐκέτι ἐσὺ εἰς τὸν ἑαυτόν σου, ἀλλὰ ζῇ Χριστὸς εἰς τοῦ λόγου σου· νὰ ἰδῇς τὸν ἅγιον τοῦτον Γολγοθᾶ, ὁποῦ ὁ σταυρὸς ἐστάθη ὡσὰν ἄλλον ξύλον τοῦ παραδείσου, ὄχι μὲ καρπὸν θανατηφόρον τῆς Εὔας, ἀλλὰ ξύλον ζωῆς καὶ δένδρον ἀθανασίας, βαστάζων τὸν ὡραιότατον καρπόν, τὸν Χριστὸν κρεμάμενον, ἀπὸ τὸν ὁποῖον ἐτρύγησες καὶ τρυγᾷς καὶ τρέφεσαι καὶ ἄλλους τρέφεις μὲ τὴν ἀναίμακτον θυσίαν τοῦ ἄρτου τῆς ζωῆς, τῆς ὁποίας οἰκονόμος καὶ διανομεὺς ἐχρημάτισας μεταδίδοντάς τον εἰς τοὺς πιστούς, ἐπειδὴ ὁ ζωοποιὸς ἄρτος τῆς ἁγίας κοινωνίας ἄλλο δὲν εἶναι παρὰ αὐτὸς ὁ Χριστὸς ἐσταυρωμένος, θυσιασμένος εἰς τὸν σταυρὸν καὶ ἀναστημένος ἄφθαρτος καὶ ἀθάνατος, καθὼς ὁ μακάριος Παῦλος λέγει· "ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνετε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε".

Τοῦτον εἶδες πολλάκις εἰς τὴν θείαν μυσταγωγίαν σου, ὄχι μόνον κρεμάμενον εἰς τὸν σταυρόν, εἰς τοῦτον (λέγω) τὸν ἅγιον Γολγοθᾶ, ἀλλὰ καὶ καθηλωθέντα ἀπὸ τοῦ σταυροῦ. Διὰ τοῦτο καὶ τὴν ἁγίαν ταύτην καὶ αἰσθητήν του ἀποκαθήλωσιν ἐπεθύμησας νὰ ἰδῇς, ἐσὺ ὁποῦ πάντα μὲ τὸν προφήτην Δαυὶδ λέγεις "καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου"· καὶ νομίζω βέβαια, πῶς μὲ τὴν ἰδίαν πίστιν καὶ μὲ τὴν ἰδίαν τόλμην τοῦ Ἀριμαθείας Ἰωσὴφ νὰ τὸν ἐζήτησες ἀπὸ τὸν Πιλάτον ἀνάμεσα εἰς τοὺς ἐθνικούς, καὶ νὰ σοῦ τὸν ἐχάρισε καὶ νὰ τὸν ἐτύλιξες μὲ τὴν σινδόνα τῆς καθαρᾶς σου πολιτείας, καὶ νὰ τὸν ἐνταφίασες μὲ τὴν σμύρναν τῶν πνευματικῶν σου ἀγώνων καὶ τῆς σωματικῆς καὶ πικρᾶς καὶ ξηρᾶς σκληραγωγίας, τῆς ἐγκρατείας καὶ νηστείας σου. Διὰ τοῦτο θέλεις ἀξιωθῇ ἀπάνω εἰς τοῦτα ὅλα νὰ

3 πρὸς Γαλάτ. ς', 17. 16 πρὸς Κορινθ. 1, ια', 26. 23 Ψαλμ. ριη', 120.

συνδράμῃς καὶ εἰς τὴν Ἀνάστασιν, εἰς τοῦτον τὸν Ζωοδόχον Τάφον, μὲ μυστικὰ ἀρώματα, ὡσὰν τὰς μυροφόρους, νὰ τὸν ἰδῇς καὶ νὰ τὸν γνωρίσῃς μὲ τὰ ὀμμάτια τὰ νοερὰ τῆς ψυχῆς, ὄχι ὡς κηπουρόν, ὡσὰν τὴν Μαγδαληνὴν Μαρίαν, ἀλλὰ ὡς φυτουργὸν τοῦ ἀρχαίου ἐκείνου παραδείσου καὶ τῶν ἀθανάτων ἐκείνων φυτῶν. Θέλεις δράμειν μαζὴ μὲ τὸν Πέτρον καὶ τὸν Ἰωάννην εἰς τοῦτον τὸν τάφον μὲ τὴν θερμότητα τοῦ Πέτρου καὶ μὲ τὴν παρρησίαν τοῦ Ἰωάννου· θέλεις συνοδεύσειν εἰς Ἐμμαοὺς σὰν τὸν Λουκᾶ καὶ τὸν Κλεόπα, ἀλλὰ ὄχι μὲ τὴν δυσπιστίαν τοῦ Λουκᾶ καὶ τοῦ Κλεόπα, διὰ τὴν ὁποίαν ὠνειδίσθησαν τότε, ἀλλὰ μὲ τοὺς λοιποὺς ἀποστόλους ὑποστρέφοντας νὰ λέγῃς "ἠγέρθη ὁ Κύριος ὄντως καὶ ὤφθη Σίμωνι", καὶ νὰ ἐξηγεῖσαι τὰ ἐν τῇ ὁδῷ, καὶ ὅτι πρὸ πολλοῦ τοῦ χρόνου καὶ τοῦ καιροῦ ἐγνώσθη ἐν τῇ κλάσει τοῦ ἄρτου, ὁποῦ πολλάκις ἐθυσίασες καὶ σήμερον ἐθυσίασες, ἂν θέλῃς νὰ δράμῃς ὡς μαθητὴς τοῦ Χριστοῦ καὶ ἀπόστολος εἰς τὸ ὄρος τῆς Γαλιλαίας νὰ ἰδῇς τὸν τόπον εἰς τὸν ὁποῖον ἐφανέρωσεν ὁ Χριστὸς τὴν ἐξουσίαν, ὁποῦ ὡς ἄνθρωπος τοῦ ἐδόθη, ὅταν ἔλεγεν "ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς"· διότι πρέπον σου εἶναι καὶ τοῦτο, ἐπειδὴ ὡς ἰσαπόστολος ἐκεῖθεν πρωτοδότως ἔλαβες τὴν ἐξουσίαν νὰ καθαγιάζῃς λαοὺς καὶ ἔθνη ἐπ' ὀνόματι τῆς ἁγίας τριάδος.

Γύρισε εἰς τὸ πολυθρύλητον καὶ πολυδόξαστον ὄρος τῶν Ἐλαιῶν, ἐνθυμούμενος μὲ τὸν νοῦν πῶς ἀπ' ἐκεῖ ἐκατέβη ὁ σὸς Χριστὸς καὶ Θεὸς πάντων, ἐπὶ ὄνου καθεζόμενος διὰ τὴν ἄκραν του ταπείνωσιν, ἀλλὰ δορυφορούμενος μετὰ κλάδων καὶ βαΐων καὶ ὑπὸ τῶν παίδων ἀνυμνούμενος ὡς βασιλεὺς τοῦ Ἰσραήλ. Συγκάτελθε μετ' αὐτῶν, βαστάζων τοὺς κλάδους τῶν ἀρετῶν σου, ἐσὺ ὁποῦ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μὲ τὴν ἀρχιερατικὴν καὶ πατριαρχικήν σου πορφύραν φαίνεσαι ὡσεὶ ἐλαία κατάκαρπος. Γύρισε πάλιν καὶ ἀνέβα εἰς αὐτὸ καὶ μετ' αὐτὸν τὸν Χριστὸν μαζὴ κάθισε ἀνάντια καὶ ἰδὲ τὴν Ἱερουσαλὴμ τούτην καὶ κλαῦσε εἰς αὐτὴν

11 Λουκ. κδ', 34. 18 Ματθ. κή', 18.

[διὰ τὸ] εἰς τίνας χεῖρας καὶ πῶς ἐκατάντησεν, διότι καὶ ὁ Χριστὸς ἰδὼν αὐτὴν ἀπ' αὐτὸ τὸ ὄρος καθήμενος ἔκλαυσε· καὶ ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ' αὐτὴν διὰ τὴν καταστροφήν της. Ἀλλά, ἂν θέλῃς πάλιν νὰ εὐφρανθῇς καὶ νὰ χαρῇς, μετὰ τὴν ἀνάστασιν ἀνέβα πάλιν εἰς αὐτὸ ἀπὸ τὴν Βηθανίαν μὲ τοὺς μαθητὰς ἀκολουθῶντας τοῦ Χριστοῦ νὰ τὸν ἰδῇς ἀπ' ἐκεῖ ἀναληφθέντα εἰς τὸν οὐρανόν, διὰ νὰ ἐπιστρέψῃς πάλιν εἰς τὰ ἴδια μετὰ χαρᾶς μεγάλης, αἰνῇς καὶ νὰ εὐλογῇς τὸν Θεὸν διὰ παντός· διότι ὑπέστρεψαν ἀπ' ἐκεῖ καὶ οἱ ἀπόστολοι, σὰν τὸν εἶδασι ὁποῦ ἀνελήφθη· ὑπέστρεψαν λέ[γοντες - - - -].

Ταῦτα καὶ τὰ τοιαῦτα, παναγιώτατε δέσποτα, ὁποῦ σὲ παρακίνησαν τῇν θεοδίδακτόν σου ψυχὴν νὰ μὴν δειλιάσῃς μακροὺς δρόμους, νὰ μὴ φοβηθῇς κινδύνους, νὰ μὴν μετρήσῃς κόπους, νὰ ἔλθῃς ἕως ὧδε· ἢ τάχα ἦλθες καὶ διὰ νὰ ἁγιάσῃς τοὺς τόπους μὲ τὴν ἐπιδημίαν τῆς καθαρᾶς σου ψυχῆς καὶ νὰ εὐλογήσῃς καὶ νὰ ἁγιάσῃς τὸ σμικρότατον τοῦτο ποίμνιον καὶ τοὺς φιλοχρίστους τούτους προσκυνητάς, τὰ λογικὰ πρόβατα τοῦ Χριστοῦ, οἱ ὁποῖοι μὲ πολλὴν εὐλάβειαν ἀπὸ διαφόρους καὶ μακρινοὺς τόπους ὡσὰν ἀετοὶ ὑπόπτεροι τρέχουσιν εἰς ἀπόλαυσιν τοῦ ἁγίου τούτου τόπου; διὰ τοὺς ὁποίους φαίνεταί μου νὰ ἐπροφήτευεν ὁ μεγαλοφωνότατος Ἡσαΐας, ὅταν ἔλεγεν "πορεύσονται λαοὶ πολλοὶ καὶ ἐροῦσιν: δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου", καὶ πάλιν νὰ παρακελεύεται τὴν Ἱερουσαλὴμ καὶ νὰ λέγῃ "ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, ὦ Ἱερουσαλήμ, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου ἐν σοί". Πῶς; διατὶ λέγει "ἥκουσιν", ἔρχονται, "οἱ υἱοί", τὰ τέκνα σου, "ἀπὸ μακρόθεν"· καὶ βέβαια ἀπὸ μακρόθεν, ἀπὸ ἀνατολὴν καὶ δύσιν, ἀπὸ βορρᾶν καὶ νότον ἔρχονται μὲ τόσην σπουδήν, μὲ τόσην προθυμίαν, μὲ τόσην πίστιν καὶ εὐλάβειαν, ὁποῦ, ἂν ἦτον δυνατόν τως, καὶ πτερὰ ἤθελαν κάμει νὰ πετάσουσι καὶ νὰ ἔλθουσιν· ἢ τάχα νὰ μὴν ἔχουσι καὶ πτερὰ μυστικά, τὴν πίστιν καὶ τὴν εὐλάβειαν ὁποῦ ἔχουσι, μὲ τὰ ὁποῖα πετοῦσι ἀπὸ μα-

21 Ἡσ. β', 3. 23 Ἡσ. ξ', 4.

κρόθεν καὶ ἔρχονται; Αὐτὰ λέγω νὰ ἐπρόβλεπεν αὐτὸς πάλιν ὁ προφήτης Ἡσαΐας καὶ νὰ ἐθαύμαζε τὴν προθυμίαν τως καὶ νὰ ἔλεγεν· "τίνες οἵδε ὡς νεφέλαι πέτανται καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς αὐτῶν"; Σὰν περιστέρια, λέγει, πετοῦσι καὶ ἔρχονται μὲ τοὺς νεοσσούς τως, μὲ τὰ πουλάκια τως τὰ μικρά· καὶ δὲν εἶναι φανερὸν ὁποῦ μὲ τὰ μικρά τως παιδάκια ἀπὸ πολλὴν εὐλάβειαν ἔρχονται;

Τούτους λοιπὸν νὰ εὐλογήσῃς ἦλθες, ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ τοὺς εὐλόγησες καὶ τοὺς ἡγίασες. Εὐχαριστοῦμεν τῇ θεσπεσίᾳ σου ψυχῇ· μεγάλας καὶ ἀθανάτους ὁμολογοῦμέν σοι τὰς χάριτας· ἀλλὰ παρακαλοῦσι τὴν σὴν ὑπεροχήν, καὶ τοῦτοι καὶ ἡμεῖς οἱ μικροί σου ἀδελφοί, ἀκόμι δός μας καὶ τούτην σου τὴν εὐλογίαν· ῥάντισέ μας, ἁγίασέ μας μὲ τὸ ὕδωρ τοῦτο τὸ σημερινὸν τῶν ἁγίων Θεοφανείων, ὁποῦ θέλετε λάβειν τὸν κόπον νὰ τὸ ἁγιάσετε. Ἔτζη παρακαλοῦμεν, ἔτζη δεόμεθα ὅλοι μας· ὑμεῖς δέ, ὦ θεοσύλλεκτον συνάθροισμα, εὐλογημένοι χριστιανοί, εὐλαβέστατοι προσκυνηταί, τέκνα τῆς ἁγίας Σιών, περιστεραὶ ἀκέραιοι τοῦ Χριστοῦ, μιμηθῆτε τὸν πόθον, τὴν πίστιν, τὴν εὐλάβειαν τοῦ καλοῦ τούτου ποιμένος, καὶ μὲ τὴν ὁμοίαν πίστιν καὶ μὲ τὴν ὁμοίαν ψυχικὴν διάθεσιν ἂς γίνεται τὸ προσκύνημά σας· καὶ εἰς κάθε τόπον ἅγιον ὁποῦ προσκυνᾶται, νὰ λογιάζετε μὲ τὸν νοῦν σας τὸ μυστήριον ὁποῦ ἔκαμεν ἐκεῖ ὁ Χριστός, καὶ νὰ λογιάζεται πῶς εἰς κάθε τόπον ἅγιον θεωρεῖτε αὐτὸν τὸν Χριστόν· εἰς τὴν Βηθλεὲμ ὡς βρέφος κείμενον, εἰς τὸν Ἰορδάνην ὡς ἄνθρωπον βαπτιζόμενον, εἰς τὸ ὄρος νηστεύοντα καὶ πειραζόμενον, εἰς τὴν Βηθανίαν κράζοντα μὲ φωνὴν μεγάλην ἀπὸ τὸ μνῆμα καὶ ἀναστένοντα τὸν Λάζαρον, καὶ ἀπὸ τὸ ὄρος τῶν Ἐλαιῶν καταβαίνοντα νὰ ἔλθῃ εἰς τὸν σταυρὸν καὶ εἰς τὸν θάνατον. Λογιάζετε νὰ τὸν βλέπετε εἰς τὸν Γολγοθᾶ κρεμάμενον εἰς τὸν σταυρόν, εἰς τὴν Ἀποκαθήλωσιν λογιάζετε νὰ βλέπετε τὸν Ἰωσὴφ καὶ τὸν Νικόδημον νὰ τὸν κηδεύουσιν, εἰς τὸν Ἅγιον Τάφον τοὺς

3 Ἡσ. ξ', 8.

αὐτοὺς νὰ τὸν ἐνταφιάζουσι· καὶ ὅταν σεβαίνετε εἰς αὐτόν, λογιάζετε μὲ τὸν νοῦν σας νὰ βλέπετε ἐκεῖ τοὺς δύο ἀγγέλους ὁποῦ εἶδεν ἡ Μαγδαληνὴ Μαρία ἐν λευκοῖς καθεζόμενον, ἕνα πρὸς τῇ κεφαλῇ, ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἀπάνω εἰς τοῦτα ὅλα γένητε ἕτοιμοι πρὸς ὑποδοχὴν τοῦ ῥαντίσματος, τοῦ σημερινοῦ μυστηρίου, ὁποῦ θέλει ἁγιάσει ὁ ἁγιώτατος καὶ παναγιώτατος οὗτος τοῦ Χριστοῦ μαθητής, ὡσὰν ἕνας ἄλλος Πρόδρομος, διὰ νὰ λάβετε τελείως ἐκ τελείου πατρὸς καὶ ποιμένος τέλειον ἁγιασμόν, καὶ νὰ ὑποστρέψητε ἕκαστος εἰς τὴν ἴδιαν πόλιν, εἰς τὰ ἴδια, καὶ εἰς τοὺς ἠγαπημένους σας μετὰ χαρᾶς μεγάλης, διηγούμενοι ὅσα τε εἴδατε καὶ ἀκούσατε, δοξάζοντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἅμα τῷ προανάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων· ἀμήν.

II.

ΑΓΙΟΤΑΦΙΤΙΚΑ ΥΠΟΜΝΗΜΑΤΑ[1].

1. Εἰς τοὺς 1698 ἐσηκώθη καθ' ἡμῶν ὁ Ἀτίε, Βηθλεεμίτης Τοῦρκος, ἤμπιν-Ἀταΐα, καὶ εἶπεν ὅτι ὁ πορτάρης τοῦ Πατριαρχείου τὸν ἐκτύπησεν εἰς τὴν πόρτα καὶ εὔγαλε τὸ δόντι του· τὸν ὁποῖον Ἀτίε εἰρηνεύσαμεν μὲ τὸ μέσον τοῦ σιὲχ-Γιονούζη Βηθλεεμίτου Κόκκινου ἤμπιν-Τάμπετ, δίδοντές του μαϊδία γρόσια 38, καὶ ἐβάλαμεν κεφίλη ἀπάνω του τὸν ἄνωθεν σιὲχ-Γιονούζην, δίδοντες καὶ αὐτῷ κεφιλιάτικον μαϊδία γρόσια 9.

—

2. Τῷ αὐτῷ ἔτει ἐπανέστη καθ' ἡμῶν ὁ ἄνωθεν Ἀτίε Βηθλεεμίτης καὶ εἶπεν, ὅτι ἕνα καιρὸν ἐσκοτώθη ἕνας ἄνθρωπος ἀπὸ τὸ γένος του εἰς τὸν Ἅγιον Ἠλίαν, καὶ ἐγύρευε τὸ αἷμά του· τὸν ὁποῖον εἰρηνεύσαμεν πάλιν μὲ τὸ μέσον τοῦ σιὲχ-Σιαγιαλάνη-ἤμπην-Μασιάτην, ἀπὸ τὸ χωρίον Μπέην-Σατάφ· τὸν ὁποῖον Σιαγιλάνην ἐκάμαμεν καὶ κεφίλην εἰς τὴν αὐτὴν ὑπόθεσιν, δίδοντές του κεφιλιάτικον μαϊδία γρόσια 9.

—

3. Περὶ τοῦ Ἄση Μαλχιώτη.—Εἰς τοὺς 1698 ἐπανέστη καθ' ἡμῶν ὁ Ἄσης Μαλχιώτης ἤμπην-Σαχὰν μὲ τὴν μητέρα καὶ τὰ

τῶν οἰκουμενικῶν συνόδων ἐπεκυρώθησαν. Περὶ δὲ τοῦ Σινᾶ (ἐπισκόπου), ὅστις ἐκείνοις συνεξετάζεσθαι διισχυρίζεται, οὐδὲν οὐδαμοῦ τοιοῦτον ἐφάνη διαπραχθέν, ἀλλ' ἀρχιερατικὸν μόνον ἀξίωμα περιλοτίμηται αὐτῷ· καθηγουμένου δὲ τρόπον ἀναπληροῖ ἐν τῷ μοναστηρίῳ, καθά που καὶ γέγραπται ἐν ταῖς παρ' αὐτοῖς ἀρχαίαις ὑποτυπώσεσι " δεῖ τὸν ἡγούμενον τῆς μονῆς ταύτης εἶναι καὶ ἐπίσκοπον ", καὶ μέχρι τούτων τῶν ἡμερῶν ἡμῶν οὕτως ἴσμεν τὰ κατ' αὐτοὺς διεξαγόμενα· ὧν ἕνεκα καὶ τὰ παρὰ τοῦ Ἀνανίου πρὶν ἐπινοηθέντα νεωτερίσματα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις κριθέντα συνοδικῶς καὶ διαγνωσθέντα παρείσακτα καὶ παράνομα κατεγνώσθησαν καὶ ἀπερραπίσθησαν, καθάπερ διασαφοῦσι τὰ ἐν τῷ πατριαρχικῷ θρόνῳ τῶν Ἱεροσολύμων περὶ τούτου προεκδοθέντα πατριαρχικὰ καὶ συνοδικὰ γράμματα ἐπί τε τοῦ κῦρ Μεθοδίου καὶ τοῦ κῦρ Ἰακώβου καὶ τοῦ κῦρ Καλλινίκου [1], τῶν πρὸ ἡμῶν τε καὶ μεθ' ἡμᾶς διαδεξαμένων τὸν πατριαρχικὸν οἰκουμενικὸν θρόνον· οἷς ἄρα καὶ ἡμεῖς ἐνθέσμως συνδιαγνωμονοῦντες σύμψηφοι ἐσμέν, καὶ συναποφαινόμεθα εἶναι διαβεβλημένα καὶ διαλελυμένα καὶ ἄκυρα τὰ παρὰ τοῦ πρὶν ἀρχιερατεύσαντος εἰς τὸ Σίναιον ὄρος Ἀνανίου καινοτομηθέντα, εἰς τὸ ἀποστατῆσαι τοῦ ἰδίου πατριάρχου· τὰ δ' ἐν τῷ ἡμετέρῳ τοῖς Σιναΐταις ἐκδοθέντι γράμματι περὶ τοῦ διαληφθέντος μετοχίου γραφέντα καθ' ἱστορίαν ἁπλῶς ἀλλ' οὐχὶ κατά τινα χορηγίαν περὶ τοῦ ἀρχιεπισκόπου αὐτῶν, ἔχειν προνόμιον τάχα τοῖς αὐτοῖς ἀμφιέννυσθαι καὶ προσαγορεύεσθαι ὅσοις καὶ ὁ Ἀχριδῶν καὶ ὁ Κύπρου, διόλου ἀνατρέπομεν εὐκαίρως καὶ ἀνασκευάζομεν, ὡς ἄλλως μὲν γραφέντα τέως, ἄλλως δ' ὑπὸ τῶν Σιναϊτῶν ἐκλαμβανόμενα· καὶ ἀποφαινόμεθα, ὅπως διαμένωσιν ἄκυρα καὶ μηδεμίαν ἐνέρχειαν ἔχωσιν, οὔτε ἰσχύν, πρὸς σύστασιν τῶν ἀσυστάτων ἐκείνων τοῦ Ἀνανίου νεωτερισμάτων. Ὅθεν εἰς ἔνδειξιν καὶ παράστασιν τῆς ἄρδην ἐκείνων ἀκυρώσεως ἐξεθέμεθα καὶ τὸ παρὸν ἡμέτερον ἐνυπόγραφον γράμμα ἐν ἔτει ,αχπθ', ἐν μηνὶ ὀκτωβρίῳ ἰνδικτιῶνος ιγ' [1689].

† Ὁ μέγας λογοθέτης τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

[1] [Π. Νεοκλέους], Τὸ κανονικὸν δίκαιον κτλ., σ. 67-111.

μαρτύρομαι, ὅτι ἡ παροῦσα ἰνδικτιὼν ὑπάρχει τοῦ παναγιωτάτου πατριάρχου πρώην Κωνσταντινουπόλεως κῦρ Διονυσίου.

† Ὁ μέγας χαρτοφύλαξ τῆς Μεγάλης Ἐκκλησίας Μπαλάσ(ης) μάρτυς.

† Ὁ μέγας ῥήτωρ τῆς Μεγάλης Ἐκκλησίας Σκαρλάτος Ῥωσέτος μάρτυς.

† Ὁ πρωτέκδικος τῆς Μεγάλης Ἐκκλησίας Ἀνδρόνικος μάρτυς.

† Ὁ λογοθέτης τῆς Μεγάλης Ἐκκλησίας Χουρμούζης μάρτυς.

17.

(Φροντὶς περὶ τῆς ἐκδόσεως τοῦ περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως βιβλίου τοῦ ἐν Κιοβίᾳ μονάσαντος Ἀδὰμ Ζοιρνικαβίου) [1].

Χρύσανθος, ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης, τοῖς λαμπροτάτοις καὶ σοφωτάτοις διδασκάλοις καὶ θεολόγοις τῆς ἐν Ὠξονίᾳ ἀκαδημίας σωτηρίαν ἄνωθεν μετὰ ἀποστολικῆς εὐλογίας.

Ἡμῖν, ὦ ἄνδρες γενναῖοι καὶ βαθυγνώμονες, τὴν ἡλικίαν ἔτι προσήβοις διατελοῦσιν ἐξαίσιός τις ἔρως ἐνέστακται τοῦ κατὰ πόλεις καὶ χώρας ἐπιφανεστάτας τὰς περιοδείας ποιεῖσθαι καὶ πολλῶν ἐπιβαίνειν ἀστέων, κατὰ τὸν ὁμηρικὸν Ὀδυσσέα, πολυμαθείας καὶ πείρας πραγμάτων εἵνεκα· οὐ γὰρ ἐπιστάμεθα, κατὰ τὴν σοφὴν παραίνεσιν, ὡς ἡ πλάνη μὴ ὅτι γε τοὺς βίους σωφρονεστέρους καθίστησιν, ἀλλὰ καὶ νόσον αὔξουσα ταῖς ἐπιστήμαις ταῖς τῶν καλῶν καὶ ἀξιαγάστων ἱστορίαις μεγαλεπίβολον παρασκευάζει. Ἀμέλει τοι πάντα δεύτερα ἡγησάμενοι, τά τε πείσματα τῶν ἐλπίδων τῷ Θεῷ ἀναθέντες, δολιχῶν ἡψάμεθα διαύλων, τὰ μὲν πεζεύοντες, τὰ δὲ ὑγρὰ κέλευθα (ποιητικώτερον εἰπεῖν) τέμνοντες· καὶ διαπόντιοι γενόμενοι τῆς τε Ἀσίας τῆς Αἰγύπτου καὶ τῆς Εὐρώπης μικροῦ δεῖν ἁπάσης περιηγηταὶ καὶ αὐτόπται

[1] Κῶδ. Μετοχ. Κ/πόλεως 302. Τῆς ἐπιστολῆς ταύτης τὸ πρωτότυπον καὶ τὴν λατινικὴν αὐτῆς ἑρμηνείαν ἐμπεριέχει ὁ κῶδιξ οὗτος ἐν αὐτῇ τῇ ἀρχῇ αὐτοῦ· ἔστι δὲ ὁ κῶδιξ ὀγκώδης, καλλιγραφικώτατος καὶ λατινιστὶ γεγραμμένος· ὃν ὁ Χρύσανθος ἀπέστειλεν εἰς Ὀξφόρδην· ἔλαβε δὲ πάλιν ἐκεῖθεν συνδεδεμένον ἰσχυρῶς. Ἑλληνικὴν δὲ μετάφρασιν τοῦ συγγράμματος Ἀδὰμ Ζοιρνικαβίου ἐφιλοπόνησεν Εὐγένιος ὁ Βούλγαρις, τυπωθεῖσαν ἐν Πετρουπόλει ἔτει 1797-ῳ.

κατέστημεν, οὐκ ἀπολειφθέντες (ὡς εἰπεῖν) καὐτῶν τῶν τὰ ἔσχατα τῆς πάλαι ἐγνωσμένης γῆς παροικούντων, ἡδέως τε καὶ ἀγαστῶς τοῖς πᾶσιν ὁμιλοῦντες διά τε τὸ περιὸν τῆς σοφίας, ἑκασταχοῦ σχεδὸν τῶν Εὐρωπαίων μερῶν ἐπανθοῦν, καὶ τοῦ ἤθους τὸ προσηνὲς καὶ ἀστεῖον, οὐχ ἥκιστα δὲ καὶ τὸν πολὺν ἐν ταῖς πολιτείαις κόσμον καὶ τῶν μελάθρων τὸ περικαλλὲς καὶ ὑψίβατον, ὧν ἁπάντων ἐπαινέται καὶ τέως διατελοῦμεν καὶ ἐσόμεθα διὰ βίου· ἀναίσθητος γάρ, ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλῃ, φησὶν ἡ παροιμία.

Τόπον οὖν ἐκ τόπου ἀμείβοντες καὶ παρ' ἑκάστου τὸ πρόσφορον ἀναλέγοντες, καὶ εἰς Κιοβίαν τὸ ἄστυ παρενεβάλομεν τὸ δεύτερον (ἐν ἀρχιμανδρίτου μοίρᾳ τοτηνικάδε τυγχάνοντες τοῦ καθ' ἡμᾶς ἁγιωτάτου καὶ ἀποστολικοῦ πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων), μητρόπολιν οὖσαν τῆς μικρᾶς Ῥωσίας, πρὸς ταῖς ὄχθαις τοῦ Βορυσθένους τὴν σύμπηξιν λαχοῦσαν, ἐν ᾗ ὡς ἑρμαίῳ ἐνετύχομεν τῇδε τῇ βίβλῳ παρὰ τῷ τότε αὐτῆς προστατεύοντι ἀρχιερατικῶς ἀοιδίμῳ μητροπολίτῃ Βαρλαὰμ Γεασίνσκῃ, ἀνδρὶ τά τ' ἄλλα σοφῷ κἀν τοῖς ἐκκλησιαστικοῖς οὐ τὸ τυχὸν δοκίμιον κεκτημένῳ, τά τε πρὸς τὸν Θεὸν καὶ τὰ θεῖα πολὺ τὸ εὐλαβὲς καὶ φιλόθεον τρέφοντι· ἣν καὶ μεταγράψαντες σὺν περινοίᾳ μετήλθομεν μετά τε τοῦ διαληφθέντος ἱεροῦ ἀνδρός, καὶ εἰς τὴν Βασιλεύουσαν γεγονότες μετὰ τῶν ἐκεῖσε παρατυχόντων ἐλλογίμων ἀνδρῶν, τῶν καὶ τριβώνων τῶν ἐκκλησιαστικῶν, τῆς τε ἑλληνίδος καὶ λατινίδος φωνῆς εὖ μάλα ἐπαϊόντων. Διαγνόντες δὲ τὴν δέλτον σοφίας πλήρη, πλείστους τε ὀνήσασθαι ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι διαρκῆ, καὶ δὴ μάλιστα ἐν ταῖς πρὸ χρόνων συχνῶν ἀναφυείσαις, ὡς μὴ ὤφελε, μεταξὺ τῆς ἀνατολικῆς καὶ δυτικῆς ἐκκλησίας διαφοραῖς καὶ διενέξεσιν, ᾠήθημεν δεῖν ὡς ἀθανάτοις στήλαις τοῖς τύποις ταύτην ἐκδοῦναι καὶ εἰς φῶς ἀγαγεῖν, ὡς ἂν μὴ ὁ ξύμπας χρόνος φύσιν ἔχων τὰ πολλὰ κρύπτειν συχναῖς κυκλικαῖς περιόδοις, καὶ τήνδ' ἀφανίσῃ, κατὰ μικρὸν ἐξίτηλον τῇ παραδρομῇ γενομένην. Ἀλλ' οὖν καὶ δεύτερον ταύτην μετιόντες μετὰ σφοδροτέρας ἐπιστασίας, καὶ διαγνόντες, ὡς ὁ συγγραφεὺς ταύτης Ἀδὰμ Ζερνικάος, ἅτε δὴ ἀνὴρ πολυμαθέστατος, πεπλήρωκεν αὐτὴν ἀφει-

δῶς ἀρχαίων τε καὶ νέων ὑπομνημάτων ἑλληνικῶν τε καὶ λατινικῶν, τῶν μὲν χειρογράφων, τῶν δὲ καὶ τυπωθῆναι φθασάντων· ὧν τὰ μὲν παρ' ἡμῖν οὐκ εὐμαρῶς εἰσιν εὑρισκόμενα, τὰ δ' ἥκιστα. Ἐφ' οἷς οὐκ ἔχοντες τὸ ἀκραιφνὲς καὶ βέβαιον συνιδεῖν, εἰ ἄρα αἱ ἐν αὐτῇ ἐπισωρευόμεναι μαρτυρίαι τἀληθὲς κέκτηνται, τῇ ἀκριβεστάτῃ στάθμῃ πιστεῦσαι ἠξιώσαμεν, ὑμῖν δηλονότι τοῖς ἀφιλοπροσώποις βασανισταῖς τῶν τοιούτων ἀρεοπαγίταις, τῶν ὀψιγόνων μὲν κατὰ τὴν μεγάλην Βρεττανίαν Ἀθηνῶν, ἐμφερεστάτων δὲ ταῖς παλαιφάτοις, ἅτε δὴ ἐπιστήμοσι καὶ διαρκῶς τὰ κατὰ θεολογίαν ἐξησκημένοις, τοῖς τῆς ἐν τῇ σοφῇ Εὐρώπῃ ἐπισήμου Ὠξονικῆς ἀκαδημίας φωστῆρσι διαυγεστάτοις καὶ μουσολήπτοις ἥρωσι, τοῖς φιλέλλησι καὶ δοκιμωτάτοις περί τε τἆλλα καὶ τὰ τοῖς ἐκκλησιαστικοῖς διαφέροντα πράγμασιν, ἐπὶ τῷ παραθέσθαι τοῖς πρωτοτύποις καὶ μαστεῦσαι τὰς ἐν αὐτῇ μαρτυρίας. Ἀξιοῦμεν τοιγάρτοι τὴν ὑμετέραν κοσμιωτάτην μεγαλόνοιαν, συνάραντας ἡμῖν τοῦ θείου τουτουὶ ἔργου, ἐκθύμως τουτονὶ τὸν πόνον ἐνστερνίσασθαι, συντόνῳ τε σπουδῇ μετελθεῖν τὴν βίβλον καὶ τῇ πρὸς τὰ πρωτότυπα παρεξετάσει συνιέναι, εἰ τἀληθὲς καὶ ἀπαραποίητον αἱ μαρτυρίαι κέκτηνται, προσεπιδιορθῶσαί τε εἴ τι ἐν αὐτῇ τυχὸν ἁμάρτημα παροραθὲν συμπεριφέρεται, τό γε κατὰ γραφὴν καὶ τὸ τῆς φράσεως γλαφυρόν τε καὶ ἔντεχνον· οὐ μὴν ἀλλὰ καὶ προσεπικρῖναι, εἰ ἡ βίβλος αὕτη ἀξιόχρεως τύποις ἐκδοθῆναι· μεθ' ἃ ἡμεῖς πληροφορηθέντες παρὰ τῆς ὑμετέρας σεμνοπρεπείας, ὡς ἡ δηλωθεῖσα βίβλος τιμαλφεστάτη καὶ τὸ ἀξιόχρεων κέκτηται κατὰ τὴν ὑμετέραν σοφὴν ἐπίκρισίν τε καὶ διάγνωσιν, τότε δὴ γενήσεται παρ' ἡμῖν ἡ ἀνήκουσα φροντὶς τύποις ταύτην ἐκδοθῆναι δι' ὑμετέρας αὖθις προστασίας τε καὶ ἐπιμελείας. Ἐνεχειρίσαμεν δὲ τὸ τεῦχος τουτὶ τῷ ἐν τῇδε τῇ βασιλευούσῃ πόλει διατρίβοντι ἐκλαμπροτάτῳ καὶ μεγαλοπρεπεστάτῳ Ῥουπέρτῳ Σούττων, ἱππεῖ ἐκ τῶν χρυσῶν, πρέσβει τοῦ γαληνοτάτου Ἀγγλίας ῥηγός, φιλικῶς ἀεὶ πρὸς ἡμᾶς καὶ εὐνοϊκῶς διακειμένῳ, τοῦ ἀποστεῖλαι αὐτὸ πρὸς τὴν ὑμετέραν τιμιότητα, δι' οὗ καὶ τὰς παρ' ὑμῶν ἀποκρίσεις προσμένομεν.

Ὁποίας δὲ πατρίδος ὁ συγγραφεὺς ὥρμητο, ἡμῖν ἀσυμφανές· δοκεῖ μέντοι ἔκ τε τοῦ ὀνόματος, τῆς ἐπωνυμίας, τοῦ στύλου τῆς συγγραφῆς αὐτοῦ καὶ τῆς χρήσεως τῶν ὅρων τυγχάνειν Προυσιανὸν ἢ Σάξωνα· εἶχε δὲ τὴν ἀρχὴν θρησκείαν τὴν εὐαγγελικοκαλβινικὴν οὕτω λεγομένην, μετὰ δὲ ἐθελοβούλως ὁρμηθεὶς ἀπῆλθεν ἐν Κιοβίᾳ, κἀκεῖσε ταύτην μεταμαθὼν τὰ τῆς ἀνατολικῆς ἐκκλησίας ἀρχαῖα καὶ πατροπαράδοτα ὀρθόδοξα δόγματα ἠσπάσατο, ὡς ἔνι ἰδεῖν ἐν τῷ παρόντι αὐτοῦ συγγράμματι· ἐν ᾗ Κιοβίᾳ καὶ τὴν πολυηχῆ ταυτηνὶ δέλτον φιλοπόνως συνείρας ἐξέδοτο, τὴν ὕλην πρώτιστα ἐκ παντοδαπῶν καὶ ἀξιαγάστων βιβλιοθηκῶν τῶν ἐν τῇ σοφῇ Εὐρώπῃ διατελουσῶν συλλεξάμενος· καὶ γὰρ ἡ βιβλιοθήκη τοῦ ἐν Κιοβίᾳ φροντιστηρίου μὴ ὅτι ξυμπάντων, ἀλλ' οὐδὲ τῶν πολλοστῶν βιβλίων τῶν εἰς μαρτυρίαν αὐτῷ παραληφθέντων ηὐπόρησε, καὶ πολλῷ πλέον τῶν χειρογράφων. Τίνα δὲ χρόνον ἐκεῖσε παρενέβαλεν, οὐκ εὐσύνοπτον· ἐπεὶ μέντοι τὴν βίβλον τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ ἔτει τῷ σωτηρίῳ ξυνέθετο, εὔδηλον, ὡς πρὸ τούτου ἀποδημητὴς ἐκεῖσε ἐγένετο. Ἐκ δ' αὖ τῆς Κιοβίας τὸ Βατουρῖνον αὐτὸν εἶχε, καθέδραν ὂν τοτηνικάδε τοῦ χατμάνου, δουκὸς δηλαδὴ τοῦ Ζαποροβικοῦ στρατοῦ, ἤτοι τῆς Μικρᾶς Ῥωσίας· ὃν ὁ τότε δοὺξ Ἰωάννης Σαμουὴλ ὁ καὶ Ποποβίτζης λεγόμενος ἀσμένως ἀποδεξάμενος διὰ τιμῆς ἦγε καὶ ἐν πᾶσι φιλοφρόνως περιέθαλπεν. Ἀπάρας μέντοι κἀκεῖθεν τῷ κοινοβίῳ τοῦ ἁγίου Νικολάου ἀπήντα, τοῦ καὶ Ἐρημητικοῦ ἐπονομαζομένου, ἐν τοῖς προαστείοις τῆς Κιοβίας παρὰ τὰς ὄχθας τοῦ Βορυσθένους καθιδρυμένου, ὁμόροφος καὶ ὁμοδίαιτος γεγονὼς τῷ ῥηθέντι μητροπολίτῃ Κιοβίας Βαρλαάμ, αὐτόθι τέως ἡγουμενεύοντι. Ἀλλ' οὖν μεταβὰς ᾤκησεν ἐν τῷ ἱερῷ μοναστηρίῳ Μαξαπῷ κεκλημένῳ, πέραν τοῦ Βορυσθένους, τῷ ποταμῷ Δέζνα ὁμοροῦντι, ἔνθα καὶ τὸ ζῆν, ὥς φασιν, ὁσίως ἐκμετρήσας ταφῆς ἠξίωτο, γάμου μὲν καὶ ὑμεναίων διὰ βίου κατορχησάμενος, οὐ μεταμφιασάμενος δὲ τὰ τοῦ μονήρους βίου σύμβολα. Ὁποίου δ' ἔτους τῆς αὐτοῦ ἡλικίας ἐξίκετο, ἐξ ὅτου πρὸς Κύριον ἐξεδήμησεν, οὐ ῥᾴδιον συνιδεῖν· συνεγράψατο δὲ καὶ ἕτερα πλεῖστα ὀνήσιμα, ἔξοχα δὲ πάντων περὶ

τῆς τοῦ παναγίου καὶ ζωαρχικοῦ πνεύματος θείας καὶ πατροπροβλήτου ἐκπορεύσεως, κατά τινος Θεοφίλου Ῥούτκα Ἰησουΐτου, τοῦ ἐκ τῆς Λεοπόλεως, μητροπόλεως οὔσης τῆς ἐν Πολωνίᾳ Ῥωσίας.

Τάδε μὲν περὶ τούτου τοῦ σοφοῦ ἀνδρὸς ἀνιχνεῦσαι καὶ εἰπεῖν εὐπορήσαμεν, ὑμῖν δὲ τοῖς τῶν Μουσῶν καὶ Χαρίτων καταγωγίοις, περὶ ὧν ἀξιοῦμεν συγκατανευσαμένοις, εὐζωίαν, εὐπραξίαν διηνεκῆ καὶ παντὸς ἀγαθοῦ ἐπίτευξιν τῷ θείῳ ἐπιμνηστεῦσαι εὐχόμεθα.

Ἐγράφη ἀπὸ Κωνσταντινουπόλεως μαΐῳ 1715.

18.

(Συνοδικὴ κατάκρισις τοῦ ψευδο-Ἀντιοχείας πατριάρχου Κυρίλλου, διαδόχου τοῦ ψευδο-Ἀντιοχείας Σεραφείμ, ἀρχηγῶν τῶν ἐν Συρίᾳ οὐνιτῶν) [1].

Σεραφεὶμ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Τοῖς ἁπανταχοῦ εὐσεβέσι καὶ ὀρθοδόξοις πιστοῖς χριστιανοῖς, γνησίοις πνευματικοῖς ἡμῶν τέκνοις, χάρις εἴη καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ παρ' ἡμῶν εὐχὴ εὐλογία καὶ συγχώρησις.

Ἡ ἀκατάσχετος ὁρμὴ καὶ στασιώδης κακία τοῦ κοινοῦ πολεμήτορος οὐ διέλιπεν ἄνωθεν δοχεῖα μὲν κατάλληλα τῆς αὐτοῦ πανουργίας καὶ θανατηφόρου πικρίας ἐξευρίσκειν θηρεύουσα καὶ δι' αὐτῶν ὀλεθρίους κατὰ καιροὺς συρφετοὺς ἐξεγείρειν κοινῇ τε καὶ κατὰ μέρος ταῖς ἁγίαις τοῦ Χριστοῦ ἐκκλησίαις, ἐπὶ καταστροφῇ τινι δῆθεν τοῦ ὀρθοδόξου πληρώματος· οἱ δὲ τῶν προστατούντων ἀκρέμονες καὶ πιστοὶ οἰκονόμοι τῆς χάριτος οὐκ ἠμέλησαν, ἀλλ' ὡς Θεοῦ ψημὶ συνεργοὶ τῆς τε δικαιοσύνης καὶ ἀληθείας ἔνδικοι πολλαχῶς καὶ πολλάκις ὑπεραγωνισθέντες τῶν καταπονουμένων ἁγίων ἐκκλησιῶν πρόσφορον καὶ κατάλληλον ταύταις τὴν θεραπείαν ἐπήνεγκαν, τὰ μὲν πεπυρωμένα βέλη τοῦ πονηροῦ κατασβέσαντες, τῶν δὲ πληγῶν τὸ πάθος ἐπιστημονικῶς ἀποτρίψαντες εἰς τὸ ἐξ ἀρχῆς εὔθετον ἀντικατέστησαν, τὰ τέως ἐκεῖθεν τῷ κακῶς δια-

[1] Κῶδ. Μετοχίου Κ/πόλεως 411, σ. 295-297.

κεῖσθαι τῆς ἐκκλησίας ἀναλαβόντα μέλη. Τοιούτοις δή τισι κακοῖς πρὸ χρόνων ἤδη τινῶν ἐπηρείᾳ τοῦ μισοκάλου περιέπεσεν ἡ τῶν Ἀντιοχέων ἁγία τοῦ Χριστοῦ ἐκκλησία καὶ ὡς ἀπὸ πρηστῆρός τινος καὶ κεραυνοῦ πυρακτώδους καταρραγέντος τὰ κατ' αὐτῶν ζοφερῶς κατάστρέφεται· τίνα γὰρ λέληθεν ὅσα ὁ δυσσεβὴς καὶ θεομισὴς ἐκεῖνος ψευδο-Ἀντιοχείας κακο-Σεραφεὶμ ἐδραματούργησεν, ὑπὸ τοῦ πατρὸς καὶ διδασκάλου αὐτοῦ Διαβόλου ὁδηγούμενος, εἰς ὄλεθρον τοῦ κατὰ Συρίαν καὶ Ἀραβίαν ὀρθοδόξου πληρώματος; Ὁ ἀνδροείκελος ἐκεῖνος φημὶ Διάβολος, τοῦ Σατανᾶ ὁ πρωτότοκος καὶ Δαιμόνων τῶν ταρταρούχων ὁ προκαθήμενος, τὸ τερατῶδες καὶ ποικιλόμορφον θηρίον, ὁ τῶν πονηρῶν σπερμάτων τῆς ἀσεβείας σπορεύς, ὅστις ἐκτραχηλισθεὶς ἅπαξ τῆς εὐθείας ὁδοῦ καὶ εἰς βάραθρα δεινῆς ἐμπεσὼν ἀσεβείας καὶ δοχεῖον χρηματίσας τοῦ πονηροῦ Δαίμονος, ὃς καὶ εἰς ἄγγελον φωτὸς μετασχηματίζεσθαι εἴωθε, διαφόρους ἐξαλλοιώσεις καὶ μετασχηματισμοὺς ἐλάμβανεν ἐν ὅλῳ τῷ τῆς μυσαρᾶς αὐτοῦ ζωῆς χρόνῳ καὶ τὸν λύκον ἐν βαθεῖ τῷ κωδίῳ ὑποκρύπτων τὴν ἀλωπεκῆν ἔξωθεν ἐνεδύετο· ἃ δὴ πρὸς ἀπάτην τῶν εὐσεβῶν ἐμηχανᾶτο ὁ ἀσεβής, κιβδήλους ἐπισπείρων λογισμοὺς καὶ ἔκφυλα καὶ ἄτοπα δόγματα συγχέων δι' αὐτῶν καὶ συνταράττων τὸ ὀρθὸν τῆς θεοπνεύστου διδασκαλίας καὶ ὀρθοδόξου ἡμῶν πίστεως· ἐφ' οἷς φωραθεὶς καὶ ἀπελεγχθεὶς ἔτι ἐν πρεσβυτέροις τελῶν, ὡς ἀσεβὴς καὶ ἄθεος καθαιρέσει παντελεῖ καθυπεβλήθη συνάμα τοῖς πονηροῖς αὐτοῦ θιασώταις. Ἀλλὰ μετὰ ταῦτα τοῦ τῆς ἱερᾶς τῶν Ἀντιοχέων καθέδρας πατριάρχου κῦρ Ἀθανασίου πρὸς Κύριον ἐκδημήσαντος, ἐξαίφνης ἀνεπήδησεν ὁ δυσσεβὴς οἷά τις Δαίμων ὑποταρτάρειος καὶ ἀνταρτικῆς δυνάμεως προσκρούσας ὁρμῇ ληστρικῶς βίᾳ καὶ δυναστείᾳ ἐπέβη τοῦ ἁγιωτάτου ἐκείνου θρόνου καὶ αὐτοχειροτόνητος πατριάρχης Ἀντιοχείας ἐφημίσθη ὁ τῳόντι κακόδοξος φατριάρχης, πρὸς μηδὲν ἄλλο ἀποβλέπων ὁ δυσσεβής, ἀλλ' ἢ εἰς τὸ διαφθείρειν τὸ ἐκεῖ χριστώνυμον πλήρωμα καὶ ταῖς πονηραῖς αὐτοῦ κακοδοξίαις δυστυχῶς καθυπαγαγεῖν. Ἀλλ' ἔφθασεν ἡ θεία δίκη καὶ οὐκ ἴσχυσεν ὁ βέβηλος ἐπὶ πολὺ κατασχεῖν τὸν ἁγιώ-

τατον ἐκεῖνον θρόνον καὶ τὸ ἱερὸν ἐκεῖνο καταμολῦναι ἔδαφος, ὅπου οἱ τῶν εὐαγγελιζομένων εἰρήνην ὡραῖοι πόδες ὡραίως ἔστησαν· γνωσθεὶς γὰρ τῷ ὕψει τῆς κραταιᾶς βασιλείας ὡς οὐ ποιμὴν ἀλλὰ λύκος αἱμοβόρος καὶ φθορεὺς ἦν τῶν ἐν Συρίᾳ καὶ Ἀραβίᾳ ὑποτελῶν ὀρθοδόξων, καὶ τοῦ θρόνου ἐξωστρακίσθη καὶ ὑπερόριος ἐγένετο μετὰ καὶ ἄλλων ὀπαδῶν αὐτοῦ· κἀντεῦθεν καὶ δευτέρᾳ συνοδικῇ καθαιρέσει κανονικῶς καθυπεβλήθη καὶ ὡς σεσηπὸς μέλος ἐξεκόπη τέλεον τῇ ἀξίνῃ τοῦ πανσθενουργοῦ καὶ θείου πνεύματος τῆς ὁλομελείας τοῦ ἑνὸς τῆς ἐκκλησίας σώματος, διὰ δὲ συνοδικῶν γραμμάτων ἐθεατρίσθη τηνικαῦτα καὶ ἐδημοσιεύθη τοῖς ἁπανταχοῦ εὐσεβέσιν ἡ κακοδοξία αὐτοῦ καὶ ἀσέβεια, ὅπως μὴ ἰσχύσῃ ὁ πονηρὸς τῶν ζιζανίων σπορεὺς λυμήνασθαι τὸ χλοηφόρον τῆς ἐκκλησίας γεώργιον. Ἀλλ' οὐκ ἐν τοσούτῳ καὶ μόνῳ τὸ κακὸν περικέκλεισται· αὐτοῦ γὰρ τοῦ δυσσεβοῦς κακο-Σεραφείμ, τοῦ περισαλπιζομένου φατριάρχου Ἀντιοχείας, καὶ διάδοχος ἀνεβλάστησε κακο-Κύριλλός τις, υἱὸς λοιμὸς ὁμόφρων κατὰ πάντα καὶ ὁμόδοξος τῷ κακοδιδασκάλῳ αὐτοῦ, ὑφ' οὗ καὶ χειροτονίας, τάχα δὲ καὶ πατριαρχικῆς ἀξίας, ἀξιωθῆναι αὐχεῖ ὑπὸ τοῦ ἀνιέρου ὁ ἀχειροτόνητος, ὑπὸ τοῦ ἀντάρτου ὁ συναποστάτης ἐκείνῳ, ὑπὸ τοῦ κατακεκριμένου ἐπὶ ἀσεβείᾳ καὶ κακοδοξίᾳ ὁ ὁμόφρων καὶ συγκατακεκριμένος ἐκείνῳ, ὑπὸ τοῦ ἀκοινωνήτου ὁ ἀκοινώτητος (κατὰ γὰρ τὸν ξη' ἀποστολικὸν κανόνα, τοὺς παρὰ αἱρετικῶν βαπτισθέντας ἢ χειροτονηθέντας οὔτε πιστοὺς οὔτε κληρικοὺς εἶναι δυνατόν), πρὸς ἕνα καὶ τὸν αὐτὸν σκοπὸν ἀφορῶν ὁ πονηρὸς διάδοχος τῆς ἀσεβείας καὶ κακοδοξίας ἐκείνου, τὸ τοῦ κακοῦ κόρακος παγκάκιστον ᾠόν, πρὸς ὄλεθρον δηλαδὴ ψυχικὸν τῶν κατ' ἐκεῖνα τῆς γῆς μέρη ἁπλουστέρων καὶ ἀμαθεστέρων χριστιανῶν. Βαβαὶ τῆς ἀκαθέκτου καὶ μανιώδους καθ' ἡμῶν ὁρμῆς τοῦ κοινοῦ πολεμήτορος! Ὅθεν καιρὸς ἤδη μετὰ τοῦ προφήτου καὶ ἡμᾶς ὕδωρ ὑπὲρ κεφαλῆς φημὶ καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων ζητεῖν, ἐπὶ τῷ κατ' ἀξίαν θρηνολογῆσαι τὰς περὶ τὴν ἁγίαν ἐκκλησίαν ἐκείνην ἀπειροπληθεῖς συμφοράς, τὸ πάθος οἰκεῖον ὡς δέον ἡγουμένους· καὶ γὰρ συρροια μία καὶ σύμπνοια μία τοῦ πνεύματος εἰς μίαν καθολικὴν

καὶ ἀποστολικὴν ἐκκλησίαν τὰς κατὰ μέρη παροικίας συνάπτει, καὶ ὅταν δοξάζηται τὸ ἓν μέρος, κατὰ τὸ ἀποστολικὸν θεῖον λόγιον συγχαίρει καὶ τὰ ἄλλα πάντα. Ὁμοίως καὶ τοῦ ἑνὸς αὐτοῦ πάσχοντος, καὶ τὰ λοιπὰ συμπάσχειν ἐπάναγκες.

Ἀλλ' ἵνα μὴ τελέως τῷ πάθει καθυποκύψαντες τὰ τῶν συμφορῶν αἴτια παρίδωμεν θρασυνόμενα, αὐτοὶ δὲ ἀμελεῖς φανῶμεν καὶ ῥᾳθυμοι, μὴ ἐκπληροῦντες ἑτοίμως τὰ θεῖα ἐντάλματα καὶ τῶν ὀλεθρίων ζιζανίων μὴ ἐκκαθαίροντες τὸ τῆς ἐκκλησίας γεώργιον, δεῖν ἔγνωμεν κοινῇ συνοδικῇ διαγνώσει, γνώμῃ τε καὶ συναινέσει τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Παρθενίου, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, δικαίαν καὶ κανονικὴν τὴν ψῆφον ἐξενεγκεῖν κατὰ τοῦ πονηροῦ τούτου κακο-Κυρίλλου, διαδόχου τοῦ ψευδο-Ἀντιοχείας ἐκείνου κακο-Σεραφεὶμ καὶ τῶν ὀπαδῶν αὐτῶν, καὶ τῇ ἀποτόμῳ δυνάμει τοῦ πνεύματος ἐκριζῶσαι τὴν κακὴν φυτείαν, ἣν ὁ πατὴρ ὁ οὐράνιος οὐκ ἐφύτευσε, καὶ δημοσιεῦσαι διὰ γραμμάτων ἡμῶν συνοδικῶν τοῖς ἁπανταχοῦ εὐσεβέσι τὸν ἀχειροτόνητον τοῦτον καὶ ἀνίερον καὶ πονηρὸν τοῦ πονηροῦ διάδοχον κακο-Κύριλλον, ἵνα μὴ διαδόσιμος ἡ τούτου λύμη τοῖς εὐσεβέσι καὶ γνησίοις τῆς ἐκκλησίας γένηται τέκνοις. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὅ τε διαληφθεὶς κακο-Κύριλλος, διάδοχος τοῦ ψευδο-Ἀντιοχείας κακο-Σεραφείμ, καὶ ὅσοι ἄλλοι ἐλογίσθησαν χειροτονίας ὑπ' ἐκείνου τάχα τυχεῖν, ὡς ἀχειροτόνητοι καὶ ἀνίεροι καὶ ὅλως ἀκοινώνητοι, ἅτε ὁμόφρονες καὶ ὀπαδοὶ τοῦ δυσσεβοῦς ἐκείνου κακο-Σεραφείμ καὶ υἱοὶ κατάκριτοι γνωρίζωνται παρὰ πάντων, γυμνοὶ καὶ ἀμέτοχοι ἀρχιερατικῆς καὶ ἱερατικῆς χάριτος καὶ μεμακρυσμένοι παντὸς ἱερατικοῦ βαθμοῦ καὶ τιμῆς καὶ εὐλαβείας ἀνάξιοι, καὶ ἁπλῶς εἰπεῖν βδελυκτοὶ καὶ μισητοὶ καὶ ἀποτρόπαιοι. Ἐντελλόμεθα δὲ πατρικῶς καὶ πνευματικῶς καὶ πᾶσι τοῖς εὐσεβέσι καὶ ὀρθοδόξοις χριστιανοῖς, ὅπως γινώσκοντες αὐτούς, τόν τε διάδοχον τοῦ ψευδο-Ἀντιοχείας κακο-

Σεραφεὶμ κακο-Κύριλλον καὶ τοὺς λοιποὺς διαδόχους ἐκείνου κατακεκριμένους ὑπὸ τῆς ἁγίας ἐκκλησίας καὶ ἱερᾶς συνόδου, ὡς δυσσεβεῖς καὶ κακοδόξους καὶ ἀντιθέους καὶ ἀχειροτονήτους καὶ ἀνιέρους καὶ ὅλως ἀσεβεῖς καὶ ἀκοινωνήτους, μὴ προσδέχωνται ὅλως αὐτούς, μηδὲ ὅλως συναγελάζωνται, ἀλλὰ φεύγωσιν αὐτοὺς ἅπαντες ὡς λυσσῶντας κύνας κατὰ τῆς ποίμνης τοῦ Χριστοῦ καὶ ὡς λύκους αἱμοβόρους καὶ λυμεῶνας καὶ φθορεῖς, καὶ φυλάττωνται τὸν ἀπὸ τοῦ μιαροῦ αὐτῶν στόματος ἐξερχόμενον τῆς κακοδιδασκαλίας καὶ κακοδοξίας ἰόν, ἵνα μὴ λάθωσιν ἰοβόλοις περιτυχόντες θηρίοις καὶ τὴν ὑπ' αὐτῶν πικρίαν εἰσδέξωνται· ὅσοι δὲ παρὰ τὰ προσταττόμενα τολμήσωσι πρᾶξαι, οἱ τοιοῦτοι ἀρχιερεῖς τυχὸν ὄντες ἔστωσαν ὑπεύθυνοι ταῖς κατὰ τῶν εἰρημένων κακοδόξων ἐκφωνηθείσαις ἀραῖς καὶ εὐθύναις τῆς καθαιρέσεως, λαϊκοὶ δὲ ἀφωρισμένοι εἴησαν παρὰ Θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ τοῦ προδότου Ἰούδα, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι· πειθαρχοῦντες δὲ καὶ ὑποτασσόμενοι πάντες ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἡμῶν νουθεσίαις, ὡς τέκνα ἡμῶν γνήσια καὶ εὐσεβεῖς καὶ ὀρθόδοξοι, εἴησαν συγκεχωρημένοι καὶ εὐλογημένοι παρὰ Θεοῦ κυρίου παντοκράτορος, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη πᾶσιν ὑμῖν. ,αψνθ' δεκεμβρίῳ, ἰνδικτιῶνος η' [1759].

† Ὁ ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων Παρθένιος ἐν ἁγίῳ πνεύματι ἀποφαίνεται.

† ὁ Ἡρακλείας Γεράσιμος.

† ὁ Νικαίας Ἱερεμίας.

† ὁ Ἀδριανουπόλεως Διονύσιος.

† ὁ Λαρίσσης Μελέτιος.

† ὁ Σερρῶν Ἰωαννίκιος.

† ὁ Μεσημβρίας Ἄνθιμος.

† ὁ Δρύστας Βαρθολομαῖος.

† ὁ Σοφίας Ἱερεμίας.

† ὁ Ἐλασσῶνος Τιμόθεος.

19.

(Ἱερεμίου β', πατριάρχου Κωνσταντινουπόλεως, πρᾶξις ἐπὶ τῇ χειροτονίᾳ Μιχαὴλ μητροπολίτου Κιέβου-Χαλιτζίου, γεγραμμένη ἐν Ῥωσσίᾳ) [1].

Τριὰς ἡ ὑπεράπειρος ἐνιαία τε καὶ τρισήλιος φύσις, ἡ τοῦ παντὸς συνεκτική τε καὶ δημιουργικὴ φύσις, ἡ φῶς ἀπρόσιτον καὶ ἀΐδιον οὖσά τε καὶ νόουμένη, ἐν τρισὶ διακόσμοις τὴν νοερὰν καὶ ἄυλον ὑποστησαμένη πᾶσαν τῶν ἀγγελικῶν καὶ χερουβικῶν δυνάμεων φύσιν, ἢ φῶτα δεύτερα εἰπεῖν τοῦ πρώτου φωτὸς δεκτικὰ καὶ λειτουργικὰ πνεύματα, τρισὶ καὶ τοῖς ἁγιασμοῖς τὴν ἐνιαίαν καὶ τριττὴν θεολογεῖν ἐρρυθμίσατο τὴν τούτων οὐσίωσιν καὶ παραγωγήν· πλείω δὲ τὰ εὐεργετούμενα εἶναι βουληθεῖσα, κατὰ τὸ αὐτῆς ὑπεράπειρον ἀγαθότητος πέλαγος, τὴν ὁρωμένην ἅπασαν νεύματι παρήγαγε κτίσιν καὶ οἷόν τι τῆς ἑαυτῆς σοφίας θαυμάσιον γνώρισμα ὕστατον καθ' ὁμοίωσιν καὶ κατ' εἰκόνα τῆς ἑαυτῆς κυριότητος τὸν ἄνθρωπον ἔπλασεν· οὗ τὴν πρώτην καὶ ἄφθαρτον ἀπολέσαντος ὡραιότητα δι' ἑαυτοῦ πρὸς τὸ ἀρχέτυπον ἐπανήγαγεν ὁ πλάστης πλαστούργημα, σαρκωθεὶς ἐπ' ἐσχάτων καὶ ἄνθρωπος τέλειος γεγονώς· τὰ ἄνω τοῖς κάτω τε μίξας, καὶ τὴν ἐπίγνωσιν τῆς ἀληθοῦς πίστεως πανσόφως ἐπιγνῶναι πεποίηκεν, ἁγιασμόν τε διὰ τῆς ἑνώσεως τοῖς κάτω καὶ φθαρεῖσι πλουσιοπαρόχως διενείματο, κλήσεώς τε ἐπουρανίου μετόχους ἀνέδειξε. Δι' αὐτῆς καὶ τὴν προσαγωγὴν ἔχομεν πρὸς αὐτόν, τέλος ἢ στάσιν εἰπεῖν φύσεως ἀνθρωπίνης οὖσαν, ὡς εἶδος τῇ ὕλῃ ἐγγινόμενον δι' ἐπιγνώσεως· τελικὸν δὲ τούτων τὴν ἱεραρχίαν οὖσαν τοῖς κάτω διετάξατο, ὡς καὶ τοῖς ἄνω, πρὸς διαδοχὴν ἁγιασμοῦ τῶν ἐσομένων ἀνθρώπων καὶ μετάδοσιν τῆς χειροτονίας τῶν τοιούτων ὑπουργημάτων· διὰ τῶν πρώτων καὶ ἁγιαστικῶν ἀξιωμάτων τὴν μετάθεσιν μέθεξιν καὶ ἱερουργίαν ἀπεφήνατο, πνεύματος ἁγίου πυρίνων γλωσσῶν ἐν εἴδει κατελθόντος καὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς ἀξίους τοῦ ἐγχειρήματος ἀποτελέσαντος. Ἀλληλοδιαδόχως δὲ καὶ εἰς ἡμᾶς διαβάσης ταύτης τῆς ἀξίας ἐλέει ἀφάτῳ καὶ κρίμασιν ἀρρήτοις, ἐπὶ τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου Χαλιτζίου καὶ πάσης Ῥωσίας, ἀπροστάτευτον καὶ πνευματικοῦ ποιμένος ἄμοι-

[1] Κῶδ. Μετοχ. Κ/πόλεως 411, σ. 33.

ρον ἡ μετριότης ἡμῶν εὑροῦσα, ὡς τοῦ πρώην μητροπολίτου κυροῦ Ὀνησιφόρου οἰκείᾳ βουλῇ καὶ προαιρέσει παραιτησαμένου τόν τε θρόνον καὶ τὴν ἀρχιερωσύνην, διὰ τὸ κατὰ συναρπαγὴν ἀκανονίστως χειροτονηθῆναι. Ἔρευναν τοίνυν ποιησαμένη ποιμένα ταύτῃ ἐγκαταστῆναι ἄξιον καὶ δυνάμενον ταῖς τοῦ τόπου ἀνωμαλίαις καὶ συγχύσεσιν ἀντιπαλαίειν, εὗρε τὸν ὁσιώτατον ἐν ἱερομονάχοις καὶ ἀρχιμανδρίτην κῦρ Μιχαήλ, ἄνδρα ταῖς κατὰ Θεὸν ἀρεταῖς ἐγκεκοσμημένον, ἐν μοναστηρίῳ τε ἀποκαρθέντα ἐξ ἁπαλῶν ὀνύχων καὶ τοὺς τῆς ἱερωσύνης βαθμοὺς κατὰ τάξιν ἀμείψαντα, ψήφῳ καὶ δοκιμασίᾳ τῶν καθευρεθέντων ἀρχιερέων, τοῦ τε Μονεμβασίας κυροῦ Ἱεροθέου καὶ ἐξάρχου πάσης Πελοποννήσου καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μογλένων κυροῦ Θεοφάνους, τῇ ἐπικλήσει τοῦ παναγίου καὶ ζωαρχικοῦ πνεύματος ἐχειροτόνησεν αὐτὸν μητροπολίτην Κυέβου Χαλίτζι καὶ πάσης Ῥωσίας. Ὀφείλει τοίνυν ὁ ἱερώτατος μητροπολίτης Κυέβου Χαλίτζι - - - καὶ τῶν ἀπό τε συνοικεσίων ἱερολογιῶν καὶ τῶν ἄλλων πάντων, ὡς ἡ παλαιὰ συνήθεια ἐπεκράτησεν, εἰσηγεῖσθαι δὲ καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον λαὸν τοῦ Κυρίου πάντα τὰ ψυχωφελῆ καὶ σωτήρια καὶ ταῖς ἀπὸ τῶν θείων Γραφῶν διδασκαλίαις, ταῖς τε ἀπὸ γλώττης νουθεσίαις, μάλιστα δὲ ταῖς ἀπὸ τῶν ἰδίων ἔργων πράξεσιν ἀνάγειν αὐτοὺς πρὸς θεογνωσίαν καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργασίαν, καὶ ἀποστολικῶς εἰπεῖν τὰ πάντα τοῖς πᾶσι γίνεσθαι, ἵνα πάντας ἢ τοὺς πλείονας κερδήσῃ· ἔχειν τε ἄδειαν καὶ ἐξουσίαν ἱερουργεῖν ἐν αὐτῇ ἀκωλύτως μετὰ καὶ τῆς τοῦ ἰδίου θρόνου ἐγκαθιδρύσεως, ἐπισκόπους τε χειροτονεῖν νομίμους, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους τε καὶ διακόνους χειροτονεῖν καὶ εἰς τὸ τοῦ πρεσβυτέρου προβιβάζειν ἀξίωμα, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, ἀρχιμανδρίτας ἐγκαθιστᾶν καὶ τἄλλα τε πάντα ἀρχιερατικὰ ἐπιτελεῖν, ὡς γνήσιος μητροπολίτης Κυέβου Χαλίτζι καὶ πάσης Ῥωσίας καὶ ὢν καὶ ὀνομαζόμενος (ὀφειλόντων πάντων τῶν ἐν τῇ αὐτοῦ μητροπόλει θεοφιλεστάτων ἐπισκόπων, ὁσιωτάτων ἀρχιμανδριτῶν καὶ πάντων τῶν ἄλλων, ἱερέων τε καὶ διακόνων, ἀρχόντων τε καὶ παντὸς τοῦ χριστωνύμου λαοῦ πείθεσθαι

αὐτῷ καὶ ὑπείκειν κατὰ νόμους ἀποφαινομένῳ· καὶ οὓς ἂν ἀργήσῃ, ἀργοὶ μενέτωσαν, ἕως παιδευθέντες μάθωσι Θεῷ καὶ ποιμένι ὑποτάσσεσθαι), διγάμους καθήρειν καὶ μηδὲ ἀκοῦσαι τούτους ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ ὀνομάζεσθαι.

Ἔτι ἐντελλόμεθα καὶ ἐν ἁγίῳ παρακελευόμεθα πνεύματι ἐν τριετίᾳ ἐξέρχεσθαι καὶ τούτους πάντας ἐπισκέπτεσθαι καὶ ὡς ζιζάνια ἢ μέλη σεσηπότα ἐκβάλλειν καὶ ἀποτέμνειν καὶ διιθύνειν, ὡς οἱ νόμοι διακελεύονται, παρὰ πάντων (ὡς δίκαιον) μετ' εὐλαβείας ἀκουομένου καὶ τιμωμένου· ἡ γὰρ πρὸς αὐτὸν τιμὴ καὶ εὐπείθεια πρὸς τὴν ἡμῶν ἀναβαίνει μετριότητα καὶ δι' αὐτῆς εἰς Θεόν, οὗ τὸν τύπον ἐπέχει ὁ ἐπίγειος ἀρχιερεύς. Ὅστις δὲ τολμήσει ἐναντιωθῆναι τούτῳ ἐν τοῖς διαληφθεῖσι πᾶσιν, ἐπίσκοπος ὢν ἢ ἀρχιμανδρίτης ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου, ἀργὸς ἔστω πάσης ἱερατικῆς τάξεώς τε καὶ στάσεως· καταφρονῶν δὲ τῆς ἀργίας, καὶ ἀφωρισμένος· τῶν ἀρχόντων δὲ ἢ λαϊκῶν, ἀφωρισμένος καὶ κατηραμένος ἀπὸ Θεοῦ καὶ ἄλυτος μετὰ θάνατον. Ἕνεκεν τούτων πάντων ἐγράφη καὶ ἡ παροῦσα πρᾶξις τῆς ἡμῶν μετριότητος καὶ ἐπεδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου Χαλίτζι καὶ πάσης Ῥωσίας, καὶ ἐπεδόθη αὐτῷ ἐν ἔτει ,ζϡζ' [1589].

20.

(Διονυσίου γ' Κωνσταντινουπόλεως συνοδικὴ καθαίρεσις τοῦ Ἀντιοχείας πατριάρχου Κυρίλλου. 1672) [1].

"Ἡ ἀκατάσχετος ὁρμὴ" κτλ. μέχρι τοῦ "ἐπιστημονικῶς ἀποτρίψαντες". Οὕτως ἄρχεται τὸ συνοδικὸν τοῦτο γράμμα, προοίμιον ἔχον ὃ καὶ τὸ πρότερον ὑπ' ἀριθ. 18, ὅπερ ἐνταῦθα κατεχωρίσθη· μετὰ δὲ τὸ "ἀποτρίψαντες" συνεχίζεται τοῦ γράμματος ἡ ἀκολουθία ὧδε· "τὰ γὰρ αἴτια τῶν ἐν αὐταῖς ἀκαταστασιῶν τε καὶ στάσεων ἄρδην καταβαλόντες καὶ ἐκ μέσου ποιήσαντες εἰς τὴν ἐξ ἀρχῆς

[1] Κῶδ. Μετοχίου 411, σ. 85-88. Περὶ δὲ τοῦ Κυρίλλου ἀνάγνωθι Κωνσταντίου τοῦ ἀπὸ Σιναίου πατριάρχου βιογραφίαν καὶ συγγραφὰς ἐλάσσονας, σ. 139, ἔνθα διάδοχος αὐτοῦ ἀναφέρεται Ἄνθιμος ὁ Ἐπιφανείας. Ἕτερον ἀντίγραφον τῆς καθαιρέσεως, πληρέστερον ἴσως, εὑρίσκεται ἐν τῇ Νομικῇ Συναγωγῇ τοῦ πατριάρχου Δοσιθέου. Ὅρα Κ. Σάθα, Μεσ. Βιβλιοθ. τ. III, σ. 599.

*

εὐταξίαν ἀντικατέστησαν, τὰ τέως ἐκεῖθεν τῷ κακῶς διακεῖσθαι τῆς ἐκκλησίας ἀναλαβόντα μέλη, καὶ τὸ θέλημα τοῦ Κυρίου μετοχετεύσαντες, τὰ τοῖς πονηροῖς τοῦ πονηροῦ θελήμασι παρακύψαντα (τοῦτο καὶ μόνον γὰρ ἔργον τοῖς εὐσεβέσι προπορευόμενον ἔχει τὸ θέλημα τοῦ Θεοῦ), καὶ τὸν φόβον πάντων τῶν ἐπιτηδευμάτων· ὃ καὶ πρὸ πάντων δήπουθεν παρὰ πάντων τῶν τῆς ἱερᾶς καταστάσεως φροντιστῶν τῇ ἁγίᾳ διενεργεῖται τοῦ Θεοῦ ἐκκλησίᾳ· καὶ γὰρ εἰκὼν θεότοκος αὕτη ὡς ἀληθῶς τῆς οὐρανίου καὶ ἔστι καὶ λέγεται, τῆς ἐκκλησίας· διὸ καὶ εὔχεσθαι προσετάχθημεν θεολέκτως ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς τὸ θέλημα γίνεσθαι διηνεκῶς τοῦ ἐπουρανίου Θεοῦ καὶ πατρός. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν ἐξ ἐπηρείας ἐπιβούλου καὶ μηχανῆς αὐτοῦ τοῦ ἀλάστορος ταραχῆς ἐνεπλήσθη πολυθορύβου καὶ στάσεως ἡ τῶν Ἀντιοχέων τοῦ Θεοῦ ἐκκλησία καὶ ὡς ἀπὸ πρηστῆρός τινος καὶ κεραυνοῦ πυρακτώδους καταρραγέντος τὰ κατ' αὐτὴν καταστρέφεται—καὶ γὰρ ἅμα τῷ μεταλλάξαι τὸν ἐντεῦθεν βίον τὸν τῆς ἱερᾶς ἐκείνης καθέδρας πατριάρχην κῦρ Μεθόδιον, πρὸ τοῦ διασκεφθῆναι συνοδικῶς ἐπὶ τῶν ὑποκειμένων αὐτῇ ἀρχιερέων καὶ κληρικῶν ὅσα περ ὁ τῆς εὐσεβείας καταρτίζει κανὼν πρὸς ἀντικατάστασιν πατριάρχου καὶ ἀξίου ποιμένος, ἐξανέστη τυραννικῶς ἔγγονός τις ἐκείνου καὶ υἱὸς λοιμὸς διὰ συμμορίας αἰσχίστου καὶ χαιρεκάκων ὀλίγων καὶ εὐαριθμήτων τινῶν, καὶ δόσει χρημάτων ἀβροτάτης ποσότητος πρὸς τοὺς ἔξω κρατοῦντας ἐξ ὧν ἐκλοποφόρησεν αὐτός τε πρῶτον καὶ ὕστερον καὶ ὁ αὐτάδελφος αὐτοῦ καὶ συμπράκτωρ, εὖ λέγειν καὶ ὁ πατὴρ οὐχ ἧττον καὶ ὁ πάππος, ἱεροσύλως πολυτελῶν κτημάτων καὶ ἱερῶν ἀναθημάτων τῆς αὐτῆς ἐκκλησίας, βίᾳ καὶ δυναστείᾳ τὸν πατριαρχικὸν καθήρπασε θρόνον, οὐκ ἐκλογῇ κληρικῶν, οὐκ ἐπισκόπων ψήφῳ, οὐκ ἀπαιτήσει λαοῦ, καθάπερ οἱ τῆς ἐκκλησίας εἰσηγοῦνται θεῖοι θεσμοί· ἀλλ' ἀργυρώνητον εἶναι τὴν θείαν προστασίαν δίκην πολιτικοῦ τινος ἀξιώματος ὑποτοπάσαν τὸ κάθαρμα, τοιουτοτρόπως τῇ ἐκκλησίᾳ εἰσέφρησεν ὁ κακὸς υἱωνὸς ἐκείνου τοῦ μακαρίτου, Κύριλλος ὀνόματι· καὶ δεινῶς ταύτην λεηλατήσας καὶ συναπεμπολήσας τὰ ἱερὰ ταύτης σκεύη καὶ βαρύτιμα κειμήλια

πρὸς χρηματισμὸν τοῖς Ἑβραίοις, ὡς οἱ ἐκεῖθεν γοερῶς ἐκβοοῦντες ἀναμαρτυροῦσι χριστιανοί, κατέστησεν ἄπορον καὶ ἀνάστατον. Ὁποῖος δὲ καὶ πηλίκος ἐστὶν (εἴ τις ἐρωτᾷ μαθεῖν ἱμειρόμενος) ὁ περικεκωδωνισμένος αὐτὸς καὶ περισαλπιζόμενος πατριάρχης, τὸ μὲν γηροπρεπὲς ἄγει τῆς ἡλικίας χρόνων πεντεκαίδεκα, τὴν δὲ σεμνοπρεπῆ πολιὰν περιφέρει πρόσωπον ἀγένειον· καὶ γὰρ παιδάριόν ἐστιν ἔτι καὶ παιδαγωγοῦ δεόμενον, μειράκιον πρόσηβον καὶ μήπω τὰ τῆς παιδικῆς μεθηλικιώσεως ἀμεῖψαν. Βαβαὶ τῆς θείας παραχωρήσεως! Ἀλλ' οὐκ ἐν τοσούτῳ καὶ μόνῳ τὸ κακὸν περικέκλεισται, μηδ' ἔχει τίς πως ὑπονοῆσαι, ὅτι τὸ νῦν τῆς νεότητος δῆθεν ἄτοπον ἡ μεθύστερον σεμνὴ πολιτεία ἐπιγεννησομένη περικαλύψει καὶ θεραπεύσει - - - ἀταξίαν τὸ ὀψίγονον εὔτακτον· τῇ γὰρ ἀβελτηρίᾳ τῆς θεοστυγοῦς αὐτοῦ νεότητος καὶ βίος διαβεβλημένος συνέζευκται καὶ πολιτείας ἀσώτου δραματουργήματα καὶ διεφθαρμένης ἔργα διαγωγῆς, ὅσα καὶ λέγειν αἰσχρόν ἐστιν· ὅπερ δὲ κεφάλαιον τοῦ κακοῦ, καὶ νόσος θεραπείας ἀνέκδοτος. Ἀνθ' ὧν τὸ ἐκεῖσε χριστώνυμον πλήρωμα κατηφείας καὶ δεινῆς σκυθρωπότητος ἀναπίμπλαται καὶ ξύμπασα ἡ πόλις ἐν ὀδύναις πέφυρται καὶ στυγνὸν περιφέρει τὸ πρόσωπον, ξυνοπαθούντων ἁπάντων καὶ τῆς σφῶν ἐκκλησίας ὀλοφυρομένων τὴν δυστυχίαν· πῶς γὰρ οὐκ ἔμελλον καταναγκαζομένους ἑαυτοὺς αἰσθομένους ὑπὸ μειρακίσκῳ ποιμένι, καὶ ταῦτα διεπικεκλωμένῳ, τελεῖν καὶ μειρακιωδῶς διαιτᾶσθαι τὸν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας, τοῦ πληρώματος τοῦ Χριστοῦ ταῖς ἀνατατικαῖς τοῦ πνεύματος χάρισι κατηρτισμένον λαὸν τοῦ Θεοῦ; Διὸ τοῖς ὅλοις ἀμηχανήσαντες, ὡς μὴ δυνάμενοι κατὰ τόπον ἀνατροπὴν ἐμποιῆσαι τῆς τυραννίας αὐτῆς, ἅτε πανταχόθεν στενούμενοι καὶ πολλαῖς ταῖς ἀνάγκαις τῶν καταδυναστευόντων περιφραττόμενοι, πρὸς τὸν καθ' ἡμᾶς ἀποστολικὸν καὶ πατριαρχικὸν οἰκουμενικὸν θρόνον ἱκετικῶς ἐνητένισαν, δὶς καὶ τρὶς καὶ πολλάκις θύρας εὐαγγελικὰς ἀνακρούσαντες καὶ δι' ἀναφορῶν ἀναγγείλαντες πολυστίχων τὰ πολυώδυνα πάθη τῆς σφῶν αὐτῶν ἐκκλησίας καὶ τὰς ἀφορήτους αὐτῆς συμφορὰς καὶ τὸν ψυχικὸν αὐτῶν κίνδυνον· καὶ γὰρ ἐξέκλιναν οἱ πολλοί, φασί,

τῆς συντεθραμμένης αὐτοῖς ἐκκλησιαστικῆς εὐλαβείας, τὸ γελοιῶδες αὐτὸ καὶ δραματικὸν καθορῶντες τεράστιον, καὶ τὴν πάτριον ἐκκλησίαν ἀποστρεφόμενοι συνεκκλησιάζουσιν ἀλλοδόξοις, σχισματικοῖς καὶ αἱρετικοῖς τισι. Ταῦτα καὶ ἄλλα μύρι' ἄττα, πᾶσαν ὑπερπαίοντα τραγῳδίαν, περιπαθῶς τε καὶ ὀδυνηρῶς γράφειν οὐ παύονται, δεξιὰν σωτηρίας αἰτούμενοι καὶ τὴν σφῶν ἐκκλησίαν ὅλαις χερσὶ καὶ δεήσεσι τῇ περὶ ἡμᾶς οἰκουμενικῇ συνόδῳ κανονικοῖς προνομίοις προσάγοντες τὴν τῶν περὶ αὐτὴν πλημμελῶς φερομένων διόρθωσιν καὶ τὴν πρὸς ἐλευθερίαν τῶν δεινῶν συμπτωμάτων ταύτης οἰκονομίαν ἡμῖν αὐτοῖς μεθ' ὅσης παρακλήσεως ἐγχειρίζουσιν. Ὅπερ ἐνωτισθέντες καθ' ὑπερβολὴν ἐξενίσθημεν καὶ τοῖς δεινῶς πεπραγμένοις οὐ μικρὸν συνηλγήσαμεν καὶ τὴν ψυχὴν ἠνιάθημεν, ἐκκλησίαν ἐπίσημον μακρᾶς ἀδοξίας περιστάσεσιν ἐμπεσοῦσαν καὶ κλυδωνιζομένην οἰκτείραντες· καὶ γὰρ συγχαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων κατ' ἐντολὴν ἀποστολικὴν ὀφείλομεν, τό τε πάθος οἰκεῖον ὡς δέον ἡγούμενοι (καὶ γὰρ σύρροια μία, σύμπνοια μία τοῦ πνεύματος εἰς μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν τὰς κατὰ μέρος παροικίας συνάπτει· καὶ ὅταν δοξάζηται τὸ ἓν μέλος, κατὰ τὸ ἀποστολικὸν θεῖον λόγιον συγχαίρει πάντα τὰ μέλη· ὁμοίως καὶ τοῦ ἑνὸς πάσχοντος, καὶ τὰ λοιπὰ συμπάσχειν ἐπάναγκες) παριδεῖν ἀθεράπευτον οὐκ ἠνέσχομεν. Κἀντεῦθεν τὸν ἐνόντα τρόπον τῆς περὶ αὐτῶν βοηθείας καὶ ἀντιλήψεως ἀφειδῆσαι διέγνωμεν οὐκ ἄλλως, ἢ μὴ διὰ τῆς καθ' ἅπαξ ἐκριζώσεως τοῦ τῶν σκανδάλων αἰτίου καὶ κανονικῆς καθαιρέσεως τοῦ ἀκανονίστως τὸν ἁγιώτατον ἐκεῖνον θρόνον μεθ' ὅσης ἀκοσμίας καταπατήσαντος καὶ τὸ ἱερὸν ἔδαφος ἐκείνου καταμολύναντος ἀσελγοῦς τε καὶ ἀνοσίου παιδαρίου, καθὰ καὶ ἡμῶν ἐδεήθησαν, τὴν μέριμναν τῶν ἁγίων τοῦ Θεοῦ θεόθεν ἐμπιστευθέντες ἐκκλησιῶν. Καὶ δὴ συνοδικῷ σκέμματι προβληθείσης τῆς ὑποθέσεως ἐπὶ παρουσίᾳ καὶ τοῦ μακαριωτάτου [πατριάρχου τῶν Ἱεροσολύμων κυροῦ Δοσιθέου, τοῦ ἐν Χριστῷ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ], τό γε νῦν ἔχον τὰς διατριβὰς ἐνταῦθα ποιουμένου, οὗτινος καὶ πληρεστέρως ἡμῖν περὶ

τῆς ἀνάγκης τῆς ἐκκλησίας ἐκείνης πληροφορήσαντος, ὡς αὐτόπτου καὶ αὐτηκόου γεγονότος πολλῶν τῶν ἐκείνης κατὰ πάροδον συμφορῶν καὶ τὰς ἀνακλαύσεις τῶν χριστιανῶν κατοπτεύσαντος καὶ τὰ περὶ τοῦ ἀσελγοῦς αὐτοῦ παιδαρίου κατὰ μέρος ἀναγνωρίσαντος, πάντες ὁμοφώνως συνεξεβόησαν ἀντιλαβέσθαι τῆς ἐκκλησίας ἐκείνης πρὸς τῆς εὐσεβείας αὐτῆς καὶ μὴ κατολιγωρεῖν κινδυνευούσης, ἀλλὰ τῇ ἀποτόμῳ δυνάμει τοῦ πνεύματος ἐκριζωθῆναι τὴν κακὴν φυτείαν ταχέως, ἣν ὁ πατὴρ ὁ οὐράνιος οὐκ ἐφύτευσεν, ἀποσοβηθῆναι πάνυ μακρὰν τὸ κοινὸν αἶσχος τῆς ἐκκλησίας, ἀποσκορακισθῆναι τὸν νέον Ἰούδα τῆς - - - τοῦ κλήρου καὶ ἄλλον ἀντεισαχθῆναι Ματθίαν τῷ ἀποστολικῷ παραδείγματι, πρὸς ἀνόρθωσιν τοῦ δεινῶς πεπτωκότος ἀποστολικοῦ αὐτοῦ θρόνου, ἵνα μὴ τὸ κακὸν διαδόσιμον γένηται τοῖς τροφίμοις ἐκείνης τῆς ἐκκλησίας (κεφαλῆς γάρ πως κακῶς διακειμένης, μετασχεῖν ἀνάγκη τῆς ἀσθενείας τοῦ σώματος), ἀλλὰ διὰ τῆς θύρας ἀληθινὸν εἰσαχθῆναι ποιμένα πρὸς σωτηρίους διεξάγειν νομὰς ἐπιστάμενον ἐκεῖνο τὸ χριστοσφράγιστον ποίμνιον καὶ τῷ κατ' αὐτὸν ὑποδείγματι σῶσαι πάντας δυνάμενον· "ὁ σεμνὸς γὰρ καὶ ἀνεπίληπτος τῶν προεστώτων βίος καὶ δόγμα γίνεται τοῖς ὑποτεταγμένοις" ὁ Χρυσορρήμων φησί—, τούτου χάριν, κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας, τὸν ἐπιβάτην αὐτὸν τοῦ ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου τῆς Ἀντιοχείας μακρὰν ἀπεσκορακίσαμεν κακο-Κύριλλον (φησὶ γὰρ ὁ τῶν ἁγίων ἀποστόλων λ^ος^ κανών· "Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένοιτο, καθαιρείσθω καὶ ἀφοριζέσθω", καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες διπλῆν ἐπάγουσι τὴν τιμωρίαν διὰ τὴν τῆς κακίας ὑπερβολὴν καὶ τὴν τῶν ἁμαρτημάτων βαρύτητα, τὰ αὐτὰ φθεγγομένου καὶ τοῦ τρίτου κανόνος τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου· ἀλλὰ καὶ ὁ β^ος^ κανὼν τῆς ἐν Νεοκαισαρείᾳ καὶ ὁ δ^ος^ τῆς ἕκτης ἐν Τρούλλῳ τοὺς παρ' ἡλικίαν ἱερωμένους καθαιρέσει καθυποβάλλουσι), γνώμῃ τε κοινῇ καὶ συναινέσει τοῦ τε μακαριωτάτου [πατριάρχου τῶν Ἱεροσολύμων κτλ.] καὶ τῶν παρ[ευρεθέντων ἀρχιερέων κτλ.] δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου ἐπ' ἐκκλησίας καθαι-

ρέσει τελείᾳ καθυποβάλλομεν αὐτὸν καὶ τῆς ἀρχιερωσύνης ἀπεγυμνώσαμεν καὶ ἐστερημένον τῆς θείας χάριτος ἀπεφήναμεν, ξένον δὲ καὶ ἀλλότριον τοῦ πατριαρχικοῦ θρόνου ἀποκατεστήσαμεν καὶ τῆς πατριαρχικῆς ἀξίας ἀμέτοχον καὶ τοῦ πατριαρχικοῦ ὀνόματος ἄμοιρον· περὶ οὗ καὶ γράφοντες συνοδικῶς ἀποφαινόμεθα, ὅπως μηδεὶς που τολμήσῃ συμφορέσαι αὐτῷ ἢ συλλειτουργῆσαι, ἢ ὡς ἀρχιερέα καὶ πατριάρχην δεχθῆναι, ἢ τὴν χεῖρα αὐτοῦ ἀσπασθῆναι καὶ εὐλογίαν καὶ ἁγιασμὸν παρ' αὐτοῦ δεχθῆναι, ἀνιέρου τυγχάνοντος καὶ μοναχοῦ Κυρίλλου καὶ ἰδιώτου, ἐν βά[ρει ἀργίας κτλ.]. Ἄδειαν δὲ παρέχομεν τῇ ἐνταῦθα ἱερᾷ τῶν ἀρχιερέων συνελεύσει, κατὰ τὴν ἀξίωσιν τῆς ὑποτελούσης ἐκείνῳ τῷ θρόνῳ γερουσίας, ἱερατικῆς τε καὶ ἀρχιερατικῆς καταστάσεως, ψήφους κανονικὰς προβαλέσθαι πρὸς ἐκλογὴν ἀξίου καὶ ἁρμοδίου προσώπου τοῦ ἀναδεχθῆναι τὴν πατριαρχικὴν ἐκείνην προστασίαν κανονικῇ δοκιμασίᾳ καὶ ἀπαλλάξαι τὴν ἐκκλησίαν ἐκείνην τῆς ἐπικειμένης αὐτῇ συμφορᾶς, ἵνα μὴ λόγον ἀμελείας ἀπαιτηθῶμεν ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὅθεν ἡ δικαία καὶ κατὰ κανόνας ἐκείνου καθαίρεσις - -» [Οὕτως ἐν τῷ κώδικι λήγει τὸ συνοδικὸν τοῦτο γράμμα].

21.

(Πρᾶξις προβιβασμοῦ τῆς ἐπισκοπῆς Ζητουνίου καὶ Πτελεοῦ εἰς τάξιν ἀρχιεπισκοπῆς) [1].

† Τιμόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

† Ἀποστολικοὶ θεῖοι κανόνες καὶ πατρικοὶ διαταττόμενοι φαίνονται, ὡς τὰς ἑκασταχοῦ μητροπόλεις ἀναγκαίως ἐστὶν ἔχειν ἀναφαιρέτως τὰς ἑαυτῶν ἐπισκοπὰς καὶ μὴ κατατέμνεσθαι ταύτας οὔτε προβιβάζεσθαι ἢ ἐλάττωσίν τινα ὑπομένειν, καὶ ὅτι τοὺς προέδρους αὐτῶν, τῶν μητροπόλεων δηλαδή, ἔξεστιν ἀνακαλεῖσθαι καὶ ζητεῖν τὰ ἑαυτῶν ὅρια καὶ προνόμια. Ἀλλ' οἱ κατὰ καιροὺς ἀοίδιμοι ἐκεῖνοι βασιλεῖς, ὡς ἐν ταῖς βασιλικαῖς καὶ συνοδικαῖς αὐτῶν ἐκθέσεσιν ἐμπεριέχεται, τὸν καιρὸν οἰκονομοῦντες καὶ τὰ

[1] Κῶδ. Μετοχίου ἀριθ. 4, φ. 11β.

πράγματα, προεβίβασαν μὲν πολλὰς τῶν ἐπισκοπῶν ὑποκειμένας οὔσας ταῖς μητροπόλεσιν εἰς τιμὴν ἀρχιεπισκοπῶν, ἄλλας δὲ εἰς μητροπόλεις, καὶ μένουσιν ἕως τῆς σήμερον ἀπαρασαλεύτως, ὡς ἔνεστιν ἰδεῖν ἐκ πολλῶν ὀλίγας· καὶ γὰρ ἡ Μήδεια ἐπισκοπὴ οὖσα τοῦ Ἡρακλείας ἐτιμήθη εἰς μητρόπολιν· ἡ Προῦσα ὁμοίως καὶ αὐτὴ ἐπισκοπὴ τυγχάνουσα τοῦ Νικομηδείας εἰς μητρόπολιν προεβιβάσθη· ἡ Σωζόπολις καὶ ἡ Αἶνος ὡσαύτως εἰς τὴν αὐτὴν ἀξίαν ἀνήχθησαν· εἶθ' οὕτως καὶ οἱ πρὸ ἡμῶν ἀείμνηστοι πατριάρχαι τῷ αὐτῷ κανόνι συστοιχοῦντες, ἀξιώσει τοῦ κατὰ τόπον χριστωνύμου πληρώματος τὴν μὲν Σάμον καὶ Σαντορήνην ἐπισκοπὰς οὔσας τοῦ Ῥόδου εἰς ἀρχιεπισκοπὰς ἐτίμησαν, τὴν δὲ Μῆλον τοῦ Παροναξίας τυγχάνουσαν καὶ αὐτὴν εἰς ἀρχιεπισκοπὴν προεβίβασαν, ὁμοίως καὶ τὴν Ἐλασῶνα καὶ τὸ Φανάριον ἐπισκοπὰς ὑπαρχούσας τοῦ Λαρίσσης εἰς ἀρχιεπισκοπὰς ἀνήγαγον καὶ ἠξίωσαν. Ἐπεὶ δὲ καὶ τανῦν τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν αὐτῆς καὶ συλλειτουργῶν, ὁ ἐντιμότατος οἰκονόμος τῆς ἐπισκοπῆς Ζητουνίου παπᾶ κῦρ Ἰωάννης καὶ οἱ ἔγκριτοι τῆς αὐτῆς ἐπαρχίας καὶ Πτελεοῦ, μετὰ καὶ τῆς γνώσεως τῶν ἐκεῖσε ἱερωμένων καὶ λαϊκῶν, ὁρῶντες τὴν ἐπαρχίαν αὐτῶν αὐξανομένην καὶ πληθυνομένην καὶ σὺν Θεῷ ἱκανὴν οὖσαν τιμηθῆναι καὶ εἰς μείζονα ἀξίαν ἀναβιβασθῆναι, ἦλθον παρρησίᾳ καὶ ἐμπόνως ἐζήτησαν καὶ μετὰ βασιλικῆς δυνάμεως καὶ ἐξουσίας ἠτήσαντο, ἵνα καὶ αὐτὴ ἡ ἐπαρχία αὐτῶν Ζητουνίου καὶ Πτελεοῦ μὴ διαμένῃ εἰς ὅ ἐστιν, ἀλλὰ προβιβασθῇ καὶ συναριθμηθῇ ταῖς προρρηθείσαις ἀρχιεπισκοπαῖς, τούτου χάριν καὶ ἡ μετριότης ἡμῶν διασκεψαμένη τὸ περὶ τούτου συνοδικῶς καὶ τὴν αἴτησιν αὐτῶν ἀποδεξαμένη γράφει καὶ ἀποφαίνεται ἐν ἁγίῳ πνεύματι καὶ διορίζεται, γνώμῃ καὶ αὐτοῦ τοῦ ἱερωτάτου μητροπολίτου Λαρίσσης κῦρ Τιμοθέου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας καὶ πάσης Ἑλλάδος, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, παρόντος ἐν τῇ συνοδικῇ ταύτῃ διασκέψει

καὶ ἀποφάσει, εἶναι μὲν καὶ ὀνομάζεσθαι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τὴν αὐτὴν ἐπαρχίαν Ζητουνίου καὶ Πτελεοῦ ἀπὸ ἐπισκοπῆς εἰς ἀρχιεπισκοπὴν καὶ τὸν ταύτης προϊστάμενον ἀρχιερέα καλεῖσθαι καὶ λέγεσθαι ἀρχιεπίσκοπον καὶ συναγελάζεσθαι τοῖς λοιποῖς ἀρχιεπισκόποις, τιμώμενον παρὰ πάντων τῶν ἀρχιερέων καὶ ἀγαπώμενον καὶ συλλειτουργούμενον, ὀφειλόντων καὶ τῶν ἐν τῇ ἐπαρχίᾳ ταύτῃ τῆς ἀρχιεπισκοπῆς Ζητουνίου καὶ Πτελεοῦ πάντων ἱερωμένων καὶ λαϊκῶν αὐτὸν καὶ μόνον τὸν κατὰ καιροὺς προϊστάμενον ἀρχιεπίσκοπον γινώσκειν καὶ ἔχειν γνήσιον καὶ καθολικὸν αὐτῶν ἀρχιερέα καὶ ποιμένα πνευματικὸν καὶ προστάτην καὶ οὐδέν' ἄλλον. Οὕτως ἀπεφηνάμεθα ἐν ἁγίῳ πνεύματι συνοδικῶς· ὃς δ' ἂν ὀψέποτε τολμήσῃ ἀνατρέψαι τὴν παροῦσαν ταύτην συνοδικὴν διάσκεψιν καὶ ἀπόφασιν καὶ ἀποσπᾶσαι καὶ ἀποξενῶσαι τὴν αὐτὴν ἀρχιεπισκοπὴν Ζητουνίου καὶ Πτελεοῦ ἀπὸ τῆς πατριαρχικῆς [sic]. Ἐν μηνὶ ἰουνίῳ ἰνδ. [ι]ε' [1617].

† Ὁ Ἡρακλείας Βαρθολομαῖος.
† Ὁ Νικομηδείας Νεόφυτος.
† Ὁ Χαλκηδόνος Ἱερεμίας.
† Ὁ Φιλιππουπόλεως Γαβριήλ.
† Ὁ Βερροίας Ἰωακείμ.
† Ὁ Λακεδαιμονίας Ἰωάσαφ.
† Ὁ Ἀμασείας Γεράσιμος.
† Ὁ Χίου Νεόφυτος.
† Ὁ Πισιδείας Παΐσιος.
† Ὁ Γάνου Νεόφυτος.

22.

(Πρᾶξις ἀκυρώσεως μεταθέσεως ἀρχιερέως) [1].

† Τιμόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

† Ὅτι μὲν ἐπεκράτησεν ἐν τῇ ἐκκλησίᾳ μεταθέσεις ἀρχιερέων γίνεσθαι ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν καὶ ὀνομάζεσθαι τού-

[1] Κῶδ. Μετοχίου 4, φ. 3β.

τους γνησίους ἀρχιερεῖς, εὔδηλόν ἐστι καὶ ὁμολογούμενον· ὅτι δὲ πάλιν καὶ τοὺς μετὰ τὴν μετάθεσιν εἰς ἐπιβουλὴν ζωῆς καὶ θανάτου κινδυνεύοντας καὶ μὴ δυναμένους ὅλως ἐν τῇ ἐπαρχίᾳ ἐκείνῃ ἵστασθαι καὶ ἀρχιερατεύειν καὶ διὰ τοῦτο ἀποδράσαντας καὶ ἀναχωρήσαντας, δίκαιόν ἐστι πάντως καὶ εὐλογώτατον ἀνατραπῆναι καὶ εἰς οὐδὲν λογισθῆναι τὴν μετάθεσιν ἐκείνην καὶ εἰς ἑτέρας ἐπαρχίας μεταβῆναι γνησίως. Ὅπερ νῦν συνέβη καὶ ἐπὶ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ κῦρ Ἱερεμίᾳ· καὶ γὰρ αὐτὸς πρῶτον ἐπίσκοπος Πολυανῆς χειροτονηθεὶς ὕστερον ἔλαβε λόγῳ μεταθέσεως τὴν ἐπισκοπὴν Κίτρους, κἀκεῖσε συνεργίᾳ τοῦ μισοκάλου δαίμονος ἐξαίφνης ἐπιδρομῆς γενομένης ὑπὸ θαλαττίων λῃστῶν καὶ ἐναντίων τῆς κραταιᾶς ἡμῶν βασιλείας, καὶ ἐρημωσάντων τὸν τόπον, ὁ δικαστὴς τοῦ τόπου καὶ οἱ λοιποὶ ἀξιωματικοὶ τῶν κρατούντων καὶ ἐξουσιασταὶ νομίσαντες τὴν ἐπιβουλὴν ταύτην καὶ ἔνεδραν, ἣν ἔπαθον, ὑπὸ τοῦ αὐτοῦ ἐπισκόπου καὶ τῶν λοιπῶν ἐντοπίων χριστιανῶν γεγονέναι, πολλοὺς ἐξ αὐτῶν ἀπέκτειναν καὶ ἐθανάτωσαν, αὐτὸς δὲ φυγῇ χρησάμενος διεσώθη, στερηθεὶς τῆς περιουσίας αὐτοῦ καὶ μείνας γυμνὸς καὶ ἄπορος, περινοστῶν καὶ περιερχόμενος ἀπὸ τόπου εἰς τόπον, ἐλεημοσύνης καὶ ἐπικουρίας δεόμενος, χειροτονηθέντος ἑτέρου ἐν τῇ ἐπαρχίᾳ αὐτῇ τοῦ Κίτρους· ὃς μηκέτι φέρων μηδὲ ἀνεχόμενος τὰς τοιαυτας θλίψεις καὶ στενοχωρίας καὶ τὰς ἐκ τόπου εἰς τόπον μεταβάσεις, προσέπεσε τῇ καθ' ἡμᾶς ἱερᾷ τῶν ἀρχιερέων συνόδῳ καὶ ἐδεήθη ἐμπόνως ἀκυρωθῆναι τὴν μετάθεσιν αὐτοῦ. Καὶ δὴ ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτοῦ ἀποδεξαμένη, γνώμῃ κοινῇ συνοδικῇ γράφει καὶ ἐν ἁγίῳ πνεύματι ἀποφαίνεται, ἵνα ἡ μὲν ἀπὸ Πολυανῆς εἰς Κίτρους γεγονυῖα μετάθεσις τοῦ αὐτοῦ θεοφιλεστάτου ἐπισκόπου κῦρ Ἱερεμίου μείνῃ ἄκυρος καὶ ἀνίσχυρος καὶ εἰς οὐδὲν λογισθῇ, αὐτὸς δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος κῦρ Ἱερεμίας ἔχῃ ἄδειαν μετατεθῆναι ἐν ἑτέρᾳ ἐπαρχίᾳ καὶ εἴη καὶ ὀνομάζηται γνήσιος καὶ καθολικὸς ἀρχιερεὺς αὐτῆς καὶ ἱερουργῇ καὶ τὰ ἀρχιερατικὰ ἐκτελῇ μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως ἀπροκριματίστως καὶ ἀναντιρρήτως. Οὕτως ἀπεφηνάμεθα συνοδικῶς.

Ὅθεν καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν συνοδικὸν γράμμα, καὶ κατεστρώθη ἐν τῷ ἱερῷ τούτῳ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἐν ἔτει ζῳ ρῳ κῳ ςῳ [1617]:—

Ἐν μηνὶ νοεμβρίῳ ἰνδικτ. [ιε'].

(Ἔπονται 10 ὑπογραφαὶ ἀρχιερέων καὶ δύο ὀφφικιούχων, ἐξ ὧν ἀνέγνων τὰς ἑπομένας:

† Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης.

† Ὁ Νικαίας Πορφύριος.

† Ὁ Ἀγκύρας Γρηγόριος.

† Ὁ Τραπεζοῦντος Ἰγνάτιος.

† Ὁ μέγας λογοθέτης τῆς Μεγάλης Ἐκκλησίας, ἔχων τὰς γνώμας τῶν ἁγιωτάτων πατριαρχῶν, τοῦ Ἀντιοχείας καὶ τοῦ Ἱεροσολύμων, καὶ τῶν πανιερωτάτων μητροπολιτῶν, τοῦ Θεσσαλονίκης, τοῦ Ἀθηνῶν, τοῦ Προύσης, τοῦ Γάνου καὶ Χώρας καὶ τοῦ Ἴμβρου.

† Ὁ μέγας σακελλάριος τῆς Μεγάλης Ἐκκλησίας, ἔχων τὰς γνώμας τῶν πανιερωτάτων ἀρχιερέων, τοῦ τε Ἐφέσου, τοῦ Τορνόβου, τοῦ Νεοκαισαρείας, τοῦ Ναυπάκτου καὶ τοῦ Λήμνου.

23.

(Πρᾶξις ἐπὶ τῇ ἐκλογῇ Γερασίμου, πατριάρχου Ἀλεξανδρείας) [1].

† Ἐπειδὴ μετὰ τὴν ἀποβίωσιν τοῦ μακαρίτου πατριάρχου κῦρ Τιμοθέου κοινῇ γνώμῃ τῶν παρατυχόντων ἀρχιερέων καὶ κληρικῶν καὶ ἀρχόντων καὶ τοῦ λοιποῦ λαοῦ διεμυνήθη καὶ ἦλθεν ἐνταῦθα ὁ τῳτότε μακαριώτατος πατριάρχης Ἀλεξανδρείας κύριος Κύριλλος, καὶ ψήφων κανονικῶν γενομένων ἐξελέγη ὑπὸ πάντων ἡμῶν καὶ λόγῳ μεταθέσεως ἀναχθεὶς καὶ προβιβασθεὶς εἰς τὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ὑψηλότατον καὶ πατριαρχικὸν θρόνον, τούτου χάριν ἡμεῖς οἱ παρευρεθέντες τανῦν ἀρχιερεῖς εἰσελθόντες ἐν τῷ πατριαρχικῷ θείῳ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, προτροπῇ τοῦ παναγιωτάτου αὐτοῦ καὶ σοφωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐποιήσαμεν ψήφους κανονικὰς δι' αὐτὸν τὸν ἁγιώτατον θρό-

[1] Κῶδ. Μετοχ. ἀριθ. 4, φ. 13.

νον Ἀλεξανδρείας· ἐν αἷς ἐθέμεθα πρῶτον μὲν τὸν ὑπ' αὐτοῦ τε τοῦ παναγιωτάτου καὶ τοῦ ἐκεῖσε κλήρου καὶ τοῦ λαοῦ ἐκλεγέντα καὶ ζητηθέντα ὁσιώτατον ἀρχιμανδρίτην ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κῦρ Γεράσιμον, δεύτερον δὲ τὸν ὁσιώτατον πρωτοσύγκελλον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Νεόφυτον, καὶ τρίτον τὸν ὁσιώτατον πρωτοσύγκελλον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Δανιήλ. Ὅθεν καὶ εἰς δήλωσιν κατεστρώθησαν ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἔτει ,ζρκθῳ [1620], νοεμβρίῳ λ', ἰνδ. δ'.

† Ὁ Ἡρακλείας Τιμόθεος.
† Ὁ Κυζίκου Παρθένιος.
† Ὁ Νικομηδείας Νεόφυτος.
† Ὁ Θεσσαλονίκης Παΐσιος.
† Ὁ Ἀδριανουπόλεως Ἄνθιμος.
† Ὁ Προύσης Ἰωάσαφ.
† Ὁ Κορίνθου Ἄνθιμος.
† Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης.
† Ὁ Λαρίσσης Γρηγόριος.
† Ὁ - - - Γαβριήλ.
† Ὁ Φιλιππουπόλεως Ἰωάσαφ.
† Ὁ Σερρῶν Τιμόθεος.
† Ὁ Ἀγχιάλου Παρθένιος.
† Ὁ Λακεδαιμονίας Ἰωάσαφ.
† Ὁ Χίου Ἰγνάτιος.
† Ὁ Φιλίππων καὶ Δράμας Κλήμης.
† Ὁ Μυτιλήνης Κωνστάντιος.
† Ὁ Διδυμοτείχου Ἄνθιμος.
† Ὁ Αἴνου Δανιήλ.
† Ὁ Μηδείας Ἀρσένιος.
† Ὁ Γάνου καὶ Χώρας Ἰγνάτιος.
† Ὁ Προικοννήσου Κλήμης.
† Ὁ ταπεινὸς ἐπίσκοπος Ἀγαθοπόλεως Μητροφάνης.

24.

(Περὶ τοῦ χρέους τῆς Μεγάλης Ἐκκλησίας)[1].

† Ἐπειδὴ μετὰ τὸν θάνατον τοῦ μακαρίτου πατριάρχου κῦρ Τιμοθέου κοινῇ γνώμῃ καὶ ψήφῳ ἀρχιερέων κληρικῶν καὶ ἀρχόντων καὶ τοῦ λοιποῦ λαοῦ προσεκλήθη καὶ ἦλθεν ἐνταῦθα καὶ μετετέθη καὶ ἐγένετο γνήσιος ἡμῶν πατριάρχης οἰκουμενικὸς ὁ νῦν παναγιώτατος καὶ σοφώτατος αὐθέντης ἡμῶν καὶ δεσπότης κῦρ Κύριλλος, καὶ εὗρε μὲν παλαιὰ χρέη τοῦ κῦρ Τιμοθέου ἐπέ-

[1] Κώδ. Μετοχίου 4, φ. 15β.

κεινα τῶν δεκαπέντε φορτίων, ἐδανείσθη δὲ καὶ ἡ παναγιότης αὐτοῦ διά τε τὸ ἴδιον αὐτοῦ βασιλικὸν πεσκέσιον καὶ τὰς λοιπὰς ἀναγκαίας καὶ χρειώδεις ἐξόδους ἕτερα εἰκοσιπέντε φορτία, ἅτινα πάντα ποσούμενα γίνονται τεσσαράκοντα, καὶ ἐξ αὐτῶν ἔστερξε δοῦναι καὶ πληρῶσαι ἐξ ἰδίων τὰ πέντε, καὶ ἔμειναν τὰ λοιπὰ τριακονταπέντε φορτία ὀφειλόμενα, καὶ κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν οἱ καθευρεθέντες ἡμεῖς ἀρχιερεῖς ἐγράψαμεν ἐν καταστίχῳ τὴν ἑκάστου ἀρχιερέως ἀποκοπήν, κατὰ τὴν δύναμιν τῆς ἐπαρχίας αὐτοῦ, καὶ ἐνεχειρίσαμεν αὐτὸ πρὸς τὸν αὐτὸν παναγιώτατον ἡμῶν δεσπότην, εἰς ἀποπλήρωσιν τῶν εἴπομεν χρεῶν, τούτου χάριν καὶ γράφομεν κοινῶς, ἵνα ὅστις ἐξ ἡμῶν τῶν παρόντων ἀρχιερέων, ἢ καὶ τῶν ἀπόντων, ἀμελήσει καὶ δυστροπήσει καὶ οὐ θελήσει δοῦναι τὴν ἐν τῷ ἐσφραγισμένῳ παρ' ἡμῶν συνοδικῷ καταστίχῳ ἀποκοπὴν αὐτοῦ πᾶσαν σῶαν καὶ ἀνελιπῆ ἕως τῆς ἤδη ἐλευσομένης ἑορτῆς τοῦ ἁγίου Γεωργίου, πρὸς ὃν ἂν προσταχθῇ διὰ πατριαρχικοῦ γράμματος ἔξαρχον πατριαρχικὸν ἢ καὶ δανειστήν, πρὸς δὲ καὶ τὸν ἀπὸ τῆς σήμερον ἕως τῆς προειρημένης ἑορτῆς τοῦ ἁγίου Γεωργίου γενησόμενον τόκον, ὁ τοιοῦτος ὁποῖος ἂν εἴη, εἴτε μητροπολίτης, εἴτε ἀρχιεπίσκοπος ἢ καὶ ἐπίσκοπος, καθῃρημένος ὑπάρχῃ καὶ γεγυμνωμένος πάσης ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως καὶ ἔκπτωτος τοῦ θρόνου καὶ τῆς τιμῆς αὐτοῦ καὶ ἀναπολόγητος εἰς τὸ ἐξῆς, ὡς ἀσύμφωνος καὶ ἀπειθής· ὁ δὲ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης ἔχῃ ἐπ' ἀδείας ἀναμφιβόλως καὶ ἀποκριματίστως χειροτονῆσαι ἀντ' αὐτοῦ τοῦ ἀπειθοῦς καὶ παρηκόου ἕτερον ἀρχιερέα γνήσιον ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ. Ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμῶν συνοδικὸν σημείωμα καὶ κατεστρώθη ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς Μεγάλης Ἐκκλησίας, ἐν ἔτει ,ζρκθφ, μηνὶ δεκεμβρίῳ α', ἰνδ. δης [1620].

† Γεράσιμος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας.

† Ὁ Ἡρακλείας Τιμόθεος. † Ὁ Νικομηδείας Νεόφυτος.

† Ὁ Κυζίκου Παρθένιος. † Ὁ Νικαίας Πορφύριος.

† Ὁ Ἀδριανουπόλεως Ἄνθιμος.
† Ὁ Θεσσαλονίκης Παΐσιος.
† Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης.
† Ὁ Προύσης Ἰωάσαφ.
† Ὁ Λαρίσσης Γρηγόριος,
† Ὁ Φιλιππουπόλεως Ἰωάσαφ.
† Ὁ Αἴνου Δανιήλ.
† Ὁ Ἀγχιάλου Παρθένιος.
† Ὁ Ἰωαννίνων - - - -
† Ὁ Γάνου καὶ Χώρας Ἰγνάτιος.
† Ὁ Προικοννήσου Κλήμης.
† Ὁ Μυτιλήνης Κωνστάντιος.
† Ὁ Λακεδαιμονίας Ἰωάσαφ.

25.

(Περὶ τοῦ χρέους τῆς Μεγάλης Ἐκκλησίας)[1].

† Ἡ κατὰ τὸν καιρὸν τοῦτον συναχθεῖσα ἐν τῇ μεγαλοπόλει ταύτῃ ἀρχιερατικὴ σύνοδος ἐπὶ πολλῶν ἀναγκαίων ὑποθέσεων ἐκκλησιαστικῶν διορθώσει, καὶ μάλιστα ἐπὶ τῷ σκέψασθαι πῶς πληρωθῆναι τὰ βαρύτατα χρέη, ἅπερ προὐξένησε τῇ Μεγάλῃ Ἐκκλησίᾳ ὁ τρισκαθηρημένος καὶ αἰωνίως ἀναθεματισμένος στραβο-Ἀμασείας Γρηγόριος, ὡς ταράξας τὴν ἐκκλησιαστικὴν εἰρήνην καὶ τοσοῦτον ζημιώσας τὴν κοινότητα τῶν ἀρχιερέων καὶ πάντας τοὺς ὀρθοδόξους χριστιανούς, — ἐπὶ τούτῳ οὖν συνελθοῦσα καὶ αὐτὰ πάντα τὰ χρέη ψηφίσασα καθὲν καὶ καταλεπτῶς σὺν τοῖς τόκοις καὶ ζημίαις εὗρεν ἀριθμεῖσθαι καὶ ποσοῦσθαι ὑπὲρ τὰ ἑκατὸν φορτία· καὶ ἀπορησάντων πάντων πῶς ἔχοιεν πληρωθῆναι αὐτά, κοινῇ γνώμῃ ἀπεφάνθη διὰ τὴν σύστασιν τῆς ὀρθοδόξου ἡμῶν καταστάσεως καὶ τὴν τιμὴν τοῦ χριστιανικοῦ ὀνόματος, μάλισθ' ὅτι ἐδόθη τῇ βασιλείᾳ καὶ τζουλούσιον καὶ πεσκέσιον πρὸς ταῖς λοιπαῖς ἐξόδοις, αἵτινες ἐμεσολάβησαν, ζητίαν ῥιφῆναι ἕως πεντήκοντα φορτίων τὸν ἀριθμὸν καὶ παρέξαι τοῖς ἔχουσι λαβεῖν, ἤτοι τοῖς χρεοφειλέταις, ὅσα φθάσοιεν ἀναλόγως ἑκάστῳ δοθῆναι, εἰς τουπιὸν σκέψιν ποιήσοντες περὶ τῶν ἐναπομεινάντων, ἅτινα κοινῶς λογαριάσαντες εὕρομεν εἰς τοσαῦθ' ἕτερα κορυφοῦσθαι, καθάπερ καὶ ἐν καταστίχῳ κατεστρώσαμεν, ὅθεν ἔχουσι διὰ παντὸς ἐν παντὶ καιρῷ ψηφίζεσθαι καὶ ποσοῦσθαι. Ἐπεὶ λοιπὸν ζη-

[1] Κῶδ. Μετοχίου 4, φ. 24.

τίαν ἐρρίψαμεν, ἐφροντίσαμεν καὶ ἐξάρχους ἀποστεῖλαι πανταχοῦ εἰς τὸ συνάξαι τὴν ῥιφεῖσαν ἑκάστῳ ἡμῶν τῶν ἀρχιερέων ἀναλόγως ποσότητα· καὶ διατὶ ἀναμεταξὺ καί τινες εὑρίσκονται ἀπειθεῖς καὶ σκληροί, ἐλπίσιν ἐπὶ ματαίαις ἐρειδόμενοι, διὰ τοῦτο ἡ κοινότης ἡμῶν ἅπασα ἔκρινε τὸν τόμον τοῦτον ἐκδεδοκέναι, ἐν ᾧ ἡ ἡμετέρα ἱερὰ σύνοδος ἀποφαίνεται, ὅπως οἱ ἀποστελλόμενοι ἔξαρχοι ἐντεῦθεν ἔχωσιν ἄδειαν, εἴ τις τῶν ἀρχιερέων οὐ πληρώσῃ κατὰ τὸ ἐσφραγισμένον καὶ δοθὲν τοῖς ἐξάρχοις κατάστιχον τὸ ἀνάλογον αὐτοῦ καὶ ὅπερ ὀφείλει, εἴτε χαράτζιον, εἴτε ζητίαν, εἴτε μπακίον, μέχρι τῆς ἐλευσομένης τῶν Χριστουγέννων ἁγίας ἑορτῆς, ἔχωσι ψηφὶ ἄδειαν οἱ ῥηθέντες ἔξαρχοι παιδεῦσαι καὶ καθῆραι τοὺς ἀπειθεῖς ὁπωσδήπως καὶ ἄλλους ἀντ' αὐτῶν χειροτονῆσαι, μηδενὸς ἡμῶν τὸ παράπαν εἰς τοῦτο ἐναντιουμένου· οὗ εἰς δήλωσιν καὶ βεβαίωσιν ἐγράφη καὶ ἐγένετο ὁ παρὼν τόμος, καὶ ἐστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, κατὰ τὸ σωτήριον ἔτος ,αχκδ-ον, μηνὶ ἰουλίῳ, ἰνδ. ζ-ης [1624].

Μετὰ τὸ τελειωθῆναι τὸν τόμον τοῦτον, ἐκρίναμεν προσθῆσαι καὶ τοῦτο. Ἐπειδὴ ἕκαστος ἡμῶν ἀπέρχεται εἰς τὴν ἐπαρχίαν αὐτοῦ, ταύτην τὴν φροντίδα τοῦ παιδεῦσαι τοὺς ἀπειθεῖς καὶ μὴ παρέχοντας τὰ ὀφειλόμενα τῇ Μεγάλῃ Ἐκκλησίᾳ παρέχομεν καὶ δίδομεν τῷ παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ, ἵνα ἡμῶν ἀπόντων ὡς παρόντων ἔχῃ ἄδειαν καθῆραι ὃν τινα κρίνοι ἄξιον καθαιρέσεως· ὅπερ στερκτὸν ἔξομεν καὶ οὐδεὶς ἔσται ὁ ἐναντιωθησόμενος· ὅπερ ἀσφαλίζοντες ὑπογράφομεν.

† Ὁ Ἡρακλείας Νεόφυτος.
† Ὁ Κυζίκου Παρθένιος.
† Ὁ Νικομηδείας Νεόφυτος.
† Ὁ Χαλκηδόνος Ἰωάσαφ.
† Ὁ Ἀδριανουπόλεως Παρθένιος.
† Ὁ Θεσσαλονίκης Παΐσιος.
† Ὁ Ἀθηνῶν Θεοφάνης.
† Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης.
† Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ.
† Ὁ Λακεδαιμονίας Ἰωάσαφ.
† Ὁ Διδυμοτείχου Ἄνθιμος.

† Ὁ Χίου Ἰγνάτιος.
† Ὁ Ἀγχιάλου Χριστόφορος.
† Ὁ Μεσημβρείας Ἀκάκιος.
† Ὁ Βάρνης Παρθένιος.
† Ὁ Μηδείας καὶ Σωζοπόλεως Θεοδόσιος.
† Ὁ Ἴμβρου Ἰωακείμ.
† Ὁ Προικοννήσου Κλήμης.
† Ὁ Φαναρίου Εὐθύμιος.
† Ὁ Παροναξίας Ἱερεμίας.
† Ὁ Ἀγαθοπόλεως Μητροφάνης.
† Ὁ Νεκτάριος Τζίας καὶ Θερμῶν.
† Ὁ - - - - - -

26.

(Καθαίρεσις τοῦ ἐκ Βερροίας Κυρίλλου, πατριάρχου Κωνσταντινουπόλεως)[1].

† Καὶ τοῦτο παρὰ τῆς ἁγίας καὶ θεοπνεύστου Γραφῆς ἐμάθομεν, τοὺς ὁπωσδήπως ἡττηθέντας τῇ ἀλαζονείᾳ τοῦ πάθους ἀντιτάττεσθαι καὶ εἰς πέταυρον ᾅδου καταβιβάζεσθαι δικαίως. τὸν γὰρ Ἑωσφόρον ἤδη καλούμενον ἄγγελον ὄντα φωτὸς καὶ τοῖς ὑπερκοσμίοις ἐφάμιλλον τάγμασιν ἐπαρθέντα τῇ διανοίᾳ κατὰ τοῦ οἰκείου δεσπότου καὶ τὸν θρόνον αὐτοῦ θεῖναι διανοηθέντα ἐπὶ νεφῶν καὶ γενέσθαι ὅμοιον τῷ ὑψίστῳ, ἅμα τῷ ἐπινοηθῆναι τοιαύτης προεδρίας τυχεῖν ἐκπεπτωκέναι τοῦ εἶναι φωσφόρον, εἰς σκότος ἑαυτὸν μεταστοιχειωσάμενον καὶ μεταβαλόντα τὸν δείλαιον καὶ παράφρονα καὶ κἀταβιβασθέντα εἰς ᾅδην. Τοσοῦτον καὶ τηλικοῦτον ἡ ἀλαζονεία κακόν! Καὶ δὴ καὶ τὸν ἐκ Βερροίας Κύριλλον, τὸν κατὰ πᾶσαν παραχώρησιν Θεοῦ τρὶς ἤδη τοῦ οἰκουμενικοῦ λῃστρικῶς καὶ ἀθέσμως ἐπιβιβασθέντα θρόνου, τὸ πρότερον μητροπολίτην ὡς μὴ ὤφελε χειροτονηθέντα τῆς ἐνεγκαμένης αὐτῷ, ἤτοι Βερροίας, καὶ τῆς σειρᾶς ἢ τάξεως τῶν ἀρχιερέων ταχθέντα, οὐκ ἀρκεσθέντα τῇ τοῦ μητροπολίτην εἶναι προσηγορίᾳ, τύφῳ δὲ ἡττηθέντα ἁπλέτῳ, δεῖν ἐγνωκέναι ἑαυτὸν ὑπερυψῶσαι καὶ τοῦ ἰδίου κατεπαρθῆναι προστάτου καὶ δράξασθαι τοῦ οἰκουμενικοῦ θρόνου παρὰ πᾶσαν δικαίαν κρίσιν καὶ βούλησιν, συνοδικῆς διασκέψεως, νόμων καὶ κανόνων, περιφρονήσαντα τὸν μάταιον· ὁμοίους γὰρ αὐτῷ συνάξαντα τότε, πολιτείᾳ τε καὶ προαι-

[1] Κῶδ. Μετοχίου 4, φ. 31-32.

ρέσει καὶ τοῖς λοιποῖς ἐπὶ κακοῖς προτερήμασιν, ἐξῶσαι ὑποσχέσει χρημάτων πολλῶν τὸν γηραιὸν κῦρ Κύριλλον, πατριάρχην γνήσιον τοῦ θρόνου αὐτοῦ, καὶ ἐπιβῆναι ληστρικῶς τοῦ οἰκουμενικοῦ καὶ πατριαρχικοῦ θρόνου ὀκταήμερον παρανόμως καὶ ἐπιβατικῶς ἀνακηρυχθῆναι πατριάρχην, καὶ τῆς Μεγάλης Ἐκκλησίας γαληνιώσης καὶ εἰρηνικῶς καὶ ἀταράχως διαγούσης χρέους χωρὶς προξενῆσαι αὐτῇ ζημίαν ὑπὲρ τὰ πεντήκοντα φορτία τῶν ἄσπρων. Δεύτερον ἐνθυμηθέντος αὐτοῦ πάλιν καὶ ἰχνηλατοῦντος τρόπον εὑρεῖν δῆθεν εὔλογον πατριαρχεῦσαι καὶ παραλαβεῖν τοὺς τῆς Χριστοῦ Μεγάλης Ἐκκλησίας οἴακας, ὑπισχνουμένου πολλὰ τῶν ἀγαθῶν διαπράξασθαι καὶ νομίμων καὶ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ διακυβερνᾶν ἀταράχως καὶ ἀδιαλωβήτως, κατὰ τὴν διατύπωσιν τῶν ἱερῶν νόμων καὶ κανόνων, ἔκλιναν τινὲς τῶν ἀρχιερέων κληρικῶν τε καὶ ἀρχόντων, τοῖς ἀπατηλοῖς καὶ ψευδεπιπλάστοις αὐτοῦ λόγοις ἡττηθέντες, καὶ συγκατένευσαν τῇ θελήσει αὐτοῦ καὶ τῇ γνώμῃ, μὴ καταλαβόντες τὴν ἣν εἶχε δεῖξαι μετέπειτα μοχθηρίαν αὐτοῦ καὶ ἀσεβῆ προαίρεσιν μετὰ τὸ πατριαρχεῦσαι, καὶ συνδρομὴν αὐτῷ ἐνεδείξαντο ἔργῳ τε καὶ λόγῳ, ἐπὶ τῷ ἀποκαταστῆσαι αὐτὸν πατριάρχην. Ὁ δὲ τῶν ἐπὶ καλῷ πάντων ἐπιλαθόμενος ὑποσχέσεων ἤρξατο κακουργεῖν ἀφ' ἑστίας τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν, ἐπιχειρῶν ἀδίκως παραλόγως καὶ ἀναιτίως διώκειν τοὺς ἀρχιερεῖς τῶν θρόνων αὐτῶν καὶ καθήρειν μόνος καὶ ἄλλους ἀντ' αὐτῶν χειροτονεῖν καὶ ἀποκαθιστᾶν παρανόμως εἰς τὰς ἐπαρχίας αὐτῶν, ὡς τοῖς πᾶσι καταφανὲς καὶ πρόδηλον· ὧν πρῶτος ἐτύγχανεν ὁ μετέπειτα χρηματίσας πατριάρχης Κωνσταντινουπόλεως κῦρ Νεόφυτος, ὁ Τορνόβου κῦρ Μακάριος, ὁ Θεσσαλονίκης καὶ ἄλλοι· καὶ πρὸς τούτοις ἐῶμεν λέγειν τὰς καθ' ἡμέραν καὶ ὥραν ἁρπαγὰς καὶ πλεονεξίας καὶ ἐπιβολάς, ἃς εἰργάζετο κατὰ πάντων· ἃ μὴ δυνάμενοι φέρειν ὅλως οἱ τότε ἀρχιερεῖς, πρόδηλα ὄντα καὶ φανερὰ εἰς πάντας καὶ ἀλλότρια οὐ μόνον τῆς πατριαρχικῆς ἐπαγγελίας καὶ παντὸς νόμου καὶ λόγου, ἀλλὰ καὶ αὐτῶν τῶν μὴ Θεὸν σεβομένων καὶ κρίσιν καὶ ἀνταπόδοσιν ὅλως μὴ προσδοκωμένων, συνεκροτήσαντο σύνοδον ὑπερτελῆ

κληρικῶν ἱερέων ἀρχόντων καὶ τῶν χριστιανῶν ἐπὶ τῷ σωφρονῆσαι αὐτὸν καὶ παύσασθαι τῶν τοιούτων, πῇ μὲν νουθετοῦντες, πῇ δὲ νόμου κεφάλαια προτιθέμενοι, πῇ δὲ αὐστηρῶς καὶ ἀποτόμως ἐλέγχοντες, καὶ αὐτὸς πάντων καταφρονῶν, τῇ ἀλαζονείᾳ καὶ τῷ τύφῳ καὶ τῇ κακῇ προαιρέσει ἐπερειδόμενος, ἐμηχανήσατο μηχανὴν θανάτου πρόξενον κατὰ τῶν ἐγκρίτων ἀρχιερέων, χοντζέτιον πεποιηκὼς κατ' αὐτῶν, ἀπειθεῖς καὶ ἐναντίους δείξας αὐτοὺς δῆθεν τοῦ βασιλικοῦ διατάγματος· καὶ λαβὼν ἀνὰ χεῖρας ἐμελέτα πληρῶσαι τὸ θέλημα αὐτοῦ καὶ θανατῶσαι αὐτοὺς πικρῷ θανάτῳ. Γνόντες δὲ οἱ ἀρχιερεῖς τὴν ἐπίβουλον γνώμην αὐτοῦ καὶ τὸ ἐπιθάνατον ἐπιχείρημα, ἀπεδίωξαν αὐτὸν ὡς τοιοῦτον καὶ τηλικοῦτον ἀναφανέντα τοῦ θρόνου τοῦ πατριαρχικοῦ, εὐλόγῳ καὶ δικαίᾳ ψήφῳ καὶ ἀποφάσει ἀποσκορακίσαντες καὶ ἐκλογῇ πάντων καὶ ψήφῳ προεβίβασαν πατριάρχην νόμιμον καὶ κανονικὸν τὸν κῦρ Νεόφυτον. Μετὰ τοῦτο ὀλίγον ὕστερον, ἐκουσίως αὐτοῦ τὸν θρόνον καταλιπόντος, ἐπανῆλθεν εἰς τὸν πατριαρχικὸν αὐτοῦ θρόνον ὁ γηραιὸς παναγιώτατος πατριάρχης κῦρ Κύριλλος· καὶ τούτου νομίμως καὶ γνησίως τὸν θρόνον αὐτοῦ διιθύνοντος καὶ κυβερνῶντος καὶ εἰρηνικῶς εὑρισκομένου, οὐκ ἐκορέσθη ἡ ἀσύνετος αὐτοῦ ψυχὴ καὶ καρδία τοῦ ἐκ Βερροίας ταῖς προλαβούσαις αὐτοῦ ἀδικίαις κακίαις τε καὶ ἐπιβουλαῖς, οὐθ' ὅλως ἐμνήσθη θανάτου καὶ ἀνταποδόσεως τῶν πεπραγμένων αὐτῷ, καὶ ὀρεγόμενος αὖθις δράξασθαι τοῦ οἰκουμενικοῦ θρόνου καὶ ἀναπληρῶσαι τὰ λείψανα τῶν κακῶν αὐτοῦ θελημάτων καὶ βουλευμάτων, μὴ γινωσκόντων ὅλως τὴν βουλὴν αὐτοῦ οὔτε τῶν ἀρχιερέων, οὔτε τῶν κληρικῶν, οὔτε τῶν ἀρχόντων καὶ τῶν λοιπῶν, καὶ εὑρὼν ὁμογνώμονας αὐτῷ ὀπαδοὺς καὶ συνηγόρους καὶ συνυπερασπιστάς, ὀνόματι μὲν χριστιανούς, πράγματι δὲ δοχεῖα κακίας ἁπάσης καὶ πονηρίας ἀνάμεστα, καὶ χρημάτων σωρὸν ἀναλύσας καὶ φθείρας, πολλοὺς τῶν χριστιανῶν γυμνοὺς ἀποκαταστήσας, εἰσεπήδησεν εἰς τὸν πατριαρχικὸν θρόνον λῃστρικῶς καὶ τυραννικῶς ὁ ἀσυνείδητος, καὶ παραυτίκα ἐθανάτωσε τὸν πατριάρχην αὐτὸν γέροντα κῦρ Κύριλλον θανάτῳ πικρῷ καὶ ἀσχήμονι, ὡς οἴδασι πάντες, πατριαρχεύσαντα

*

ἔν τε τῇ Ἀλεξανδρείᾳ καὶ Κωνσταντινουπόλει ὑπὲρ τοὺς τεσσαράκοντα χρόνους. Καὶ τούτῳ τῷ τρόπῳ ἀδείας τυχὼν ἤρξατο πράττειν τὰ πρῶτα τῶν κακῶν αὐτοῦ ἔργων καὶ ἐπιχειρημάτων καὶ τὰ χείριστα τούτων, τὸ πλεονεκτεῖν, τὸ ἀδικεῖν, τὸ ἐξωθεῖν ἀρχιερεῖς τῶν θρόνων αὐτῶν παρὰ πᾶσαν δικαιοσύνην καὶ νόμον ἐκκλησιαστικόν, τὸ θανάτους κατὰ ἀθῴων ἀνδρῶν καὶ ἀνεπιλήπτων μηχανᾶσθαι καὶ ἄλλα πολλὰ πράττειν καὶ βουλεύεσθαι καὶ κατατυραννεῖν πάντας ἱερεῖς τε καὶ λαϊκούς, ἁλύσεσι σιδηραῖς καὶ δεσμοῖς αὐτοὺς περιβάλλων ἐπὶ συναγωγῇ χρημάτων πολλῶν, εἰς τὸ πληροῦν τὰς κακὰς αὐτοῦ ὀρέξεις καὶ τὰ θελήματα. Οἱ γοῦν ἀρχιερεῖς οἱ παρευρεθέντες, ὁρῶντες ταῦτα τὰ ἀνοσιουργήματα αὐτοῦ παντελῆ φθορὰν καὶ ἐρήμωσιν τῆς Μεγάλης Ἐκκλησίας ἐπαπειλοῦντα καὶ τῶν μητροπόλεων καὶ πασῶν τῶν ἐκκλησιῶν, καὶ μὴ ἀνεχόμενοι φέρειν τὴν τοσαύτην φθορὰν καὶ ἀπώλειαν τῶν συναγομένων ἐπ' ὀνόματι τῆς Μεγάλης Ἐκκλησίας χρημάτων, διασκορπιζομένων καὶ καταφθειρομένων εἰς ἰδίας αὐτοῦ κακὰς ὀρέξεις ἐπὶ τῷ κρατεῖν μόνον τυραννικῶς τὸν οἰκουμενικὸν θρόνον καὶ κατεξουσιάζειν πάντων, ἐγνωμοδότησαν πάντες κοινῇ γνώμῃ κληρικῶν ἀρχόντων τῆς Πόλεως καὶ τῶν λοιπῶν ἐγκρίτων χριστιανῶν διὰ τόμου συνοδικοῦ καὶ ἀπεκατέστησαν ἐπιτρόπους τέσσαρας ἐγκρίτους τῶν ἀρχιερέων, ὡσαύτως κληρικῶν καὶ ἀρχόντων, τὸ μὲν διορθῶσαι αὐτὸν ἴσως, τὸν ἔξωθεν μὲν δορὰν προβάτου ἐνδεδυμένον καὶ κεκαλυμμένον τῷ ὑπούλῳ αὐτοῦ προσχήματι, ἔσωθεν δὲ γέμοντα πάσης κακίας πονηρίας τε καὶ πλεονεξίας, τὸ δὲ διοικεῖν καὶ φυλάττειν αὐτοὺς τὰ τῆς ἐκκλησίας δικαιώματα, εἰς τὸ μὴ καταναλίσκεσθαι παρ' ἐκείνου εἰς τόσους ἀνωφελεῖς καὶ ἀχρείους, ἀλλὰ δίδοσθαι εἰς τὰ τῆς Μεγάλης Ἐκκλησίας εὔλογα χρέη, βεβαιώσαντες ταῦτα πάντα ὅρκῳ εὐαγγελικῷ καὶ ἀφορισμῷ φρικώδει διαφυλαχθῆναι ἀπαρευσάλευτα. Ὁ δὲ καλὸς ἐκ Βερροίας, οἷα δοχεῖον σαπρὸν καὶ παραλελυμένον καὶ ὄργανον τοῦ Διαβόλου καὶ σεσηπὸς μέλος, μὴ ἔχων καταδαπανᾶν τοῦ λοιποῦ καὶ πληροῦν τὰς κακὰς αὐτοῦ ὀρέξεις καὶ ἀθέσμους ἐπιθυμίας καὶ τὰ διανοήματα, ἀδεῶς καὶ ἀφόβως κατεφρόνησε πάντων, ὑπὸ τοῦ διδασκά-

λου αὐτοῦ Διαβόλου κινούμενος, καὶ ἐνοσφίζετο καὶ συνελόντι εἰπεῖν ἔκλεπτεν ἀπὸ τῶν εἰσοδημάτων τῆς Μεγάλης Ἐκκλησίας καὶ κατεδαπάνα καὶ κατέφθειρεν ἐπὶ ἐπιβουλαῖς καὶ βλάβαις τῶν ἀρχιερέων· οἳ δὲ γνόντες τὴν κακίαν αὐτοῦ καὶ ἐπίβουλον γνώμην, πολλάκις νουθετήσαντες αὐτῷ τρόπῳ εἰρηνικῷ παύσασθαι τῆς ἁρπαγῆς, οὐκ ἠδυνήθησαν καταπεῖσαι καὶ σωφρονῆσαι τὸν ἀγνώμονα καὶ παραβάτην, ἐπὶ τὸ χεῖρον μᾶλλον ἡμέρᾳ τῇ ἡμέρᾳ προκόπτοντα. Τέλος, τὸ ἀμετάθετον τῆς πονηρᾶς καὶ σκληρᾶς καὶ διεφθαρμένης αὐτοῦ γνώμης ἰδόντες, ἤλεγξαν αὐτὸν παρρησίᾳ συνοδικῶς, καὶ λαβόντες λογαριασμὸν παρ' αὐτοῦ εὗρον ἐπ' αὐτῷ, ὡς οἰκείοις ὡμολόγησε χείλεσιν, ἐνενηκονταὲξ φορτία τῶν ἄσπρων, ἀρνησαμένῳ τὰ λοιπὰ μέχρι τῶν ἑκατὸν πεντήκοντα φορτίων ἄσπρων, ἀποδεδειγμένα ὄντα καὶ αὐτὰ διὰ καθαροῦ καταστίχου· ἐν δὲ τῷ ζητεῖν αὐτοὺς λογαριασμόν, δίκαιον κατὰ πάντα καὶ εὔλογον τυγχάνοντα, σκληρυνθεὶς αὐτὸς ὁ προβατόσχημος λύκος ἐκ Βερροίας, ἀπατηλῇ καὶ ἐπιπλάστῳ ὑποκρίσει χρησάμενος καὶ πολλὰ δαπανήσας ἀδίκῳ τρόπῳ καὶ παραλόγῳ χρήματα, ἐξώρισε τρεῖς τῶν ἀρχιερέων, ἕνα τῶν ἐκ τῶν τεσσάρων ἐγκρίτων καὶ πρώτων ἀρχιερέων καὶ ἐπιτρόπων, τὸν πανιερώτατον Ἰωαννίνων κῦρ Παρθένιον, καὶ δύο τῶν λοιπῶν, Σερρῶν κῦρ Δανιὴλ καὶ Βερροίας κῦρ Ἰωαννίκιον. Μέσον δὲ τούτου ἐπαναστραφέντος νικητοῦ καὶ τροπαιούχου τοῦ πολυχρονίου καὶ αὐτοκράτορος ἡμῶν βασιλέως, οἱ λοιποὶ ἀρχιερεῖς, οἱ ἀδίκως παρ' αὐτοῦ καὶ ἀναιτίως ἐξωσθέντες τῶν θρόνων αὐτῶν, ἐν τῷ ἐπανέρχεσθαι τῷ βασιλεῖ καθ' ὁδὸν ἀπαντήσαντες ἀναφορὰς δεδώκασι δηλοποιούσας τὰς κακίας αὐτοῦ, ἀδικίας καὶ τυραννίδας, καὶ ἡ βασιλεία πιστωθεῖσα εἰς φρουρὰν αὐτὸν ἐνέβαλε μέχρι τῆς ἀποδείξεως τῶν ἄσπρων ἐκείνων. Καὶ ἐν τῷ εἶναι αὐτὸν ἐν φυλακῇ, ἔφθασαν Θεοῦ ὁδηγίᾳ καὶ ἀπείρῳ εὐσπλαγχνίᾳ καὶ οἱ τρεῖς ἐξόριστοι ἀρχιερεῖς ἀπὸ τῆς ἐξουσίας· οἵτινες ἐπὶ κρίσεως βασιλικῆς στάντες μετὰ τῶν λοιπῶν ἀρχιερέων καὶ ἀγωγὴν κινήσαντες ἀπέδειξαν διὰ μαρτυρίας κληρικῶν καὶ ἀρχόντων εἰληφέναι αὐτὸν τὰ ἄσπρα ταῦτα, ἀρνούμενον καὶ μηδὲν ὁμολογοῦντα τὸ σύνολον, καὶ διὰ βασιλικοῦ χοντζε-

τίου ἐγράφησαν ἐπ' αὐτῷ πάντα. Καὶ ἡ βασιλεία δικαίως ὀργισθεῖσα αὐτὸν τὸν ἐν κακοῖς περιβόητον ἐκ Βερροίας Κύριλλον ἐξώσατο τοῦ πατριαρχικοῦ θρόνου καὶ τέλεον ἀπεδίωξε. Συμφωνίας οὖν γεγονυίας δι' ὅρκου εὐαγγελικοῦ ἔνδον τῆς Μεγάλης Ἐκκλησίας, καὶ φρικώδους ἀφορισμοῦ ἐκφωνηθέντος εἶναι πάντας κληρικοὺς ἱερεῖς ἄρχοντας καὶ λοιποὺς ἓν σῶμα μὴ ἔχειν αὐτὸν πλέον πατριάρχην, ἀλλ' ἕτερον ἐκλέξαι ψήφῳ κοινῇ νόμιμον πατριάρχην, τινὲς ἐκ τῶν ἀρχιερέων τῶν τὸν ὅρκον δεξαμένων, τοῦ ὅρκου καὶ τοῦ ἀφορισμοῦ καταφρονήσαντες μετὰ τρεῖς ἢ τέσσαρας ἡμέρας ἔκλιναν γόνυ τῇ Βάαλ, ἤτοι τῷ παρανόμῳ ἐκ Βερροίας, ἄφρονες καὶ ἀσύνετοι ὄντες, καὶ ὡμογνωμόνησαν ἐκείνῳ καὶ ὑπέσχοντο ὑπὲρ πᾶσαν ἀνθρωπίνην δύναμιν δοῦναι χρήματα, τάχα ἐπ' ἐλπίδι συστῆσαι αὐτὸν πατριάρχην πάλιν, καὶ ἐγένοντο αἴτιοι προφανεῖς οἱ ἀσυνείδητοι ἐπιφορτισθῆναι τῇ Μεγάλῃ Ἐκκλησίᾳ τὰ ἐνενηκονταὲξ ἐκεῖνα φορτία τῶν ἄσπρων. Ὅμως Θεοῦ προνοίᾳ ἡ βασιλεία εἰς οὐδὲν τοὺς λόγους ἐκείνων λογισαμένη, ἀπέβαλεν αὐτούς, ὑποσχεθέντων ἡμῶν πληρῶσαι τὰ ἀνωτέρω ὑποσχεθέντα ἐκείνοις χρήματα καὶ ἐκλέξαι πρόσωπον ἄξιον εἰς προστασίαν τοῦ οἰκουμενικοῦ θρόνου. Διὰ ταῦτα πάντα τοῦτον ἀσυνείδητον καὶ φθορέα καὶ λυμεῶνα φανέντα καὶ φονέα καὶ ἀποστάτην καὶ παραβάτην τῶν θείων νόμων τε καὶ κανόνων, τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν παντοίοις τρόποις ἔξω πάσης χριστιανικῆς καταστάσεως καὶ δικαιοσύνης πολιτευθέντα, ἔχομεν συνοδικῶς καθῃρημένον καὶ γεγυμνωμένον πάσης ἀρχιερατικῆς καὶ πατριαρχικῆς χάριτος, τιμῆς τε καὶ ἀξίας, καθῃρημένον ὄντα καὶ πρότερον ἅπαξ καὶ δὶς καὶ μὴ θελήσαντα κἂν διὰ ψιλοῦ λόγου ζητῆσαι παρὰ τῆς ἱερᾶς τῶν ἀρχιερέων συνόδου τὴν τῆς καθαιρέσεως αὐτοῦ λύσιν, μηδεμίαν ἀνάκλησιν ἔχοντα εἰς τὸν ἐξῆς ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ, πρὸς δὲ καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικον καὶ τοὺς ὁπωσδήπως αὐτῷ συνηγορῆσαι βοηθῆσαί τε καὶ ὑπερμαχῆσαι λόγῳ τε καὶ ἔργῳ, ἱερωμένους ἢ λαϊκούς, ἐπὶ - - - [1639][1].

[1] Λείπει τῆς πράξεως ταύτης ἡ ἀκολουθία.

27.

(Πρᾶξις ἐπὶ τῇ ἐκλογῇ Παρθενίου α' πατριάρχου Κωνσταντινουπόλεως) [1].

Τοῦ ἁγιωτάτου καὶ ὑψηλοτάτου καὶ οἰκουμενικοῦ πατριαρχικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως δίχα γνησίου καὶ νομίμου προστάτου καταλειφθέντος, ὡς τοῦ ἐν αὐτῷ παρανόμως καὶ ἐπιβατικῶς κατὰ παραχώρησιν Θεοῦ πατριαρχεύσαντος Κυρίλλου τοῦ ἐκ Βερροίας εὐλόγῳ καὶ νομίμῳ τρόπῳ καθαιρέσει τελείᾳ καθυποβληθέντος καὶ ἐξωσθέντος τοῦ πατριαρχικοῦ θρόνου, καθὰ ἀντικρὺ φαίνεται τὰ ἐγκλήματα αὐτοῦ ἐν τῇ κοινῇ συνοδικῇ καθαιρέσει κατ' εἶδος καὶ κεφαλαιωδῶς ἀπὸ τοῦ πρώτου ἕως τοῦ ἐσχάτου, ἡμεῖς οἱ καθευρεθέντες, συνελθόντες εἰς ἓν ἐν τῷ πατριαρχικῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἐποιήσαμεν ψήφους κανονικὰς διὰ τὸν πατριαρχικὸν τοῦτον θρόνον Κωνσταντινουπόλεως, ἐν αἷς πρῶτον μὲν ἐθέμεθα τὸν πανιερώτατον μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως, τὸν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν καὶ συλλειτουργὸν κῦρ Παρθένιον, ἔπειτα δὲ τὸν πανιερώτατον μητροπολίτην Νικαίας κῦρ Πορφύριον καὶ τρίτον τὸν πανιερώτατον μητροπολίτην Μολδοβλαχίας κῦρ Βαρλαάμ. Ὅθεν εἰς τὴν περὶ τούτου δήλωσιν κατεστρώθη τὰ ὀνόματα αὐτῶν ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἐν ἔτει ,αχλθ', μηνὶ ἰουλίῳ α', ἰνδ. ζ-ης [1639].

† Ὁ Ἐφέσου Μελέτιος.
† Ὁ Ἡρακλείας Ἰωαννίκιος.
† Ὁ Κυζίκου Ἄνθιμος.
† Ὁ Τορνόβου Μακάριος.
† Ὁ Χαλκηδόνος Παχώμιος.
† Ὁ Ἀμασείας Ἰεζεκιήλ.
† Ὁ Λαρίσσης Γρηγόριος.
† Ὁ Ἀθηνῶν Δανιήλ.
† Ὁ Παλαιῶν Πατρῶν Παρθένιος.
† Ὁ Ἰωαννίνων Παρθένιος.
† Ὁ Σερρῶν Δανιήλ.
† Ὁ Βερροίας Ἰωαννίκιος.
† Ὁ Καμπανίας - - -
† Ὁ Προύσης Χρύσανθος.
† Ὁ πρώην Σμύρνης Ἱερεμίας.

[1] Κῶδ. Μετοχίου 4, φ. 33. Καθηρέθη δὲ Παρθένιος οὗτος ὁ πρῶτος ἔτει 1644-ῳ, καθὰ δείκνυσιν ἡ τῆς καθαιρέσεως αὐτοῦ πρᾶξις, ἣν ἐξετύπωσε Μηνᾶς ὁ Χαμουδόπουλος. Ἐκκλησ. Ἀληθ. τ. III, σ. 35.

† Ὁ Ῥόδου Μελέτιος.
† Ὁ Φιλιππουπόλεως Γαβριήλ.
† Ὁ Δρύστας Ἀντώνιος.
† Ὁ Ἰκονίου Παρθένιος.
† Ὁ πρώην Χίου Ἰγνάτιος.
† Ὁ Διδυμοτείχου Δανιήλ.
† Ὁ Βιζύης Δαμασκηνός.
† Ὁ Μεσημβρίας Ἀκάκιος.
† Ὁ Μηδείας Νεόφυτος?
† Ὁ Σηλυβρίας Σωφρόνιος.
† Ὁ Αἰγίνης Μάξιμος?
† Ὁ Ἀγχιάλου Μητροφάνης.

28.

(Ἐπιτροπικὸν γράμμα Ἡσαΐου ἡγουμένου τῆς λαύρας τοῦ ἁγίου Σάβα) [1].

† Ἐπιτρεπόμενοι ἐπιτρέπουνται. Ἡσαΐας, εὐτελὴς ἱερομόναχος καὶ ἡγούμενος τῆς ἁγίας βασιλικῆς μεγάλης λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάβα τοῦ ἡγιασμένου, τῆς οὔσης ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, μετὰ τῆς συνάξεως αὐτοῦ, πρὸς τὸν τιμιώτατον ἱερομόναχον καὶ πνευματικὸν κῦρ Γαυριήλ, καὶ εἰς τὸν τιμιώτατον κῦρ ὁ δεῖνα καὶ κῦρ ὁ δεῖνα τῶν ἐκ τῆς Κρήτης, ὅπως νὰ ἔχουσιν παντοίαν ἐξουσίαν καθολικὴν ὡσὰν τὰ ἴδιά των σώματα εἰς τὸ νησὶν τῆς Κρήτης καὶ εἰς πᾶσαν ἄλλον τόπον ὁποῦ ἤθελαν εὑρεθῆν, νὰ ζητοῦν, νὰ περιλαμβάνουν τὰ ὅσα ἐκεῖνα ὁποῦ ἔχουν ἀφιτὰ εἰς τὸ ἄνωθεν μοναστήριον, ἢ καὶ ἄλλα ὁποῦ θέλουν ἀφήσειν τινὲς χριστιανοί· καὶ αὐτὰ ὅλα νὰ ζητοῦν νὰ περιλαμβάνουν εἰς τὸ χέριν τους, ὡς ἐπίτροποι καθολικοὶ τοῦ ἄνωθεν μοναστηρίου, μὲ τὸν καιρὸν ὁποῦ θέλουν τὰ ἔχειν ἀφιτά. Ἀκόμι θέλομεν νὰ ἔχουν παντοίαν ἐξουσίαν καθολικήν, ἐὰν εὑρεθῇ τινας χριστιανὸς καὶ δώσῃ διὰ τὸ μοναστήριον ἕναν μοναστήριον διὰ νὰ ποιήσωμεν μετόχιν εἰς τὴν Κρήτην, νὰ τὸ περιλαμβάνουν καὶ νὰ καθέζουντεν κοινοβιακῶς· καὶ διὰ τοῦτο θέλομεν νὰ ἔχουν παντοίαν ἐξουσίαν καθολικὴν εἰς πᾶσαν κρίσιν καὶ ὀφφίκιον ὁποῦ ἤθελαν εὑρεθῆν, νὰ ζητοῦν πᾶσα δικαίωμαν τοῦ ἄνωθεν μοναστηρίου, ὡς ἄνωθεν εἴρηται. Ἀκόμι

[1] Ἐκ τοῦ πρωτοτύπου· κῶδ. Σταυροῦ ἀριθ. 27, φ. 386β. — 15 κῶδ. ὧδε καὶ κατωτέρω *παντίαν*. — 16 κῶδ. *νησσὴν*. — 17 κῶδ. *εὑρεθεῖν*. — 19 κῶδ. *ἀφίσην*. — 22 κῶδ. *ἀφητά* — 23 κῶδ. *δόσει*. — 24 κῶδ. *ποιήσομεν*. — 25 οὕτως ὁ κῶδ. *καθέζουντεν*. — 27 κῶδ. *εὑρεθὴν*.

θέλομεν νὰ ἔχουν ἐξουσίαν νὰ ποιοῦν ἐπιτρόπους ὡς τὰ ἴδια σώματα καθολικά, νὰ γυρεύουν τὰ δικαιώματα τοῦ ἄνωθεν μοναστηρίου καὶ ν' ἀποβλέπουν καὶ τὸ ἄνωθεν μετόχι. — Καὶ διότι ἐκτυπήσαμεν τὸ σήμαντρον κατὰ τὴν συνήθειαν τοῦ μοναστηρίου, καὶ ἐσυνάχθηκαν ὅλοι οἱ γέροντες μετὰ τὸν καθηγούμενον εἰς τὸν τόπον τὸν συνηθικόν, καὶ ἐποιήσαμεν τὴν ῥηθεῖσαν ἐπιτροπικήν, καὶ διὰ τοῦτο θέλομεν ὅλοι μιᾷ βουλῇ καὶ γνώμῃ νὰ ἔναι στερεὰ ἡ ἄνωθεν ἐπιτροπικὴ εἰς ἅπασαν τόπον, ὁποῦ ἤθελεν εὑρεθῇ, ὡς ἄνωθεν εἴρηται· καὶ διὰ νὰ ἔναι πιστὴ καὶ βεβαία, τὴν ἔγραψεν ὁ ἄνωθεν καθηγούμενος μὲ τὸ ἴδιόν του χέριν, καὶ ἐβουλλώσαμέν την μὲ τὴν βούλλαν τοῦ ἄνωθεν μοναστηρίου. — Ἐγράφη ἐν Ἱερουσαλὴμ ἀπριλίου κε' τοῦ ,ζνη-ª [1550].

† Ἡσαΐας εὐτελὴς ἱερομόναχος καὶ ἡγούμενος τῆς ἁγίας καὶ βασιλικῆς μεγάλης λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου ἔγραψα τὰ ἄνωθεν μὲ τὸ ἴδιόν μου χέριν διὰ πίστωσιν ἀληθείας.

29.

Ἴσον ἀπαράλλακτον τοῦ συνοδικοῦ γράμματος, τοῦ δοθέντος τῷ ἁγίῳ ἀρχιμανδρίτῃ κυρίῳ Γερασίμῳ, διαλαμβάνον(τος) περὶ τῆς ἰσοβίου αὐτοῦ ἡγουμενείας εἰς τὸ μοναστήριον τοῦ τιμίου Σταυροῦ [2].

Διὰ τοῦ παρόντος ἡμῶν ἐνσφραγίστου καὶ ἐνυπογράφου συνοδικοῦ γράμματος γίνεται δῆλον, ὅτι κατὰ τὴν τοῦ μακαριωτάτου ἡμῶν δεσπότου καὶ πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Ἀθανασίου ἀπόφασιν ἀποκαθιστῶμεν ἡγούμενον ἐν τῇ ἱερᾷ μονῇ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ τὸν ὁσιώτατον ἅγιον ἀρχιμανδρίτην κύριον Γεράσιμον Γεωργιᾶνον, ᾧ τινι ἐδωρήθη ἡ ἡγουμενεία ἰσοβίως αὐτῷ, ὡς ζηλωτῇ, ἵνα οὕτω τῇ συνεχείᾳ ἐπαγάγῃ μόρφωσιν ἐπὶ τὸ κρεῖττον τῆς ἱερᾶς αὐτῆς μονῆς καὶ καλλωπισμὸν ἐσωτερικόν τε καὶ ἐξωτερικόν, ὡς φιλότιμος ἅμα καὶ φιλόκαλος κατὰ πάντα, μὴ ἔχων τὸ δικαίωμα λόγῳ ἐξόδων ἐπιζητεῖν ἐκ τοῦ Ἱε-

7 κῶδ. *μία βουλὴ*. — 8 κῶδ. *εὑρεθεῖν*. — 10 κῶδ. *χαίριν καὶ ἐβουλλόσαμεν*. — 15 κῶδ. *χαίρ(ιν)*.

[2] Ἐκ τοῦ κώδικος τῶν πρωτοσυγκέλλων, φ. 58.

ροῦ Κοινοῦ χρήματα οὐδὲ μέχρις ὀβολοῦ· καὶ ἐπὶ τούτῳ τῷ λόγῳ τὸ ἡγουμενεύειν ταύτης ἰσοβίως ἐχαρίσθη αὐτῷ ἄνευ τινὸς ἑτέρου προνομίου, ἢ ἰδιαιτέρου ἐπ' αὐτῆς δικαιώματος. Ὀφείλει τοίνυν ἡ αὐτοῦ πανοσιότης διαπραγματεύσασθαι τὸν ἐπὶ βελτιώσει τῆς ἱερᾶς ταύτης μονῆς πατριαρχικὸν σκοπὸν καὶ συνοδικὴν ἀπόφασιν, φυλάττων ἅμα ἀνελλιπῶς καὶ πάντα τἄλλα αὐτοῦ χρέη, καθὼς καὶ οἱ προηγουμενεύσαντες αὐτοῦ καὶ οἱ τῶν λοιπῶν μοναστηρίων ἡγούμενοι πρὸς τοὺς ἁγίους ἐπιτρόπους τῆς θειοτάτης αὐτοῦ μακαριότητος καὶ πρὸς τὴν ἁγίαν σύνοδον, παρ' ὧν κρίνεται καὶ ἀνακρίνεται, ἐλλιπὴς φαινόμενος τῶν καθηκόντων αὐτῷ καὶ τῆς ὀφειλομένης ὑποταγῆς, κατὰ τὴν γενομένην ταύτην συμφωνίαν καὶ αὐτοῦ ὑπόσχεσιν· ἐφ' ᾧ καὶ τὸ παρὸν ἡμῶν ἐγένετο καὶ ἐδόθη αὐτῷ· οὗ τὸ ἴσον κατέστρωται ἐν τῷ τῶν πρωτοσυγκέλλων ἱερῷ κώδικι. Ἐν Ἱερουσαλήμ, ,αωμα', αὐγούστου ιγ'.

(Ὑπογραφή). Ἐγὼ ὁ ἀρχιμανδρίτης Γεράσιμος ὑπόσχομε(-αι) τὰ ἄνωθεν.

30.

(Λουκᾶ οἰκουμενικοῦ πατριάρχου πρᾶξις ἐπὶ ἐκκλησιαστικοῖς ἀκινήτοις 1164)[1].

Μηνὶ φευρουαρίῳ ι', ἡμέρᾳ β', ἰνδικτιῶνος ιβ', προκαθημένου Λουκᾶ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς Κατηχουμενείοις, συνεδριαζόντων αὐτῷ ἀρχιερέων, τοῦ Κυζίκου, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Νεοκαισαρείας, τοῦ Μωκησοῦ, τοῦ Πατρῶν, τοῦ Τραϊανουπόλεως, τοῦ Ἀδριανουπόλεως, τοῦ Θηβῶν, τοῦ Αἴνου, τοῦ Ναζιανζοῦ, τοῦ Μιλήτου, τοῦ Παρίου καὶ τοῦ Κυψέλλων, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων, ὁ ἱερώτατος μητροπολίτης Ἡρακλείας Μιχαήλ, συνοδικῶς προκαθημένης τῆς ἡμῶν μετριότητος, ἤρετο σήμερον, εἰ χρὴ τὰς ἐπὶ δὶς εἴκοσιν ἑπτὰ ἐνιαυτοὺς ἐπὶ ἐκκλησιαστικοῖς ἀκινήτοις καὶ τὰς ἐπὶ ἐνθυρίοις εἴτε καὶ αὐτουργίοις γενομένας ἐκδόσεις κρατεῖν· ἐπιδέδωκε δὲ καὶ ἴσον συνοδικοῦ σημειώματος καὶ πρᾶξιν ἔγγραφον τοῦ Βλαχερνίτου Συ-

[1] Κῶδ. Κοσινίτζης 1, φ. υθ'.

μεών, ἐξ ἐντολῆς γεγονυῖαν τοῦ πραίτορος καὶ ἀναγραφέως Θρᾴκης Μακεδονίας Βολεροῦ Στρυμόνος καὶ Θεσσαλονίκης, τοῦ σεβαστοῦ ἐκείνου Ἰωάννου τοῦ Ταρωνίτου· ἐν ᾗ δὴ καὶ βασιλικὸν κατέστρωτο πρόσταγμα καὶ πατριαρχικὸν πιττάκιον ἀνετάττετο, καὶ ἔξωθεν δὲ ἕτερον ἐγκεχάρακτο πρόσταγμα, ἃ δὴ πάντα καὶ κατωτέρω καταστρωθήσεται. Ὡς οὖν τὰ τοιαῦτα ἔγγραφα εἰς ἐπήκοον ἀνεγνώσθησαν, ὁ μητροπολίτης "εἰ χρὴ ταῦτα κρατεῖν καὶ εἰ αἱ παρὰ τὴν τούτων περίληψιν γεγονυῖαι ἐκδόσεις πρός τινας ὀφείλουσιν ἔχειν τὸ ἐνεργόν" καὶ αὖθις ἐπύθετο. Ἡ τοίνυν μετριότης ἡμῶν συνάμα τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι τῶν εἰρημένων ἀκροασαμένων γραφῶν, καὶ ταύταις ὡς νομίμως καὶ καλῶς συντεθειμέναις ἀκολουθήσασα σχολὴν τελείαν κατεψηφίσατο τῶν ἐπὶ τοῖς ἐκκλησιαστικοῖς ἀκινήτοις ἐκδόσεων, ὅσαι τε ἐπὶ προσώποις γεγόνασιν, ὅσαι ἐπὶ ἐνθυρίοις εἴτε καὶ αὐτουργίοις προέβησαν, ὁποῖα ἂν καὶ εἴη τὰ ἐκλαμβανόμενα ταῦτα πρόσωπα.

Τὰ δηλωθέντα προστάγματα καὶ γράμματα εἰάθησαν ὡς πολύστιχα· δήλη δὲ καὶ ἡ τούτων περίληψις ἀπὸ τοῦ ἀναταττομένου σημειώματος· ὁ δὲ καὶ ταῦτα ζητῶν εὑρήσει [ἐν] τῷ βιβλίῳ τῆς πατριαρχικῆς βιβλιοθήκης [τῷ] βαμβικίνῳ.

31.

(Λουκᾶ οἰκουμενικοῦ πατριάρχου πρᾶξις ἐπὶ μονῇ δυσὶ προσώποις δωρηθείσῃ 1169) [1].

Μηνὶ νοεμβρίῳ ιθ', ἡμέρᾳ δ', ἰνδικτιῶνος γ', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου κυροῦ Λουκᾶ ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς Κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Μελιτηνῆς, τοῦ Κλαυδιουπόλεως, τοῦ Νεοκαισαρείας, τοῦ Ἰκονίου, τοῦ Συλαίου, τοῦ Μωκησοῦ, τοῦ Κρήτης, τοῦ Ἱεραπόλεως, τοῦ Ἀλανίας, τοῦ Ἀπαμείας, τοῦ Δρύστρας, τοῦ Ναζιανζοῦ, τοῦ Μιλήτου, τοῦ Σηλυβρίας, τοῦ Βιζύης, τοῦ Λήμνης καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ θεοφιλε-

[1] Κῶδ. Κοσινίτζης 1, φ. υθ'.

στάτων δεσποτικῶν ἀρχόντων, ὁ ἱερώτατος μητροπολίτης Νικομηδείας ἀνήνεγκε, συνοδικῶς προκαθημένης τῆς ἡμῶν μετριότητος, ὅτι τις τῶν ἀρχιερέων μονὴν ἀνδρῴαν τῇ κατ' αὐτὸν μητροπόλει ἀνήκουσαν ἐπὶ δυσὶ προσώποις τινὶ ἐδωρήσατο, ὁ δὲ τὴν δωρεὰν λαβὼν εἰς προῖκα τῆς ἰδίας αὐτοῦ θυγατρὸς τὴν τοιαύτην μονὴν κατεγράψατο· καὶ ἐζήτησε μαθεῖν, εἴπερ ἡ τοιαύτη παραπομπὴ ἔννομός ἐστι καὶ κανονική, καὶ ἤκουσεν ἀπὸ τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς ἀδελφότητος ἀκανόνιστον εἶναι τὴν τοιαύτην παραπομπήν, διὰ τὸ μὴ ἐφειμένον εἶναι ἀνδρῴαν μονὴν εἰς γυναικεῖα παραπέμπεσθαι πρόσωπα, καὶ διὰ τὸ τοὺς θείους κανόνας καὶ νόμους ἀπαγορεύειν τὰ θεῖα σεμνεῖα καὶ ἱερὰ φροντιστήρια εἰς προῖκα δίδοσθαί τε καὶ γράφεσθαι: ταῦτα παρεκβληθέντα:

32.

(Λουκᾶ πατριάρχου οἰκουμενικοῦ λείψανον πράξεως περὶ ἐγγράφων δωρεῶν ἀκινήτων καὶ ἐμφυτεύσεων) [1].

Ψηφίσματός τινος κατὰ θείαν καὶ βασιλικὴν πρόσταξιν ἐκτεθέντος παρὰ τοῦ μεγαλεπιφανεστάτου κουροπαλάτου καὶ κοιαίστορος Βασιλείου τοῦ Πεκούλη ἐπὶ ἐρωτήσεσι διαφόροις παρὰ τοῦ νῦν ἱερωτάτου Σίδης μητροπολίτου προβάσαις περί τε δωρεῶν ἀκινήτων τινῶν ἐκδόσεων καὶ ἐμφυτεύσεων, ναὶ μὴν ἀλλὰ καὶ τυπικῶν ἐκδόσεων ἐτησίων παρὰ τοῦ πρὸ αὐτοῦ μητροπολίτου, τοῦ ἀποιχομένου ἐκείνου Θεοδοσίου, γεγενημένων, εἰς ἐπήκοον τῆς τε ἡμῶν μετριότητος καὶ τῶν συνεδριαζόντων αὐτῇ ἱερωτάτων ἀρχιερέων ἀναγνωσθέντων τὴν σήμερον, ὁ δηλωθεὶς οὗτος μητροπολίτης Σίδης Νικήτας ἐζήτησε καὶ ἡμετέραν γνώμην ἐπὶ τοῖς ψηφισθεῖσιν ἐξενεχθῆναι. Τοίνυν καὶ διεγνώσθη ἡμῖν, τὰ μὲν ἐπὶ δωρεαῖς προαστείων ἢ οἰκημάτων συνισταμένων ἐκτεθέντα ἔγγραφα πρός τινας παρ' ἐκείνου ἀντ' οὐδενὸς λογισθῆναι, διὰ τὸ μήτε θείοις νόμοις μήτε μὴν ἱεροῖς κανόσιν ἐπιγινώσκεσθαι, δόσεων δὲ ἐτησίων τυπώσεις, εἴτε διὰ τὸ ἐκείνων παντάπορον, εἴτε μὴν διὰ

[1] Αὐτόθι, φ. υθ[κ].

τὸ ἐπί τισι δουλείαις τῆς μητροπόλεως ἢ καὶ αὐτοῦ τυχὸν τοῦ μητροπολίτου, συμβαλέσθαι αὐτάς· ἀλλὰ καὶ ἐκδόσεις ἐρειποτοπίων καιρικάς τε καὶ οὐ διηνεκεῖς, ἀσυντελῶν τῇ μητροπόλει παντάπασιν, (αἵπερ) ἐπὶ ἐτησίᾳ καὶ αὗται δόσει κατὰ τὴν τῶν θείων νόμων περίληψιν ἐξετέθησαν, οὕμενουν ταύτας ἀθετηθῆναι γινώσκομεν.

33.

(Μιχαὴλ τοῦ Ἀγχιάλου) τόμος τῆς πρὸς τὸν βασιλέα κύριν Μανουὴλ ἐγγραφῆς τῶν τότε ἀρχιερέων [1].

Μηνὶ μαρτίῳ κδ', ἡμέρᾳ δ', ἰνδικτιῶνος δ', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Μιχαὴλ ἐν τοῖς δεξιοῖς Ἀλεξιακοῖς Κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, Στεφάνου Καισαρείας, Νικολάου Ἐφέσου, Κωνσταντίνου Χαλκηδόνος, Νικήτα Μελιτηνῆς, Ἰωάννου Κλαυδιουπόλεως, Βασιλείου Νεοκαισαρείας, Λουκᾶ Μωκησοῦ, Ἰωάννου Κρήτης, Πόθου Μυτιλήνης, Ἐπιφανίου Φιλίππων, Κωνσταντίνου Εὐχαΐτων, Μιχαὴλ Ῥωσίας, Βασιλείου Μαδύτων, Λέοντος Δρίστρας, Θεοδώρου Μηθύμνης, Βασιλείου Μεσημβρίας, Θεοδούλου Σηλυβρίας, Νικήτα Μαρωνείας, Βασιλείου Παρίου, Μιχαὴλ Κίου, Ἰωάννου Κυψέλλων, Δημητρίου Νίκης, Κωνσταντίνου Βρύσεως καὶ Μιχαὴλ Δέρκου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Θεὸν ὀρθῶς σέβεσθαι, μετὰ δὲ καὶ βασιλέα τιμᾶν καὶ εἰλικρινῆ πίστιν φυλάττειν πρὸς ἄμφω πάντας τοὺς εὐσεβεῖν βουλομένους, νόμος ἀνθρώποις ἅπασιν εὐσεβοῦσι περὶ τὸ θεῖον ὡς ἀναγκαῖος πρόπαλαι τέθειται· δυοῖν γὰρ ὄντοιν τούτοιν πάσης ὑπερ-

[1] Κῶδ. Πατριαρχ. ἐν Καΐρῳ, ἀριθ. παλ. 911 XIV ἑκατ., φ. 387β - 391α. Κῶδ. Κοσινίτζης 1, φ. υη'. Τοῦ δὲ τόμου τούτου μέμνηται σημείωμα κανονικὸν ἔχον οὕτως· «Ὅμοιος (τόμος) ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ, ὃς μετὰ τῶν ἐν τέλει καὶ τοῦ τηνικαῦτα πατριάρχου τῆς ὑπ' αὐτὸν συνόδου ἐγένετο, ἀναθεματίζων τοὺς ἐπιβουλὴν ἢ ἐπανάστασιν κατὰ τοῦ υἱοῦ αὐτοῦ Ἀλεξίου βουληθέντας ἐπιχειρῆσαι καὶ τοὺς αὐτοῖς συναιρομένους». Harmenopuli nanuale legum, ἐκδ. Heimbach, σ. 822. — 9 κῶδ. Κοσ. *Μαδύτου*. — 12 κῶδ. Κοσ. *Νήκης*. — 17 κώδικες *ἀναγκαίως*.

κειμένοιν ἀνθρωπίνης τιμῆς, ἐν ἴσῳ κεῖται πάντως ἡ τῆς ὀφειλομένης περὶ ταῦτα πίστεως ἐντολή· (ὡς) ὁ γὰρ Θεὸς ἐν οὐρανῷ καὶ ἐν ἅπασι, τοῦτο ἐπὶ γῆς μετὰ Θεὸν ἐν τοῖς ὑπὸ τὴν αὐτοῦ ἐπικράτειαν τὸ βασιλικὸν ὕψος τε καὶ ἀξίωμα· καὶ ὃν τρόπον ὁ τὴν περὶ τὸ θεῖον πίστιν ἀπαρνησάμενος τῆς τῶν ὀρθοδόξων ὁμηγύρεως ἐξωστράκισται, τὸν αὐτὸν καὶ ὁ τὴν πρὸς τὸ βασίλειον κράτος πίστιν ἐξομοσάμενος, καὶ (ὁ) δολερῶς καὶ ὑπούλως πρὸς αὐτὸ διακείμενος ἀνάξιος ἡμῖν δοκεῖ καὶ ἀπὸ Χριστοῦ κεκλῆσθαι καὶ ὀνομάζεσθαι, εἴπερ δὴ χριστὸς Κυρίου καὶ ὁ τὸ στέφος τοῦ κράτους καὶ τὸ διάδημα περικείμενος. Ἐπεὶ οὖν ταῦτ' ἔχει (οὕτως) καὶ ἀπαραίτητον χρέος ἕκαστος ἔχομεν ἔνθεον πίστιν καὶ πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα φυλάττειν διὰ παντός, ἴσως μὲν οὐδὲ προτροπῆς ἐγγράφου τὸ ῥηθησόμενον εὐγνώμοσιν ὑπηκόοις ἄξιον ἔδοξε πώποτε· τίς γὰρ ἂν ἄλλως καθ' ἑαυτὸν ἐνδοιάσειε καὶ γραφῇ καὶ λόγῳ καὶ ἔργῳ καθομολογεῖν τε καὶ ἀσφαλίζεσθαι, ὡς οὐκ ἄν ποτε ἐναντιωθείη τοῖς τανῦν δεδογμένοις τῷ θεοφρουρήτῳ ἡμῶν αὐτοκράτορι, ἐπ' εὐνομίᾳ καὶ συντηρήσει καὶ φυλακῇ τῆς ῥωμαϊκῆς ἡμῶν πολιτείας, πρὸς δὲ καὶ τῆς ἐκκλησιαστικῆς ὀρθοτομίας καὶ καταστάσεως; ὅμως δὲ τὸ καλὸν ἐπισκευάζοντες ἰσχυρότερον, συνοδικῶς τὰ παρόντα διατιθέμεθα· ἐφ' ᾧ καὶ διοριζόμεθα τοῦ λοιποῦ πάντας τοὺς εἰς ἀρχιερωσύνης ὕψος ἀνάγεσθαι μέλλοντας, ἁγιωτάτους τε φαμὲν πατριάρχας, ἱερωτάτους μητροπολίτας, πρὸς δὲ τούτοις καὶ θεοφιλεστάτους ἀρχιεπισκόπους καὶ ἐπισκόπους, τὴν αὐτὴν διδόναι ἀσφάλειαν καὶ περὶ τῆς εἰς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα εἰλικρινεστάτης πίστεως, ἣν καὶ περὶ τοῦ κατ' αὐτὸν ὀρθοδόξου φρονήματος ἕκαστος δίδωσι, καὶ μὴ ἄλλως ἀρχιερατικῆς χειροθεσίας καταξιοῦσθαι, εἰ μὴ κατάθηται πρότερον στοιχεῖν καὶ αὐτὸς ταῖς ἐν τῷ χθές που καὶ πρότριτα συντεθέντι ὁρκωμοτικῷ ἀναταττομέναις κατὰ ῥητὸν διαστίξεσι, ταῖς καὶ ἐχούσαις οὕτως ἐπὶ τῶν λέξων: «Ὁμολογῶ διὰ τῆς παρούσης

2 προσέθηκα τὸ *ὡς*, κατόπι τὸ *ὁ* καὶ τὸ *οὕτως*. — 9 κῶδ. Καΐρου. *χρηστος*. — 14 κῶδ. Καΐρου *ἄλλως*. — 29 κῶδ. Καΐρου *καταρητὸν*.

μου ἐγγραφῆς, ἵνα φυλάσσω πρὸς σὲ τὸν κραταιὸν καὶ ἅγιόν μου αὐτοκράτορα, τὸν βασιλέα καὶ πορφυρογέννητον κῦριν Μανουὴλ τὸν Κομνηνόν, καθαρὰν πίστιν καὶ εὔνοιαν, καθὰ χρεωστῶ τοῦτο ἀπὸ φυσικοῦ καὶ νομίμου χρέους, καὶ ἵνα ὑπάρχω εἰς τὸν ὁρισμὸν καὶ τὸ θέλημα καὶ τὸ πρόσταγμα τῆς ἁγίας βασιλείας σου κατὰ παντὸς ἀνθρώπου ἐναντιουμένου τῷ παρόντι ὅρκῳ. Εἰ δὲ συμβῇ τὸ κοινὸν τῶν ἀνθρώπων ἀποδοῦναί σε χρέος, ἵνα ἔχω ἀπ' ἐντεῦθεν, χωρὶς ἀμφιβολίας οἱασδήτινος ἢ χρείας ἑτέρου ὅρκου, τὸν περιπόθητον υἱὸν τῆς ἁγίας βασιλείας σου, τὸν περιφανέστατον πορφυρογέννητον καὶ βασιλέα κῦριν Ἀλέξιον αὐτοκράτορα βασιλέα ἀντὶ σοῦ, καὶ φυλάσσω καὶ ἐπ' αὐτῷ τὴν αὐτὴν καθαρὰν πίστιν καὶ εὔνοιαν. Ἐὰν δὲ συμβῇ σου τελευτήσαντος ἄνηβον ἔτι εἶναι τὸν αὐτὸν περιπόθητον υἱὸν τῆς βασιλείας σου κῦριν Ἀλέξιον καὶ μὴ φθάσαι τὸν ἑξκαιδέκατον χρόνον, πρὸς αὐτὸν μὲν ἵνα φυλάσσω καθαρὰν πίστιν καὶ εὔνοιαν, σῳζομένης δὲ τῆς πρὸς αὐτὸν πίστεως καὶ εὐνοίας μου καὶ τῆς τιμῆς τῆς βασιλείας σου, ἵνα ὑπάρχω εἰς τὸ θέλημα καὶ τὸ πρόσταγμα τῆς περιποθήτου αὐγούστας τῆς ἁγίας βασιλείας σου κυρᾶς Μαρίας, εἴπερ τὴν μοναχικὴν στολὴν φορέσει καὶ ἀποκαρῇ ἀπ' ἐντεῦθεν κανονικῶς καὶ φυλάσσει τὴν τιμὴν τῆς βασιλείας σου καὶ τοῦ υἱοῦ αὐτῆς, μέχρις ἂν οὗτος φθάσῃ εἰς τὸν ἑξκαιδέκατον χρόνον. Ἐὰν δὲ ὁ τοιοῦτος υἱὸς τῆς βασιλείας σου, ἔτι ζώσης τῆς βασιλείας σου ἢ καὶ μετὰ ταῦτα, ἅπαις παρέλθῃ καὶ ὕπεστι τῇ βασιλείᾳ σου ἕτερον ἄρρεν παιδίον, ἵνα ἔχω αὐτὸ βασιλέα αὐτοκράτορα, κἂν οὐκ ἔφθασε στεφθῆναι, καὶ σπουδάζω ἀποκαταστῆναι αὐτὸ εἰς τὸ στέμμα τῆς βασιλείας ταύτης τῶν Ῥωμαίων, καὶ φυλάσσω καὶ ἐπ' αὐτῷ ὁμοίως τὴν αὐτὴν γνησίαν πίστιν καὶ εὔνοιαν μετὰ τῆς αὐτῆς διαστίξεως, τῆς ἐπὶ τῇ δηλωθείσῃ αὐγούστῃ τῆς ἁγίας βασιλείας σου καὶ μητρὸς αὐτοῦ. Ἐὰν δὲ ἡ αὐτὴ περιπόθητος αὐγούστα τῆς ἁγίας βασιλείας του οὐκ ἐν τοῖς ζῶσι τότε ἐστίν, ἢ οὐχ οὕτω διάγει, ἀπὸ τοῦ χρέους μὲν τοῦ εἶναι εἰς τὸ θέλημα καὶ τὸ πρόσταγμα αὐτῆς ὀφείλω εἶναι ἐλεύθερος, ἵνα δὲ φυλάσσω τὴν πρὸς τὸν

23 κῶδ. Κοσ. *παρέλθαι.*

αὐτὸν υἱὸν αὐτῆς πίστιν καὶ εὔνοιαν καθαρὰν καὶ ὑπάρχω τῆς αὐτῆς βουλῆς καὶ τοῦ θελήματος τῶν ἀνθρώπων τῆς βασιλείας σου, οἷς μέλλει ἐπιτρέψαι ἡ βασιλεία σου τὴν οἰκονομίαν καὶ ἀναγωγὴν τοῦ ῥηθέντος περιφανεστάτου πορφυρογεννήτου. Ἐὰν δὲ καὶ οἱ τοιοῦτοι ἐπιλείψωσιν, ἵνα ὑπάρχω τῆς αὐτῆς βουλῆς καὶ τοῦ θελήματος τῶν μελλόντων τηνικαῦτα ἀπὸ κοινῆς βουλῆς προκριθῆναι ἑτέρων ἀνθρώπων εἰς ἀναπλήρωσιν τοῦ τόπου τῶν δηλωθέντων, σπουδάζω δὲ ἐπὶ πᾶσι παντοίως εἰς τὰ συμφέροντα τῇ τιμῇ τοῦ περιποθήτου σου υἱοῦ καὶ τῆς Ῥωμανίας, κατὰ τὸν ἔγγραφον ἢ ἄγραφον ὁρισμὸν καὶ τὸ θέλημα καὶ τὸ πρόσταγμα τῆς βασιλείας σου. Εἰ δὲ συμβῇ σου τελευτήσαντος μήτε τὸν υἱόν σου τὸν βασιλέα καὶ περιφανέστατον πορφυρογέννητον κῦριν Ἀλέξιον περιεῖναι, μήτε ἕτερον ἄρρενα παῖδα τῆς βασιλείας σου, ἵνα ὑπάρχω εἰς τὸν ὁρισμὸν καὶ τὸ θέλημα καὶ τὸ πρόσταγμα τῆς βασιλείας σου, καὶ ποιήσω καθὼς ἂν διορίσηται ἡ βασιλεία σου ἐγγράφως ἢ ἀγράφως, ἢ περὶ τῆς περιποθήτου σου θυγατρός, τῆς περιφανεστάτης κυρᾶς Μαρίας, τῆς νῦν περιούσης καὶ τοῦ μέλλοντος συζευχθῆναι αὐτῇ νομίμῳ γάμῳ—εἴπερ ἐνταῦθα μέλλει εἶναι σὺν αὐτῇ καὶ κρατεῖν Ῥωμαϊκὴν διαγωγὴν καὶ ἐκκλησιαστικὴν κατάστασιν, καθὰ καὶ ἡ βασιλεία σου,—ἢ περὶ ἑτέρας θυγατρὸς τῆς βασιλείας σου, ἐὰν περίεστί σοι, ἢ περὶ ἄλλης τινὸς οἰκονομίας ὁρισθησομένης παρὰ τῆς βασιλείας σου. Ἐὰν δὲ ἐπί τισι τῶν δηλωθέντων κεφαλαίων δισταγμὸς οἷος δή τις ἢ ἀμφιβολία ἐπιγένηταί μοι, ἀπ' ἐντεῦθεν ἵνα σπουδάζω ἀναφέρειν τὰ περὶ τούτου, καὶ οὕτως ἵνα ἀπευθύνω ἐμαυτὸν εἰς τὴν περὶ τούτων ἑρμηνείαν καὶ τὸν ὁρισμὸν τῆς βασιλείας σου καὶ ποιῶ κατ' αὐτά. Καὶ ὡς φυλάξω ταῦτα πάντα, ἅπερ ὁμολογῶ διὰ τῆς παρούσης μου ἐγγραφῆς, σῶα καὶ ἀπαράθραυστα, ἐκτὸς δόλου καὶ πάσης περινοίας ἢ παρερμηνείας τινός, οὕτως εἴη μοι καὶ τὸ θεῖον ἵλεων». Εἶχε τὸ μηνὶ μαρτίῳ, ἰνδικτιῶνος δ', ἔτους ,ςχοθ' [1171].

Ἡ ὑπογραφή.

8 κῶδ. Καΐρου. *πουδάσαι.* — 10 *καὶ τὸ θέλ. καὶ τὸ πρόσυαγμα* λείπουσι τῷ κώδ. Καΐρου. — 20 Κοσ. *καθὼς.* — 27 Καΐρ. *ἐπιγραφῆς.*

Μιχαὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εἰς τοὺς αἰῶνας! οὐ ψεύδομαι ἐγγραφόμενος καὶ ὁμολογῶν διὰ τῆς παρούσης μου γραφῆς φυλάσσειν ἀναλλοίωτον καὶ ἀπαράθραυστον τὸν ἀναγεγραμμένον ὅρκον κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν καὶ περίληψιν, δίχα δόλου καὶ περινοίας ἢ παρερμηνείας τινός.

34.

(Γεωργίου τοῦ Ξιφιλίνου, οἰκουμενικοῦ πατριάρχου, λείψανον πράξεως περὶ τῆς ἐπισκοπῆς Κασσανδρείας) [1].

Γεώργιος ἐλεῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως κτλ.

- - - Ἀλλὰ καὶ Μωσῆς ὁ δημαγωγὸς ἐφιστᾷ μὲν τῷ λαῷ καὶ χιλιάρχους καὶ ἑκατοντάρχους τοὺς κρίνοντας, πλὴν εἴ τι ῥῆμα ὑπέρογκον καὶ Μωσαϊκῆς δεόμενον ἐπικρίσεως, πάλιν πρὸς αὐτὸν ἀνεφέρετο κἀκεῖθεν τὸ τέλος καὶ τὴν σύμβασιν ἀπελάμβανεν. Οὕτω καὶ ὁ τῆς καθ' ἡμᾶς ἱεραρχίας θεσμὸς καὶ τοὺς ἐπισκοποῦντας μὲν ταῖς ἑκασταχοῦ τῆς οἰκουμένης ἁγιωτάταις ἐκκλησίαις ἐφίστησι καὶ δίδωσι τοὺς κηδεμόνας τῷ ἐκ Χριστοῦ παρονομαζομένῳ πληρώματι, καὶ ἀρχιεπισκόποις καὶ ἐπισκόποις πιστεύεται τοὺς πιστεύοντας· δίκαιον δ' ἂν εἴη πάντως, εἴ τί που ταῖς ἐκκλησίαις σκανδαλοποιὸν ἐγγίνεται καὶ ἀμφίμαχον καὶ τὴν τοῦ ἐπισκόπου ὑπερβαῖνον ἐπίκρισιν, τῇ καθ' ἡμᾶς οἰκουμενικῇ συνόδῳ τοῦτο ἀναφέρεσθαι, ὡς ἂν ἐντεῦθεν γένοιτό τις συνασπισμὸς καὶ οὕτως ἅπαν σκάνδαλον ἀπελαύνοιτο· ἐπεὶ καὶ ἄλλως ποιμένι ἂν προσέλθῃ ποιμήν, εἴ τινα θῆρα τῇ ποίμνῃ καθορᾷ ἐπωρυόμενον ὅς, κἂν μὴ διὰ τῆς αὐτοῦ ῥάβδου δύναιτο τῆς ποίμνης ἐκσοβεῖν τὸ ἐπίβουλον, τὴν βακτηρίαν προσλήψοιτο τοῦ συμποίμενος καὶ κατενέγκοι βαρυτέραν πληγὴν τῷ συλλαγωγεῖν σπεύδοντι τὸ ποίμνιον.

[1] Κῶδ. Κοσινίτζης ἀριθ. 1, φ. υις', ἔνθα καὶ ἐπιγραφὴ τοιαύτη· «Ὑπομνήματα πατριαρχικὰ περὶ τοῦ μὴ ἔχειν δίκαια ἀρχιερατικὰ ἐν ταῖς κατὰ τόπον κτήσεσι τῶν πατριαρχικῶν μονῶν τοὺς πατριάρχας, ἀλλὰ τοὺς κατὰ χώραν ἀρχιερεῖς». Ἀλλ' ἐκτὸς τούτου τοῦ λειψάνου οὐδὲν ἕτερον ἐν τῷ κώδικι γέγραπται συνοδικὸν ὑπόμνημα, τοῦ καλλιγράφου στήλην ἀφέντος ἄγραφον ἡμίσειαν καὶ σελίδας τινὰς (υιζ'—υκς') παντάπασιν ἀγράφους.

Ὥστε τίνες ἂν εἴημεν, εἰ μηδὲ τοὺς ποιμένας ζηλοίημεν, μηδὲ προσβοηθείημεν τοῖς συμποίμεσι, τῆς ἐξ ἡμῶν συνάρσεως χρήζουσιν, ὁποίας καὶ Ἀδὰμ τὸν θεοφιλέστατον ἐπίσκοπον Κασσανδρείας καὶ Βρυῶν κατενοήσαμεν δέεσθαι; Ἐπεὶ γὰρ ὁ τῆς κατ' αὐτὸν ἁγιωτάτης ἐπισκοπῆς Κασσανδρείας περίχωρος τῇ κατὰ τὴν μεγαλόπολιν σεβασμίᾳ τοῦ Εὐεργέτου Χριστοῦ κατὰ δεσποτείαν διαφέρει μονῇ καὶ οἱ τὴν τῶν ἐποίκων εἴσπραξιν ἐνεργήσοντες ἐκεῖσε κατὰ καιροὺς ἀποστέλλονται, οὐκ ὀλίγα δρῶσιν, ὡς περιηχήθημεν, ἐπὶ τῇ ἐνορίᾳ τῆς τοιαύτης ἐπισκοπῆς - - -

35.

(Γερμανοῦ β', οἰκουμενικοῦ πατριάρχου, συνοδικὴ πρᾶξις περὶ τῆς μητροπόλεως Μελιτηνῆς 1226) [1].

Μηνὶ φευρουρίῳ ς', ἡμέρᾳ ς', ἰνδικτιῶνος ιδ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γερμανοῦ, ἐν τοῖς κατὰ τὴν ἁγιωτάτην μητρόπολιν Νικαίας κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Νικομηδείας Νικηφόρου, τοῦ Μελιτηνῆς Μανουήλ, τοῦ Λαοδικείας Θεοδώρου, τοῦ Ἀλανίας Θεοδώρου καὶ τοῦ Λοπαδίου Ἀγαπητοῦ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Τιμᾶται μὲν ἁπαξαπλῶς ἐν ἅπασιν ἡ ἀκρίβεια, πολλῷ δὲ πλέον ἐν οἷς παράδοσις ἐκκλησιαστική, ἔγγραφός τε καὶ ἄγραφος, τὸ ποιητέον καὶ μὴ προϋπέθετο φθάσασα· οὐ μὴν οὐδ' ὁ τῆς οἰκονομίας ἀτιμάζεται λόγος ἔνθα μικρὸν ὑπενδόντας τοῦ ἀκριβοῦς ἢ ζημίαν ἐστὶ ψυχῶν ἐπικινδυνευομένων ἐξ ἀκριβείας ἀνακαλέσασθαι, ἢ τὴν μὴ τέως ὑποῦσαν ὠφέλειαν κατακτήσασθαι. Καὶ τοῦτο εὑρήσει τις ἐξετάζων ἐν οὐκ ὀλίγαις πράξεσι τῶν ἄνω πατέρων ἁγίων, ὧν τινες, τῶν πράξεων δηλαδή, κἂν τοῖς ἱεροῖς ἡμῶν κανόσιν ἀνάγραπτοι φέρωνται, - - - ἵν' ὀλίγων τινῶν ὁ λόγος ἐπιμνησθῇ πρὸς σύστασιν ἑαυτοῦ. Ὁ μέγας μὲν γὰρ αὐτίκα Βα-

[1] Κῶδ. Κοσ. 1, φ. τμη', ἔνθα καὶ ἐπιγραφὴ τοιαύτη· «Ἔτι σημείωσαι καὶ ταῦτα τὰ πατριαρχικὰ σημειώματα περὶ μεταθέσεως διαλαμβάνοντα».

σίλειος ἐκκλησιῶν ἐπισκοπικὰ μετατίθησι ὅρια καὶ τὸν τῆς Μισθείας ἀγρόν, τὰ Μίνδανα, φέρων ὑποτίθησι τῇ Μασάδων, μηδὲν αὐτῇ προσήκοντα τὴν ἀρχήν, καὶ τοῦτο τῷ ἁγίῳ διῳκονόμηται ὑπὲρ τοῦ τὸν κτήτορα τοῦ ἀγροῦ Λογγῖνον — οὕτω γὰρ ἐκεῖνος ὠνόμαστο—"μὴ ἐρημῶσαι τὴν ἐκκλησίαν" φησί, "μηδὲ τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς ἀργίας καταδικάσαι", ἵν' αὐτοῖς τοῖς τοῦ κανόνος χρησαίμεθα ῥήμασι, καὶ τὸν πρεσβύτερον δὲ ἅμα Κυριακὸν εὐορκῆσαι τῷ ἀγρῷ παραμένοντα, καθὼς περ ἄρα καὶ προληφθεὶς ὑπὸ τοῦ ἐπισκόπου Σεβήρου ὁμώμοκεν. Ἓν μὲν δὴ τοῦτο πάλαι οἰκονομικώτερον διαπέπρακται· δεύτερον δὲ τὸ κατὰ τὸν Εὐστάθιον ἐκεῖνον τῆς Παμφυλίας μητροπολίτην, ᾧ καίτοι λίβελλον παραιτήσεως δεδωκότι, καθὼς περ ἄρα καὶ δέδωκεν, ὡς μηδὲ τὴν ἐπικήρυξιν ἐμποδοστατῆσαι τοῦ μετ' αὐτόν, τῇ δὲ κατ' Ἔφεσον οἰκουμενικῇ προσιόντι τρίτῃ συνόδῳ καὶ τὸ ὄνομα τῆς ἐπισκοπῆς ἐνδοθῆναι καὶ τὴν τιμὴν καὶ τὴν κοινωνίαν, πρὸς δὲ καὶ εἴ τί που ἄλλο χρηστότερον ἐπ' αὐτῷ οἱ ἐπαρχιῶται βουλεύσονται, ἕως ἂν ἀρέσοι τὸ τοιοῦτον καὶ τῇ μεγάλῃ συνόδῳ· ἐπὶ τούτοις ἔτι καὶ οἱ τῆς ἕκτης συνόδου θεοφόροι πατέρες τῷ κατ' ἐκεῖνο καιροῦ τῆς νήσου Κύπρου προέδρῳ τὴν τῶν Ἑλλησποντίων ἐπαρχίαν ὑπέταξαν διὰ καιρικὴν ἀνωμαλίαν καὶ πραγμάτων τινὰ περιπέτειαν. Εἰ δέ τις φιλοπονώτερον ἐπιβάλοι τῇ τῶν τοιούτων οἰκονομιῶν ἀνευρέσει, πλείστας ὅσας οὔσας ἐσεῖται ἀναλεξάμενος· ἐν αἷς δὴ καὶ τὸ νῦν ἡμῖν προκείμενον εἰς ζήτησιν κεφάλαιον τῆς μεταθέσεως πολλαχόσε πεπραγμένον ἀναφανήσεται, καθὼς ὁ ἁγιώτατος ἐκεῖνος ἐν πατριάρχαις κῦρις Φώτιος φιλιστορῶν ἐν τῷ παρ' αὐτοῦ συντεθέντι τοῦ νομοκανόνου βιβλίῳ τὰς μέχρις αὐτοῦ ἐκείνου γεγονυίας μεταθέσεις ἀρχιερέων ἐξ ἑτέρων εἰς ἑτέρας ἐκκλησιῶν συντάττει ἀπαριθμούμενος. Τοιγαροῦν καὶ ἡ ἁγιωτάτη μητρόπολις Μελιτηνῆς, καίπερ τοῦ χρόνων ἐξ ἱκανῶν ἐπικεκηρυγμένου ταύτῃ μητροπολίτου, τοῦ ἱερωτάτου ἀδελφοῦ ἡμῶν Μανουήλ, συνεξετα-

1 Βασίλειος] τ. IV, σ. 274. — 2 Μασάδων] Βασίλειος· *κέλευσον Οὐασόδοις τελεῖν.* — 16 κῶδ. *ἐπαρχεῶται.* — 25 ἐν τῇ ᾧᾳ· «πρὸ τοῦ Φωτίου ὁ Σωκράτης ἐν τῷ ζ' βιβλίῳ τῆς ἐκκλησ. ἱστορίας αὐτοῦ».

*

ζομένου τοῖς ζῶσι καὶ κατὰ τὸν εἰπόντα "ἐπὶ χθόνιον ἄχθος δερκομένοιο", χηρείαν ὅμως ἀρχιερέως ἐπεφήμισεν ἑαυτῇ. Τὴν μὲν οὖν αἰτίαν πλατυκωτέρως ἄρτι λέγειν οὐκ εὔκαιρον· τοσοῦτον δὲ εἰπεῖν ἀρκέσει, ὅτι περ ὀλίσθου γλώσσης τοῦτον ἐγράψατο καὶ παρὰ τοῦτο βιβλίον ἀποστασίου, ὡς οὕτω φάναι, ἐστείλατο. Τρίτος τὸ ἀπ' ἐκείνου παριππεύει ἐνιαυτός, καὶ πολλάκις μὲν ἡ μετριότης ἡμῶν ἰδίᾳ παρ' ἑαυτῆς ἐπιστέλλει τῷ ἐκεῖσε κλήρῳ καὶ τῷ λαῷ, πολλάκις δὲ καὶ μετὰ τῆς περὶ αὐτὴν ἀδελφότητος πρὸς τοὺς ἐκεῖθεν ἰόντας παραινετικώτερον ἁπαντᾷ καὶ τὰς διαλλαγὰς ὑποτίθησιν, οἳ δὲ μηδ' ἂν εἴ τι καὶ γένοιτο καταδέξασθαι τὴν τούτου ποιμαντικὴν διενίστανται, καθάπαξ, φασί, τὴν συνείδησιν ἐπ' αὐτῷ πληγέντες ἀνίατα, κἂν ὁ μητροπολίτης ἑτέρωθεν διεκδικῶν ἑαυτῷ τὸ ἀνεπίληπτον διενίστατο καὶ ἀνέγκλητος καὶ ἀθῶος εἶναι παντάπασιν ἐφ' οἷς ἠτιάθη ἀπισχυρίζετο. Ταῦτά τοι καὶ ἡ μετριότης ἡμῶν μετὰ τῶν σήμερον συνεδριαζόντων αὐτῇ προκαθημένη συνοδικῶς ἱερωτάτων ἀρχιερέων, τὰ τοῦ πράγματος εἰς κοινὴν θεμένη διάσκεψιν καὶ θεραπείας ἄλλης, ὅτι μὴ μόνης τῆς ἤδη ῥηθησομένης, παντάπασι κατανοήσασα ἀνεπίδεκτον, ἄλλως τε καὶ τῆς ἐπὶ τοσοῦτον σχολῆς καὶ ἀργίας τοῦ Μελιτηνῆς κατοικτείρασα καὶ τῆς μάλιστα τρυχούσης αὐτὸν ἐνδείας τῶν περὶ τὸ ζῆν ἀναγκαίων, ἄνθρωπον τοῦτον μετὰ τῶν ἄλλων καὶ ὑπὸ βαρείας νόσου πολιορκούμενον, τῆς ἀρθρίτιδος, καὶ δαπανῶν ὅτι πλείστων, καὶ πολλῆς νοσοκομίας καὶ θεραπείας δεόμενον, τοῦ δὲ θρόνου καὶ τοῦ λαοῦ τῆς Μελιτηνῆς εἰς νοῦν λαβοῦσα τὴν ὀφειλομένην ἐπιμέλειαν καὶ φροντίδα, γνωμοδοτῆσαι τῶν ἀρχιερέων ἕκαστον ἀδελφικῶς ἀπήτησε περὶ τοῦ ποιητέου καὶ ἐπ' ἀμφοῖν· τοῖς δὲ ἄρα συνέδοξε, τῇ οἰκονομίᾳ κἀνταῦθα χρησαμένοις καὶ συμφωνήσασι πρὸς ἀλλήλους, ψηφισθῆναι μὲν τὴν μητρόπολιν Μελιτηνῆς, διὰ τὴν ἄκραν ἔνστασιν τοῦ ἐν ταύτῃ κλήρου καὶ τοῦ λαοῦ καὶ ἵν' ὅπως μὴ ἐπὶ πλέον περιορώμενοι τὸ ἐξ ἡμῶν ἀτημέλητον τῶν ἀτοπωτάτων τι καὶ βουλεύσαιντο, χώραν μεγάλην,

1 Ἰλ. α 88. — 28 ἀναγνωστέον «ψηφισθῆναι μὲν ἑτέρῳ».

πολυανθρωποτάτην τυγχάνουσαν καὶ ἐν ἐσχάτοις (ὁρίοις) κειμένην τῆς καθ' ἡμᾶς διοικήσεως καὶ ὑπὸ βαρβάρων τελοῦσαν καὶ πολλαχόθεν ἔχουσαν πρὸς πειθὼ τὸ δυσάγωγον, μετατεθῆναι δὲ ἐδικαίωσαν τὸν ἔκπτωτον ἐκείνης μητροπολίτην εἰς ἣν ἂν ἑτέραν τῶν χηρευουσῶν ἐκκλησίαν ἡ μετριότης ἡμῶν μετὰ τῶν παρευρεθησομένων ἀρχιερέων κατὰ καιρὸν δοκιμάσειε. Τὴν γοῦν τοιαύτην γνωμοδοσίαν τῶν ἱερωτάτων αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν καὶ ἡ μετριότης ἡμῶν καθ' ἑαυτὴν συμβαλοῦσα καὶ δοκιμάσασα ἐπέκρινεν οὕτω γενέσθαι.

36.

(Γερμανοῦ β', οἰκουμενικοῦ πατριάρχου, συνοδικὴ πρᾶξις περὶ τῆς μητροπόλεως Μελιτηνῆς 1227) [1].

Μηνὶ μαρτίῳ κθ', ἡμέρᾳ α', ἰνδικτιῶνος ιε', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γερμανοῦ, ἐν τοῖς ἀνωτέρω δηλουμένοις κελλίοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου καὶ ἐξάρχου πάσης Ἀσίας Ἰωάννου, τοῦ Ἀγκύρας Χριστοφόρου, τοῦ Νικομηδείας Νικηφόρου, τοῦ Μελιτηνῆς Μανουήλ, τοῦ Προύσης Σεργίου, παρισταμένων καὶ θεοφιλεστάτων ἀρχόντων δεσποτικῶν.

Τὸ ἀναγεγραμμένον σημείωμα μὴ φθάσαν ἀναγνωσθῆναι καθ' ἣν ἡμέραν ἐσχεδιάσθη, ἀνεγνώσθη τὴν σήμερον, καὶ ὡς ἠκροάσαντο οὕτω οἱ τότε μὴ συμπαρόντες ἀρχιερεῖς, ἤτουν ὁ Ἐφέσου, ὁ Ἀγκύρας τε καὶ ὁ τῆς θεουπόλεως Προύσης, καὶ ἤρεσεν αὐτοῖς ὁ δι' ἀμφοῖν οἰκονομικὸς τρόπος τῆς τε τῶν Μελιτηνῶν προνοίας καὶ τῆς τοῦ ἐν ἐκείνῃ ἀρχιερατεύσαντος μεταθέσεως, συνήνεσαν καὶ οὗτοι τῇ πράξει, ὁμογνωμόνως στοιχήσαντες τοῖς ὁρισθεῖσι καὶ τυπωθεῖσιν, ὡσανεὶ καὶ τὴν ἀρχὴν συμπαρῆσαν, καὶ τὸ περὶ τούτων συνδιέφερον μέλημα τῇ ἡμῶν μετριότητι καὶ τῇ ἱερᾷ ἀδελφότητι· ἔνθεν τοι καὶ ὡρίσθη τὰ σημειωθέντα παρεκβληθῆναί τε καὶ δοθῆναι. Ἐπὶ δὲ τούτοις ἡ μετριότης ἡμῶν τὸ ἀνεπίληπτον

2 κῶδ. *τελοῦσα*. — 3 κῶδ. *ἔχουσα*. — [1] Αὐτόθι, φ. τμή'.

ἑαυτῇ περιποιουμένη καὶ τὸ ὡς οἷόν τε ἀσφαλές, ἐπειδὴ τῷ Μελιτηνῆς τἄλλα τέως χαρακτηριστικὰ τῆς ἀρχιερωσύνης γνωρίσματα ἀναλλοίωτα συντηρήσασα, διὰ τὸ μηδέπω σαφῶς ἐλεγχθῆναι ἐφ' οἷς παρὰ τῶν Μελιτηνιωτῶν ἠτιάθη, τῆς γοῦν ἐν ταῖς ἱεραῖς ἁγιστείαις σὺν αὐτῇ κοινωνίᾳ τοῦτον φθάσασα διὰ σημειώματος ἀπεκώλυσεν, οὕτως ἀνεῖπε δέξασθαι μέλλειν αὐτὸν καὶ πάλιν εἰς κοινωνίαν, εἴπερ ἔγγραφον ταύτῃ δοίη πληροφορίαν τοῦ φρονεῖν ὑγιῶς καὶ πιστεύειν, καθὼς ἐν τῷ χειροτονεῖσθαι ἐνεγράψατο, συκοφαντίαν δὲ καὶ ψεῦδος τυγχάνειν σαφὲς τὴν προστριβεῖσαν τούτῳ κατηγορίαν, οὐδέποτε καιροῦ δυνησομένην ἀπελεγχθήσεσθαι, καὶ μηδὲν ἑαυτῷ συνειδέναι φαῦλον καὶ τῆς χριστιανικῆς εὐσεβείας ἀνάξιον. Καὶ ὡς ἀρεστὸν μὲν ἔδοξε τοῦτο τοῖς ἱερωτάτοις συλλειτουργοῖς, προθύμως δὲ ἐπέδωκεν ἑαυτὸν ὁ Μελιτηνῆς εἰς τὰς τοιαύτας πληροφορίας καὶ πίστεις, ἐτυπώθη καὶ ταῦτα οὕτω προβῆναι. Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας Ἰωάννου τοῦ Αὐληνοῦ βεβαιωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδίκτῳ.

37.

(Πρόσταγμα Θεοδώρου Ἀγγέλου Κομνηνοῦ, αὐτοκράτορος Ἠπείρου) [1].

Ἁγιώτατε δέσποτα Λαρίσσης, ὁ θαυμάσιος Θαυμακοῦ καὶ τῇ βασιλείᾳ μου ἀγαπώμενος ἐνθένδε τὸν ἐν ἡμῖν ἀπέλιπε βίον· καὶ ἤλγησε μὲν ἡ βασιλεία μου ἐπὶ τῷ θανάτῳ ἐκείνου, ἀναλογησαμένη δὲ ὅμως, ὡς οἱ πάντες θανούμεθα καὶ οὐδεὶς ἀνθρώπων ἐκφεύξεται τὸ μὴ ἐπιστρέψαι εἰς γῆν τὸ κοινὸν χρέος, εἰς παρηγόρημα ἔλαβον. Ἐπεὶ δὲ ἐκεῖνος μὲν ἀπεβίω, ἐξ ἀνάγκης δὲ ἕτερος εἰς τὸν ἐκείνου ἀντικαταστήσεται τόπον, γράφομεν ἀξιωματικῶς τῇ ἁγιωσύνῃ σου, ἵνα, ὁ υἱὸς ἐκείνου διάκονος Συμεὼν εἴπερ δι' ἀρετήν, διὰ λόγον, ἄξιος κριθείη παρὰ τῆς ἁγιωσύνης σου, καταστήσῃς αὐτὸν εἰς τὸν τοῦ πατρὸς αὐτοῦ θρόνον, ὡς πληρωθῆναι τὸ γραφικὸν τὸ λέγον ἀντὶ τῶν πατέρων γεννᾶσθαι υἱούς.

[1] Κῶδ. Πατριαρχ. Ἱεροσολ. 276, σελ. 183. — 31 Ψαλμ. μδ', 17.

καὶ ἀποδέξεται τοῦτο ἡ βασιλεία μου. Τῆς ἐκκλησίας δὲ καὶ τῶν ὑπ' αὐτὴν εἰς τὰς σὰς ἐλθόντων χεῖρας, πάντως ἐκμετρήσεις τοῖς τοῦ τεθνηκότος υἱοῖς ἀπὸ τῶν εἰσόδων τῆς ἐκκλησίας, κατὰ τὴν ἐνοῦσάν σοι διάκρισιν, τὰ ἀντάξια τῶν πόνων αὐτῶν· προστάσσει γὰρ ἡ βασιλεία μου μήτε τὸν πανευτυχέστατον δεσπότην καὶ περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου κῦριν Μανουὴλ τὸν Δούκα, μήτε τινὰ τῶν ὑπ' αὐτὸν πόδα τοῖς τῆς ἐκκλησίας παραβαλεῖν καὶ ζημιῶσαι αὐτούς· τὰ γὰρ τοῦ Θεοῦ ἔστωσαν πάλιν τῷ Θεῷ ἀνακείμενα. Μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος η' [1234].

38.

('Ιωάννου μητροπολίτου Ναυπάκτου γράμμα κανονικόν) [1].

Πανιερώτατε Δρυϊνουπόλεως καὶ ἐν Κυρίῳ συναδελφέ, εἰς βάρος ἠγησάμην τὴν τῆς παρούσης γυναικὸς ἐπιδημίαν πρὸς τὰ ἡμέτερα· ἠδύνου γὰρ αὐτὸς τῇ χάριτι τοῦ Θεοῦ οἰκονομῆσαι τὰ κατ' αὐτήν, ἀρχιερεὺς ὢν τοῦ τόπου καὶ πλεῖον ἔχων εἴδησιν τῶν ἐπὶ ταύτῃ πραχθέντων. 'Αναπτύξας δὲ ὅμως τὸ βιβλίον καὶ τὰς ἐγκειμένας τούτῳ αἰτίας ἐπελθών, αἵτινες ἐπὶ τοῖς διαζυγίοις τῶν συναλλαγμάτων ὡρίσθησαν, ἀπ' αὐτῶν μὲν οὐχ εὗρον βοήθειαν προσβοηθοῦσαν αὐτῇ εἰς τὸ διαζυγῆναι τοῦ Ξιφιλίνου, αὐτὴ δὲ ὅμως δύο τινὰ πρὸς ἡμᾶς ἐξηγήσατο, παρόντος καὶ τοῦ πανυπερτάτου δεσπότου μου καὶ κατὰ Κύριον ἀδελφοῦ κυροῦ Εὐθυμίου τοῦ Τορνίκη, ὡς ὅτε τὸν ἄνδρα ταύτης ἠγάγετο ἐξαέτ[ις ἦν], καὶ [ὡς] ἐπωμόσατο τοῦτο ἡ μήτηρ αὐτῆς τῷ ἁγιωτάτῳ ἐπισκόπῳ Βελᾶς, κατ' ἄλλον δηλονότι καιρὸν λαληθείσης ταύτης τῆς ὑποθέσεως. Καὶ γράφουσιν οἱ νόμοι ἐπὶ τοῖς γαμικοῖς συναλλάγμασι συναινεῖν μὲν τοὺς τῶν προσώπων ἐξουσιάζοντας, εἴτε πατέρες εἰσίν, εἴτε προσγενεῖς ἕτεροι, ἀλλὰ καὶ αὐτοὺς τοὺς μέλλοντας συναφθῆναι χωρὶς καὶ τῆς τούτων συναινέσεως τὸν γάμον μὴ γίνεσθαι. Βοηθεῖται γοῦν εἰς διάζευξιν διὰ τὴν ἀνηβότητα καὶ τὸ μὴ κατὰ συναίνεσιν ταύτης προβῆναι τὸν γάμον. Εἰ δέ που καὶ σύμφωνόν ἐστι καὶ συναίνεσις ταύτης εὑρίσκεται, ἀλλὰ τὰς τῶν

[1] Κῶδ. Πατριαρχ. 'Ιεροσ. 276, φ. 192.

ἀτελῶν συναινέσεις ἡ νομικὴ διάταξις ἀποβάλλεται. Ἐρεύνησον οὖν, ἀδελφέ, μετὰ ἀκριβείας, ἐὰν ἡ μήτηρ αὐτῆς ἐπωμόσατο ἐξαετῆ ταύτην εἶναι, ὅτε ὁ γάμος ταύτης συνέστη· καὶ εὑρὼν τοῦτο, τὸ μὲν συνοικέσιον διάλυσον, διὰ τὴν τῆς γυναικὸς ἀνηβότητα, ἑτέρῳ δὲ συναφθῆναι ταύτην ἐπίτρεψον· τὰ γὰρ ἐξ ἀρχῆς ἀνυπόστατα συστῆναι διὰ τέλους οὐ δύνανται. Ἀλλὰ καὶ τοῦτο ἀνερυθριάστως ἡ γυνὴ ἐπί τε ἡμῶν καὶ τῶν ἀναγεγραμμένων προσώπων διωμολόγησε, τὸ παραπεσεῖν δηλονότι πρὸς ἕτερον ἄνδρα, διὰ τὴν ἐπὶ πολὺ τοῦ Ξιφιλίνου ἀπὸ ταύτης ἀπόστασιν. Καὶ μοιχείαν μὲν τὸ ἁμάρτημα οὐκ ἔχω κατονομάζειν, πορνείαν δὲ λογιζόμενος τὸ πραχθὲν διὰ τὸ τοῦ γάμου ἀστήρικτον. Αὐτὴ δὲ ὅμως οὐκ ἐπιστρέψαι δικαιωθήσεται πρὸς τὸν ἄνδρα αὐτῆς· κανὼν γὰρ τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου τάδε κατὰ ῥῆμα διέξεισιν· «Ἡ τὸν ἴδιον ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλῳ ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον, ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀναλεξάμενον· ὅτι, "ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται". Καὶ πάλιν· "ὁ ἔχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής". Ἐὰν οὖν φανῇ τοῦ ἀνδρὸς ἀλόγως ἀναχωρήσασα, ὃ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίων· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται».

Ἔτι καὶ τοῦτο πρὸς ἡμᾶς ἀφηγήσατο ἡ γυνή, ὡς δέκα ὅλους χρόνους ἔχει ὁ Ξιφιλῖνος μὴ συνελθεῖν αὐτῇ, μηδὲ συνοικήσας, μηδὲ ταύτην ἐπισκεψάμενος. Καὶ ὁ μὲν ἀπόστολος διδάσκει "μὴ ἀποστερεῖν ἀλλήλους τοὺς συναφθέντας, εἰ μή τι ἂν ἐκ συμφώνου". Δῆλον δὲ ὡς διὰ τοῦτο ἀνὴρ συνάπτεται γυναικί, ἵνα καὶ παῖδας ἀπογεννήσῃ πρὸς τὴν τοῦ γένους διαδοχὴν καὶ πρὸς τὰς τῆς σαρκὸς ἐπηρείας ἀντιβοηθῶσιν ἀλλήλοις καὶ μὴ πρὸς πορνείαν ἐκπίπτωσιν· τί γὰρ ἄλλο βούλεται τὸ πλασθῆναι τὴν γυναῖκα βοηθὸν τῷ ἀνδρὶ καὶ τοῦτον ὡς οἰκεῖον μέλος ταύτην λογίζεσθαι, κατὰ τὴν τοῦ Παύλου διδασκαλίαν; Ἔνθα δὲ ἐπὶ τοσούτοις ἔτεσιν οὔτε πρὸς

13 Κανὼν πζ'. — 16 Ἱερεμ. γ', 1. — 18 Παροιμ. ιη', 22. — 24 Κορινθ. 1, ζ', 5. — 31 Παύλου] Κορινθ. 1, ια', 7-12.

τὴν ἑαυτοῦ γυναῖκα εἰσέρχεται ὁ ἀνήρ, οὔτε ταύτης ἐπιμελεῖται τὰ εἰς τροφήν, τὰ εἰς περιβλήματα, ἐκεῖσε πάντως παρὰ τὴν τοῦ ἀνδρὸς αἰτίαν καὶ πορνεία παρρησιάζεται καὶ τὸ πλεῖστον ὑπὸ εὐθύνην γίνεται ὁ ἀνήρ. Καὶ πρόσσχες κρίσει συνοδικῇ γενομένῃ ἐπὶ τοῦ τῆς ὁσίας μνήμης ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως [κυροῦ - - -] καὶ διεξιούσῃ οὕτως ἐν μέρει· «Αἱ παρὰ ἀνδρῶν παρασχομένων τὴν αἰτίαν ἀπολυθεῖσαι γυναῖκες, εἰ γῆμαι βουληθεῖεν, καὶ αὗται ἀνέγκλητοι καὶ οἱ εὐλογοῦντες ἱερεῖς· ὡσαύτως καὶ ἐπὶ ἀνδρῶν»· παρεθέμην δ' ἄν σοι καὶ νόμους πολιτικούς, εἰ μὴ ὤκνουν πολυγραφεῖν. Σὺ τοίνυν ἐπὶ τῶν τόπων ὑπάρχων, εἴπερ εὑρήσεις ἐξαετῆ τὴν γυναῖκα οὖσαν ὅτε τῷ Ξιφιλίνῳ συνήφθη, ἂν ἡ μήτηρ αὐτῆς τὰ περὶ τούτου ἐν τῇ Βελᾷ ἐπωμόσατο, ἐὰν πρὸς ἄνδρα ἕτερον ἐπένευσεν ἀληθῶς καὶ ἐὰν ὁ Ξιφιλῖνος ἐπὶ δεκαετίᾳ ὅλῃ οὐ συνῴκησε ταύτῃ ἢ συνῆλθεν, ἀνενδοιάστως ἑτέρῳ συναφθῆναι ταύτην ἐπίτρεψον, ἵνα μὴ πολλὰ τὰ ἄτοπα κατὰ τῆς ἰδίας κεφαλῆς ἐπισωρεύουσα ἡ γυνὴ ἁμαρτάνῃ διόλου εἰς κρῖμα τῆς ἰδίας ψυχῆς, πρότερον ἐπιθεὶς ταύτῃ τὰ τοῖς τοιούτοις πρέποντα ἐπιτίμια. Τοῦτο δὲ παραφύλαξον, τὸ μὴ συναφθῆναι ταύτῃ πρὸς γάμον τὸν σήμερον ταύτης φθορέα, ἕτερον δὲ πάντως, ἵνα μὴ καὶ ἄλλαι τῶν ἰδίων ἀνδρῶν ἀποδιιστάμεναι τὰ ὅμοια πράττωσιν· ὁ Ξιφιλῖνος δὲ πᾶσαν (ἐξουσίαν) ἕξει πρὸς τὸ ζητεῖν ἅπερ πράγματα τοῖς γονεῦσι ταύτης προσήγαγεν ἐν τῷ τοῦ γάμου καιρῷ. Καὶ λοιπὸν μήτε σοὶ μήτε ἡμῖν ἀπὸ τοῦ νῦν κόπους ἡ γυνὴ παρεχέτω, ἀλλὰ τὰ κατ' αὐτήν, ὡς ἀνατέτακται, διοικονομησαμένη ἡ ἱερότης σου, καὶ ἑαυτὴν καὶ τοῦ ἐκ ταύτης ὑπωπιασμοῦ ἀπαλλαξάτω. Διατηροῖ μοι εὔθυμος, ὑγιής.

39.

(Σημείωμα κρισιμόγραφον τῆς περὶ τὸν μητροπολίτην Ναυπάκτου συνόδου) [1].

Πολλὰ πολλοῖς ἐποίησεν ὀχληρὰ ἡ τῶν ἀνεξετάστων ἀκουσμάτων εὔκολος εἰσδοχή· οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων κακόχολοί τινες ὄντες καὶ φίλεχθροι, μὴ μόνον τὰ αὐτοῖς ἀκουστά, ἀλλὰ

[1] Κῶδ. Πατριαρχ. Ἱεροσολ. 276, σ. 129-131.

δὴ καὶ τὰ ἀνήκουστα τοῖς ἀκουσθεῖσι συντιθέντες καὶ συνυφαίνοντες τοῖς κατά τι διαφερομένοις μετὰ προσθήκης ταῦτα καὶ σχετλιασμῶν ἐνίοτε προσαγγέλλουσι. Καὶ οὗτοι δέον ὂν τῷ κριτηρίῳ τοῦ λογισμοῦ παραδιδόναι ταῦτα τὰ ἀκουστὰ καὶ κατεξετάζειν αὐτὰ καὶ λεπτολογεῖν ἐν ταὐτῷ, καὶ τὰ μὲν ἀληθείας ἐχόμενα μετὰ πραότητος προσονειδίζειν τῷ καταλέγοντι, τὰ δὲ ψευδῆ ἀπορρίπτειν ἐς κόρακας καὶ λύειν οὕτω τὸν αὐτῶν [ἐκ] τοιούτων ἀκουσμάτων χόλον καὶ τὴν ὀργήν, οἵδε ἁπαξαπλῶς τοῖς πᾶσι πιστεύοντες τὰ χείριστα καταπράττονται. Διὰ τὰς τοιαύτας οὖν εἰσηγήσεις ὁ πανευτυχέστατος κῦρις ἡμῶν Κωνσταντῖνος ὁ Δούκας καὶ ὁ μητροπολίτης Ναυπάκου, ὃ μὲν ἐπὶ τῷ μητροπολίτῃ μεγάλα χολάνας, οὗτος δὲ κατὰ τὸ εἰκὸς μεγάλην ἔχων τὴν ἐκ βαρυθυμίας σκληρότητα, ἀσυμβιβάστως πρὸς ἀλλήλους εἶχον καὶ τὸ σύμπαν ἀκαταλλάκτως. Τὴν σήμερον δὲ ὁ μὲν πανευτυχέστατος Δούκας τῆς ἐξουσιαστικῆς ὑψηλότητος μικρὸν ὑποκαταβάς, ὁ δέ γε ἀρχιερεὺς νουνεχόντως ὑποπεσών, τοὺς χειμάρρους τῶν ποταμῶν ἀμφότεροι ἐμιμήσαντο (οὓς χαράδραι μὲν ἐν τῷ τέως καὶ χειμῶνες ἐκμαίνουσι, μετὰ δέ γε μικρόν, τῆς πλημμύρας ὀλιγωθείσης, καὶ παισὶν εὐπέρατοι γίνονται), ἢ — τὸ τῆς ἐξωτερικῆς σοφίας — ὀλίγην μὲν τὴν ἔριν ταύτην ἐγείραντες πρότερον καὶ πρὸς οὐρανὸν ὡσανεὶ τὴν ταύτης κάραν στηρίξαντες ἐπὶ γῆν ἐς ὕστερον ἔθεντο διὰ τὴν αὐτῆς εἰρήνης συνέλευσιν. Καὶ κατέθεντο ἐφ' ἡμῶν καὶ τῶν ἀναγεγραμμένων συνέδρων ἔχειν τὸν μητροπολίτην πρὸς τὴν ἐξουσίαν, ὡς καὶ προτοῦ, τὸ τιμητικὸν καὶ τὸ κατὰ δύναμιν θεραπευτικόν, αὐτοὶ δὲ πρὸς τὸν ἀρχιερέα καὶ τὸ αἰδῆμον καὶ τὸ σεβάσμιον, δυσωπούντων τὴν ἐξουσίαν τῆς θείας ἱερωσύνης καὶ τοῦ ἐπιλάμποντος γήρως αὐτῷ [καὶ] λογιζομένων καλῶς, ὡς ὁ τιμῶν ἐπισκόπους τὸν πρωτότυπον ἀρχιερέα Χριστὸν τιμᾷ δι' αὐτῶν καὶ ὡς πρὸς ἐκεῖνον διαβαίνει τὸ πρὸς τοὺς ἐπισκόπους σεβάσμιον. Κυροῦντες δὲ καὶ τὸ ἔμπροσθεν ἀσκανδάλιστον, ἄριστα καὶ τοῦτο καὶ τελεώτατα συγκατέθεντο, τὸ μηδένα τούτων δηλαδὴ

13 ἀσυμβιβάστως] κῶδ. *ἀσυμβάντως*.

μηδαμοῦ ψιθυρισμὸν καθ' ἑτέρου καὶ λοιδορίαν προσδέξασθαι, ἀλλὰ τοὺς εἰσαγγελεῖς τῶν τοιούτων θάτερος θατέρῳ καὶ προσαγγέλλειν καὶ φανεροῦν, ὡς ἐντεῦθεν, ἐλεγχομένης τῆς ταραχοποιοῦ εἰσηγήσεως, μηδένα τοῦ λοιποῦ τολμῆσαί ποτε γλῶσσαν ὀφιώδη καὶ πονηρὰν πρὸς τὸν μητροπολίτην κατὰ τῆς ἐξουσίας κινῆσαι, ἢ κατὰ τοῦ ἀρχιερέως πρὸς τὴν εὐτυχεστάτην ὑπεροχήν· ἄριστον τοῦτο τῶν ἀμφοτέρων σκέμμα καὶ σύνθημα, ἀλλὰ καὶ τῶν λοιδόρων καὶ τῶν ψιθυριστῶν ἀποβουκόλησις καὶ ἀνατροπὴ καὶ πρὸς τὸ δέον πάντως μετάθεσις.

Καὶ τὰ μὲν περὶ τούτων ἐν τούτοις· προσέθετο μέντοι ὁ ἀρχιερεύς, ὡς τὰ μὲν εἰς αὐτὸν ἥκοντα παρὰ τῆς κατὰ Ναύπακτον ἐξουσίας, βαρέα δηλαδὴ καὶ φορτικά, μακροθύμως ὑποίσει, ἐθισθὲν αὐτῷ κακῶς παρ' αὐτῆς ἀκούειν καὶ ὑπομένειν τὰ λυπηρά· ὅσα δὲ εἰς περιφρόνησιν ἀφορᾷ τῶν τῆς ἐκκλησίας θείων δικαίων καὶ ὑπόσπασιν τούτων, ἔτι δὲ καὶ τῶν τῆς ἐκκλησίας δικαιωμάτων παράβασιν, οὐκ ἂν κατὰ νῶτον εἶπε θεῖναί ποτε, ἵνα μὴ τὸ θεῖον ἐντεῦθεν κατάκριμα ἐπισπάσηται, ἀλλὰ παρακαλέσειν μὲν τὴν ἐξουσίαν τῶν ἐπὶ ταύτης νομίμων ἴσως ὑπ' αὐτῆς πατουμένων, καὶ ἄλλως, ὡς ἂν αὐτῷ πρὸς δυνάμεως εἴη, καὶ τῶν κανονικῶν διατάξεων καὶ τῆς τῶν ἐκκλησιαστικῶν δικαιωμάτων ἀντιλήψεσθαι περιλήψεως. Λαβούσης δὲ τῆς ἀψιμαχίας εἰς ἀφορμὴν καὶ ἄλλην τινὰ αἰτίαν, καὶ ταύτην ὁ μητροπολίτης λῦσαι κατέθετο καὶ ἐμφανίσαι ὑπέσχετο τῷ ποιησαμένῳ τὴν τῶν δημοσίων δικαίων ἀπογραφὴν κατὰ Ναύπακτον τὰ προσόντα δικαιώματα τῇ κατ' αὐτὸν ἐκκλησίᾳ τέως ἐπὶ τῇ περιμέτρῳ τῆς γῆς, καὶ φανῆναι ἐκ τούτων τίνα τε τῇ ἐκκλησίᾳ ἐκ τοῦ ἀναμφιλόγου προσήρμοσε καὶ τίνα τὰ ὑπὲρ μνημοσύνων τινῶν ἀφιερωθέντα αὐτῇ καὶ ἀνέκαθεν παρὰ ταύτης νεμόμενά τε καὶ καρπιζόμενα. Ἐν τούτοις τῶν μερῶν διαλυσαμένων, ἡμεῖς ἐπετράπημεν παρὰ τοῦ κατὰ χώρας ἀρχιερέως σημειώσασθαι ταῦτα καὶ ἐπιδοῦναι τοῖς μέρεσι. Μηνὶ μαΐῳ, ἐπὶ παρουσίᾳ τῶν πανιερωτάτων ἀρχιερέων καὶ ἀδελφῶν ἡμῶν καὶ συλλειτουργῶν, τοῦ Θερμοπυλῶν κῦρ Μιχαὴλ καὶ ἑτέρων.

40.

(Ἰωάννου Ναυπάκτου σημείωμα περὶ τῆς διαθήκης μεγαλοσχήμου τινός) [1].

Παρέστη ἡμῖν πρὸ πολλοῦ ὁ τῆς Ἄρτης οἰκήτωρ Ἰωάννης ὁ Γοστυλόπουλος. Ἐν ταύτῃ γενομένων ἡμῶν, ὡς τῷ κρατίστῳ Δούκᾳ ἐντύχωμεν καὶ τὴν ὀφειλομένην αὐτῷ προσκύνησιν ἀφοσιωσάμεθα, φήμη τις τὰς ἡμετέρας περιεκτύπησεν ἀκοάς, ὡς ὁ Ζυγοστόπουλος (sic) οὗτος πρὸς δυσμὰς τοῦ βίου ἐλθὼν καὶ περὶ τὸ θανεῖν δεδοικὼς ἀπεθρίξατό τε καὶ τὰ τῶν μοναχῶν ῥάκη ἑαυτῷ περιέθετο, ἐπὶ διαθήκῃ μέντοι καὶ τελευταίῳ τούτου βουλήματι. Συμβὰν δὲ οὕτω καὶ ὁ τῆς διαθήκης γραφεὺς νομικὸς καὶ ἱερεὺς ὁ Μοχλὸς ἀφίκετο πρὸς ἡμᾶς, σύνηθες ὂν αὐτῷ ἐπιδημοῦσιν ἡμῖν ἐν Ἄρτῃ ποτὲ ἀναφωνεῖν τὰ προσρητικὰ καὶ περὶ τοῦ κατὰ τὴν ὁδὸν πυνθάνεσθαι εὐοδώματος. Ὡς δὲ περὶ ἄλλων καὶ ἄλλων αὐτῷ ἐκοινολογούμεθα, καὶ περὶ τοῦ Ζυγοστοπούλου ἠρόμεθα, εἰ τὴν κόμην ἐκάρη, εἰ καὶ τὸ μέγα σχῆμα περιεβάλετο καὶ εἰ ἐνδιαθήκως, ὡς ἤκουσται, τὴν βιωτικὴν πολυοχλίαν ἐξέφυγεν. Καὶ ὃς αὐτὰ οὕτω γενέσθαι ἀπελογήσατο, καὶ τοῦ κόλπου τὴν διαθήκην ἐξενεγκὼν εἰς ἐπήκοον ἀνεγίνωσκε, καὶ εἶχεν αὕτη προσταγὴν τοῦ Γοστυλοπούλου καὶ τὸ ὕφος τοῦ προοιμίου τὸν νοῦν οὐ ψεκτόν, τὰς δὲ λέξεις εἰς μειδίαμα κινούσας τοὺς γευσαμένους παιδείας· τὰ δὲ λοιπὰ τῆς ὅλης τοῦ βιβλίου περιοχῆς οὐκ ἄλλου πάντως, ἀλλ' αὐτοῦ τοῦ ἐκθεμένου ἦσαν Μοχλοῦ. Διελάμβανε δὲ τὸ διαθηκῶον ἄλλα τε, τὰ δοκοῦντα τῷ ἐκθεμένῳ, καὶ περὶ ἀμπελώνων τινῶν, ἀποχαρισθέντων μὲν τῷ γαμβρῷ παρὰ τοῦ διαταξαμένου, τῷ Ἀτουγδῇ κῦρ Βασιλείῳ, ἐκ προσελεύσεως δὲ τοῦ τὴν χάριν ταύτην ποιουμένου πρὸς τὸν γαμβρόν, γενομένης πρὸς τὸν κραταιὸν αὐθέντην ἡμῶν ἐκ βαρυθυμίας τοῦ Γοστυλοπούλου, ἐκ μικροψυχίας, ἐκ διαπλήξεως, τῷ δωρησαμένῳ ἐπελθόντων· ἀλλὰ βούλεσθαι πάλιν ἐν τῇ διατάξει ὁ Γοστυλόπουλος ἔλεγε, καὶ πρεσβείαν ταύτην ἐπιτελεύτιον πρὸς τὸν

[1] Κῶδ. Πατριαρχ. Ἱεροσ. 276, σ. 195-196.—3 Παρέστη] κῶδ. *Ἔστιν.*—19 κῶδ. *προταγὴν τοῦ στυλοπούλου.* — 28 κῶδ. *στυλοπούλου.*

κρατοῦντα ἐπανετείνετο, ἐᾶσαι τὸν Ἀτουγδῆν ἐπὶ τῆς τῶν ἀμπελώνων παρὰ τοῦ πενθεροῦ χάριτος καὶ τῆς ἐλευθερίας καὶ ἀδιαστίκτου κατοχῆς αὐτῶν καὶ νομῆς. Καὶ ταῦτα μὲν ἡ διάταξις, μᾶλλον δὲ ὁ νοῦς τῆς τοῦ κεφαλαίου τούτου δυνάμεώς τε καὶ περιλήψεως· παρὼν δὲ αὐτίκα καὶ ὁ ἱερώτατος Ἄρτης ἐπεβεβαίου, ἐξ ὧν ἐλάλει, τὸ παρὰ τὴν προσαγγελίαν τοῦ Γοστυλοπούλου μικρόψυχον, φάμενος, ὡς πολλάκις ὁ γαμβρὸς καὶ ὁ πενθερὸς περὶ τῶν ἀμπελώνων τούτων παρ' αὐτῷ ἐδικάσαντο καὶ ἐν πάσαις ταῖς συνελεύσεσι καίριον οὐδὲν οὐδὲ παραδοχῆς τῷ κρίνοντι ἄξιον ὁ Γοστυλόπουλος ἐξελάλησεν, ἀλλ' ἐν πάσαις ταῖς δίκαις ἄγραφον ἔσχε νίκην ὁ Ἀτουγδῆς. Ταῦθ' οὕτω καὶ ἤκουσται ἡμῖν καὶ ἑώραται, τὸ διάταγμα δηλονότι καὶ ὅσα τούτων καὶ ὁ ἐπίσκοπος διελάμβανέ τε καὶ διηγήσατο, καὶ ἐσημειώθη καὶ ἐπεδόθη κατ' ἐκχώρησιν καὶ ταῦτα τοῦ ἐπισκόπου τῶν τόπων.

VI.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ

τοῦ ἁγίου ὁσιομάρτυρος καὶ θαυματουργοῦ πατρὸς ἡμῶν

ΑΝΑΣΤΑΣΙΟΥ μοναχοῦ τοῦ ΠΕΡΣΟΥ,

μονῆς τοῦ ἀββᾶ Ἰουστίνου [1].

(Cod. Patriarch. 18 f. 120β).

1. Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, ὁ συναΐδιος καὶ ὁμοούσιος τῷ πατρὶ καὶ τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, οἰκτείρας τὸ γένος τῶν ἀνθρώπων ἀπολλύμενον καὶ ὑπὸ τοῦ θανάτου καὶ τῆς φθορᾶς τυραννούμενον "ἔκλινεν μὲν οὐρανοὺς καὶ κατέβη", κατὰ τὸ γεγραμμένον· διὰ δὲ τῆς ἐκ παρθένου γεννήσεως "μορφὴν δούλου λαβὼν" καὶ συναναστραφεὶς τοῖς ἀνθρώποις πάντα ᾠκονόμησε τὰ πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν, καὶ τῷ μὲν ἰδίῳ θανάτῳ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τῇ δὲ τριημέρῳ τοῦ σώματος ταφῇ τῆς φθορᾶς τὴν καθαίρεσιν ποιησάμενος καὶ τῇ εἰς Ἅδου καθόδῳ τὰ πολυχρόνια τοῦ Ἅδου καταστρέψας βασίλεια, οὕτω τῇ ἐνδόξῳ αὐτοῦ ἀναστάσει "συνήγειρέν τε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις", καθὼς φησιν ὁ ἀπόστολος. Αὐτίκα γοῦν τὴν "ἐξ ὕψους δύναμιν" ἐνδυσά-

[1] Ἱεροσολ. Βιβλιοθ. 1, σ. 78-79.

3 κῶδ. *δικτήρας*. — 4 ἀπόγρ. *τυρανούμενον* || Ψαλμ. ιζ', 10. — 5 γεγραμμένον] Ἰωάν. γ', 13. ς', 38, 41, 42, 50, 51, 58. Ἐφεσ. δ', 9. — 6 Φιλιπ. β', 7 || κῶδ. *λαβὸν*. — 8 Θεσσαλ. 1, ιε', 26. — 10 κῶδ. *εἰσάδου*. — 11 κῶδ. *συνήγηρεν*. — 12 Ἐφεσ. β', 6 || κῶδ. *συνεκάθησεν* || κῶδ. *φησὶν*. — 13 Λουκ. κδ', 49.

μενοι "οἱ αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου" καὶ τῶν αὐτοῦ παθημάτων μάρτυρες, οἱ μακάριοι ἀπόστολοι, ἐπῆλθον μὲν τῷ θείῳ κηρύγματι πᾶσαν τὴν οἰκουμένην, μεθήρμοσαν δὲ πρὸς εὐσέβειαν πᾶσαν πόλιν καὶ χώραν καὶ ἔθνος καὶ λαὸν καὶ φυλὴν καὶ γλῶσσαν, καὶ τὴν μὲν πατροπαράδοτον καὶ πολυχρόνιον τῆς ἀσεβείας πλάνην πρόρριζον ἀνέσπασαν, ἀγγελικὴν δὲ πολιτείαν ἐπὶ γῆς κατεφύτευσαν. Ἐντεῦθεν "ἐπλήσθη ἡ σύμπασα κτίσις τοῦ γνῶναι τὸν Κύριον", κατὰ τὸ γεγραμμένον, "ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας"· ἐντεῦθεν τὰ ἐπίγεια τοῖς ἐπουρανίοις συνήφθη καὶ ζωὴ αἰώνιος ἐν κόσμῳ ἐπολιτεύσατο· ἐντεῦθεν πᾶσα τῶν ἀνθρώπων ἡ φύσις ταῖς μεγάλαις καὶ ἀδιηγήτοις τοῦ Θεοῦ δωρεαῖς ἐγεγήθει.

2. Ἀλλ' ὁ τῆς ἀνθρωπίνης ζωῆς ἀπ' ἀρχῆς ἐπίβουλος, ὁ βάσκανός τε καὶ δόλιος καὶ τῶν εὐσεβῶν ἐχθρός, οὐκ ἔχων ὅπως ἐνέγκῃ τὴν τοσαύτην τῶν ἀγαθῶν τῆς διὰ Χριστοῦ χάριτος εἰς ἀνθρώπους μεγαλοδωρεάν, καὶ ὁρῶν ἑαυτὸν ὥσπερ τι ἀνδράποδον πονηρὸν ἐκβεβλημένον τῆς ὑπ' οὐρανόν, εὗρεν ἐπίνοιαν τῆς μὲν αὐτοῦ πονηρίας ἀξίαν, οὐδὲν δὲ μέγα τοὺς τῆς εὐσεβείας τροφίμους βλάψαι δυναμένην, ἀλλὰ μᾶλλον ὠφελῆσαι τὰ μέγιστα· τοῖς γὰρ τότε κρατοῦσι τὰ τῶν Ῥωμαίων σκῆπτρα ποικίλως καὶ πολυτρόπως ἑαυτὸν ἐγκατασπείρας, ἤγειρε μὲν παντοδαποὺς διωγμοὺς κατὰ τῆς ἐκκλησίας καὶ τὸ ὅσον ἐπ' αὐτῷ τὴν οἰκουμένην ἅπασαν ἀνέτρεψέν τε καὶ συνέχεεν, εἰς τοὐναντίον δὲ αὐτῷ περιέστη τὰ τῆς ἐγχειρήσεως, καὶ μικρὰ ἢ καὶ οὐδὲν βλάψας τοὺς θεοσεβεῖς μεγάλως αὐτὸς κατῃσχύνετο· οὐδὲν γὰρ ἧττον τῶν πάλαι αὐτὸν ὑπερορισάντων ἁγίων ἀποστόλων ταῖς τῶν καλλινίκων μαρτύρων ὑπομοναῖς ἐκβέβλητο ὁ δόλιος καὶ πάλιν τὸν οἰκεῖον τῆς εὐσεβείας κόσμον ἡ τοῦ Χριστοῦ ἀπελάμβανεν ἐκκλησία καὶ τὰ τῆς Θεοῦ χάριτος ἤνθει τε καὶ ἐπεδίδου καθ' ἑκάστην ἡμέραν, εἰς ἐτῶν ἀριθμὸν πολὺν τὴν δόξαν παρατείνοντα.

1 Λουκ. α', 2 || παθημάτων μάρτυρες] Πέτρου ἐπιστ. 1, ε', 1.— 3 κῶδ. *πάσαν τ. ο. μεθ' ἡρμοσαν.* — 7 Ἡσαΐα ια', 9.— 8 κῶδ. *κατὰ καλύψαι.*— 12 κῶδ. *ἀπαρχῆς.*— 15 κῶδ. *ὁρὰν ἑ. ὥσπέρ τι.* — 17 τῆς] κῶδ. *τοῖς.* — 19 κῶδ. *σκήμπτρα.* — 21 κῶδ. *αὐτὸ.* — 23 κῶδ. *ἐγχειρίσεως.* — 24 κῶδ. *ἧττον.* — 28 κῶδ. *ἐπ' εδίδου.*

3. Κόρον δὲ ὥσπερ τῶν εἰς ἡμᾶς γενομένων ἐκ Θεοῦ ἀγαθῶν λαβόντες οἱ ἄνθρωποι, εἰ καὶ λήθῃ παντελεῖ τῶν μεγάλων καὶ ἀφάτων τοῦ Χριστοῦ δωρεῶν νοσήσαντες καὶ ποικίλως καὶ πολυτρόπως τὴν ἁμαρτίαν χειρογραφήσαντες, καὶ αἵμασι μὲν ἀνθρωπίνοις τὴν γῆν πᾶσαν φοινίξαντες, πορνείαις δὲ καὶ μοιχείαις καὶ ταῖς ἄλλαις ἀναριθμήτοις πονηρίαις τε καὶ κακοπραγίαις τὴν ὀργὴν τοῦ Θεοῦ καθ' ἑαυτῶν ἐκκαύσαντες, ὅλην ὡς εἰπεῖν ἐφ' ἑαυτοὺς τὴν χεῖρα τοῦ Θεοῦ τῆς παιδείας ἡλκύσαμεν· ὅθεν παρέδωκεν ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν πόλεις ὅλας καὶ χώρας τὰς μὲν πυρὶ παραδόντι, τὰς δὲ ἐκ βάθρων ἀνασπάσαντι καὶ αἰχμαλωτίσαντι μὲν πᾶν ὅσον ἐκλεκτὸν καὶ ἐπιθυμητὸν ἐν σώμασί τε καὶ χρήμασιν, ἐξολοθρεύσαντι δὲ πᾶν τὸ κατάλοιπον ἀκορέστῳ μανίᾳ. Οὐ μὴν δὲ εἰς τέλος ὑπερεῖδεν ὁ ἀγαθὸς καὶ φιλάνθρωπος Κύριος, ὡς δηλοῖ τὰ πράγματα, ἀλλὰ χρηστὰς ἔχειν ἡμᾶς τὰς ἐλπίδας δίδωσι τῷ μέχρι τοῦ νῦν δοξάζεσθαι ἐν τοῖς γνησίοις αὐτοῦ δούλοις καὶ μάρτυσιν. Εὔκαιρον δὲ ἐνταῦθα τοῦ λόγου γενομένοις τὴν αὐτὴν τῷ μεγάλῳ ἀποστόλῳ ἔκπληξιν ἐκπλαγῆναι ἐπὶ τοῖς ἀνεξιχνιάστοις τοῦ Θεοῦ κρίμασι, καὶ εἰπεῖν "ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ"! Ἰδοὺ γὰρ Πέρσαις μὲν παρέδωκεν εἰς παιδείαν τοὺς ἑαυτοῦ κατὰ χάριν υἱοὺς καὶ κληρονόμους, ἐκ [δὲ] Περσίδος μάρτυρας ἑαυτῷ ἐξελέξατο, μέχρις αἵματος τὴν εἰς αὐτὸν ἀγάπην πίστιν τε καὶ ὁμολογίαν ἐπιδειξαμένους, καὶ τὸ παράδοξον ὅτι οὐκ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας, πᾶσαν ἐπιδειξαμένας κακοπάθειαν καὶ τὸ τελευταῖον ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως διὰ σταυροῦ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησαμένας.

4. Τούτων εἷς ὑπάρχει καὶ ὁ ἡμέτερος στεφανίτης Ἀναστάσιος, οὗ τὸν βίον τὸν ἀπ' ἀρχῆς μέχρι τοῦ μαρτυρίου γράψαι κελευσθείς, αὐτὸν προστήσω τοῦ λόγου τὸν παρ' αὐτοῦ ὁμολογηθέντα

2 κῶδ. *παντελῆ*. — 4 κῶδ. *αἵμασι*. — 8 κῶδ. *ἠλκύσαμεν*. — 10 κῶδ. *πονηρωτάτω*. — 13 κῶδ. *ἐξωλοθρεύσαντι*. — 15 κῶδ. *δηλεῖ*. — 16 τῷ] κῶδ. *τὸ*. — 18 Ῥωμ. ια', 33. — 23 κῶδ. *ἐκλεξάμενος μ. αἵματος*. — 25 κῶδ. *γυναίκας*. — 27 κῶδ. *ἀναδεισαμένας*.

Θεὸν καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ οὕτως ἄρξομαι τῆς διηγήσεως. Οὗτος χώρας μὲν ἦν τῆς Περσίδος Ῥαζὴχ καλουμένης, χωρίου δὲ Ῥασουνί· ὄνομα δὲ αὐτῷ Μαγουνδάτ· υἱὸς δὲ ὑπῆρχεν μάγου τινὸς Βαῦ τοὔνομα, ὃς καὶ διδάσκαλος ὑπάρχων τῶν μαγικῶν μαθημάτων ἐπαίδευσε καὶ αὐτὸν ἐκ παιδόθεν τὰ μαγικά· γενόμενον δὲ νεανίαν συνέβη κρατηθῆναι αὐτὸν εἰς Τήρωνα σὺν ἄλλοις πολλοῖς καὶ εἶναι ἐν τῇ βασιλευούσῃ τῶν Περσῶν πόλει ἐπὶ Χοζρόου τοῦ βασιλέως. Τῆς δὲ Ἁγίας τοῦ Θεοῦ Πόλεως ἁλούσης καὶ τῶν σεβασμίων καὶ προσκυνουμένων τόπων πυρικαύστων γενομένων ἐν τῇ προειρημένῃ ὀργῇ διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐλήφθη καὶ τὰ τίμια ξύλα τοῦ ζωοποιοῦ καὶ πανσέπτου σταυροῦ τοῦ Χριστοῦ καὶ εἰσήχθη ἐν Περσίδι, καὶ—ὦ παραδόξων πραγμάτων—αἰχμάλωτος μὲν ἤγετο ὁ τοῦ Κυρίου σταυρὸς κατὰ τὴν τῶν ἀθέων ὑπόνοιαν, ᾐχμαλώτευσε δὲ μᾶλλον κἀκεῖ τοὺς ἀξίους αὐτοῦ εἰς σωτηρίαν· ἐπιστὰς γάρ, ὡς εἴρηται, τῇ Περσίδι ὁ τίμιος καὶ ζωοποιὸς σταυρὸς τοῦ σωτῆρος, καὶ τὰς τῆς χάριτος καὶ δυνάμεως αὐτοῦ ἀκτῖνας ἐκλάμψας πανταχοῦ, φόβον μὲν καὶ κατάπληξιν τοῖς ἀπίστοις ἐνετίθει, χαρὰν δὲ καὶ εὐφροσύνην ταῖς καρδίαις τῶν πιστῶν ἐνεποίει. Φήμης δὲ πανταχοῦ τῆς χώρας διαθεούσης περὶ αὐτοῦ, ἠρώτα ὁ προειρημένος Τήρων Μαγουνδὰτ ὁ καὶ Ἀναστάσιος τὸ τί ἂν εἴη· καὶ ἀκούσας λεγόντων, ὅτι ὁ Θεὸς τῶν χριστιανῶν εἴη ἐνταῦθα, εὐθέως ὥσπερ γῆ ἀγαθὴ δεξαμένη ὑετὸν ἐπιτηδεία πρὸς καρποφορίαν γίνεται, οὕτω κἀκεῖνος τότε δεξάμενος τὸ πολύτιμον ὄνομα τοῦ Θεοῦ ἐν τῷ βάθει τῆς ἑαυτοῦ καρδίας ὥσπερ θησαυρὸν ἄσυλον ἐναπέθετο. Εἶτα ἐνθυμούμενος καθ' ἑαυτὸν "πῶς οἷόν τε τὸν Θεὸν τὸν μέγαν τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ—ὃν, ὡς ἀκούω, οἱ χριστιανοὶ σέβονται—ἐλθεῖν ἐνταῦθα", ἐπιμελέστερον ἐπύθετο καὶ ἔμαθεν παρά τινων, ὅτι οὗτός ἐστιν ὁ σταυρός, ἐν ᾧ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ἐσταυρώθη, ὃν οἱ χριστιανοὶ προσκυνοῦσι. Θαυμάσας δὲ καὶ ἐκπλαγεὶς ἐπὶ τούτῳ ὁ προειρημένος τοῦ Χριστοῦ δοῦλος Ἀναστάσιος, οὐκ ἐπαύσατο ἀπὸ τότε πολυπραγμονῶν περὶ

17 κῶδ. *ἀκτίνας.* — 18 κῶδ. *ἐνετίθη.* — 20 κῶδ. *ἠρῶτα.* — 22 κῶδ. *ἑτὸν πιτηδία.* — 25 κῶδ. *ὅιοντε.* — 30 κῶδ. *τοῦτο.*

τοῦ χριστιανισμοῦ, καὶ ὅσῳ πλέον ἐν τῇ ἀκοῇ τὰ τῆς ἀληθείας παρεδέχετο, τοσούτῳ μᾶλλον τῆς αὐτοῦ καρδίας τὰ τῆς μαγικῆς ἀπάτης ὑπεχώρει· ὥσπερ γὰρ ὑποφεύγει τῷ μὲν φωτὶ τὸ σκότος, τῷ δὲ ἡλίῳ ἡ σκιὰ καὶ τῷ πυρὶ ὁ καπνός, οὕτω καὶ τοῖς τῆς ἀληθείας δόγμασιν ἡ πλάνη ἐξαφανίζεται.

5. Ἔχων δὲ ἀδελφὸν Σαρακηνὸν ὁ μακάριος στρατιώτην, ἐγένετο σὺν αὐτῷ ἐν τῷ στρατῷ, τῷ ὑπὸ τοῦ Σαΐν ἀγομένῳ, καὶ ἦλθεν ἕως Καρχηδόνος. Τοῦ δὲ ἐν ἁγίοις Φιλιππικοῦ τῷ τότε χρόνῳ δομεστίκου τῶν σχολῶν ὑπάρχοντος ἐπὶ Μαυρικίου τοῦ βασιλέως καὶ ἀντιπερισπάσαντος αὐτὸν καὶ εἰσελθόντος ἐν Περσίδι ἀκούσας ὁ Σαΐν ὑπέστρεψε κατόπισθεν αὐτοῦ, καὶ οὕτως συνέβη τὸν δοῦλον τοῦ Θεοῦ Ἀναστάσιον σὺν τῷ Περσικῷ στρατῷ ἐλθεῖν ἕως τῶν μερῶν τῆς Ἀνατολῆς· κἀκεῖθεν ἀναχωρήσας τοῦ στρατοῦ καὶ καταλιπὼν τὸν ἴδιον ἀδελφὸν ἦλθεν εἰς Ἱεράπολιν καὶ κατήχθη πρός τινα χριστιανὸν Πέρσην, ἀργυροκόπον τὴν τέχνην, καὶ ἔμεινεν παρ' αὐτῷ· ἔμαθεν δὲ καὶ αὐτὸς καὶ εἰργάζετο σὺν αὐτῷ. Ὡς δὲ ἐπλεόνασεν αὐτῷ ὁ πόθος τοῦ φωτισθῆναι, παρεκάλει πολλὰ τὸν προειρημένον ἄνδρα, ὥστε ἀξιωθῆναι τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος· ὁ δὲ ὑφορώμενος διὰ τὸν τῶν Περσῶν φόβον μὴ κινδυνεύσῃ ἐκ τούτου, ὑπερετίθετο· ὅμως σὺν αὐτῷ ἀπῄει εἰς τὰς ἐκκλησίας καὶ ἠΰχετο καὶ τὰς ἱστορίας τῶν ἁγίων μαρτύρων ἑώρα καὶ ἐπυνθάνετο παρ' αὐτοῦ τὸ τί ἂν εἴη ταῦτα. Καὶ ἀκούων παρ' αὐτοῦ τῶν ἁγίων τὰ θαύματα καὶ τὰς ἀφορήτους βασάνους, τὰς ἐπαχθείσας αὐτοῖς παρὰ τῶν τυράννων, καὶ τὴν ὑπεράνθρωπον αὐτῶν ὑπομονήν, ἐθαύμαζέν τε καὶ ἐξίστατο.

6. Μείνας οὖν χρόνον ὀλίγον παρὰ τῷ εἰρημένῳ φιλοχρίστῳ ἀνδρί, ἀρίστην ἐπιθυμίαν εἰσδέχεται τῇ ψυχῇ, εἰς Ἱεροσόλυμα παραγενέσθαι κἀκεῖσε τοῦ ἁγίου ἀξιωθῆναι βαπτίσματος. Καὶ δὴ ταύτην εἰς πέρας ἀγαγὼν τὴν βουλὴν τῇ τοῦ Θεοῦ εὐδοκίᾳ, ἔρ-

3 κῶδ. *ὑπὸ φεύγει.* — 4 κῶδ. *σκιᾶ.* — 9 κῶδ. *δομεστήκου.* — 10 κῶδ. *ἀντὶ περὶ σπάσαντος.* — 15 κῶδ. *πέρσιν.* — 16 κῶδ. *ἠργάζετο.* — 19 κῶδ. *ὑφορόμενος.* — 20 κῶδ. *ἀπείη.* — 21 κῶδ. *ἱστορίας* || κῶδ. *ἐῶρα.* — 24 κῶδ. *ἐπαχθήσας* || κῶδ. *ὑπὲρ ἄνθρωπον.*

χεται εἰς τὴν Ἁγίαν Πόλιν καὶ μένει πρός τινα φιλόχριστον ἄνδρα, ἀργυροκόπον τὴν τέχνην· καὶ θαρρήσας αὐτῷ τὴν πᾶσαν αὐτοῦ ἐπιθυμίαν, ὅτι βούλεται τῷ Χριστῷ προσελθεῖν καὶ ἀξιωθῆναι τῆς δωρεᾶς τοῦ ἁγίου βαπτίσματος, προσήχθη παρ' αὐτοῦ Ἠλίᾳ τῷ ὁσιωτάτῳ πρεσβυτέρῳ τῆς Ἁγίας Ἀναστάσεως. Ὁ δὲ τοῦτον ὡς θεόπεμπτον ὑποδεξάμενος υἱόν, καὶ ἀναγαγὼν τὰ κατ' αὐτὸν Μοδέστῳ τῷ ὁσιωτάτῳ πρεσβυτέρῳ τῆς Ἁγίας Ἀναστάσεως, τῷ τηνικαῦτα τοποτηρητῇ ὄντι τοῦ ἀποστολικοῦ θρόνου, ἐποίησεν αὐτὸν βαπτισθῆναι μετὰ καὶ ἑτέρου ὁμοιοτρόπου, ὡσαύτως τῆς αὐτῆς χώρας καὶ θρησκείας ὑπάρχοντος· ὃς καὶ αὐτὸς τὸ μακάριον τέλος ὑπὲρ Χριστοῦ δεξάμενος ἐν Ἐδέσῃ τῇ πόλει τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Ποιήσαντος δὲ ἐν τῷ οἴκῳ αὐτοῦ τὰς ὀκτὼ ἡμέρας τοῦ φωτίσματος ἠρώτα τὸν μακάριον Ἀναστάσιον ὁ ὁσιώτατος πρεσβύτερος Ἠλίας τὸ τί βούλεται τὸ λοιπόν· ὁ δὲ παρεκάλει αὐτὸν λέγων· " Ποίησόν με μοναχόν ". Μετὰ οὖν τὴν ἀπόλυσιν εὐθέως παραλαβὼν αὐτὸν ἀπήγαγεν εἰς τὴν μονὴν τοῦ ἐν ἁγίοις ἀββᾶ Ἀναστασίου, ὡς ἀπὸ τεσσάρων σημείων τῆς Ἁγίας Πόλεως διακειμένην, καὶ πολλὰ παρακαλέσας σὺν καὶ ἄλλοις τὸν τῆς προειρημένης εὐαγοῦς μονῆς προεστῶτα, Ἰουστῖνον φημί, ἄνδρα τά τε ἄλλα ἐπιφανῆ καὶ πλήρη τῶν παρὰ τοῦ Θεοῦ ἀγαθῶν, παρέδωκεν αὐτῷ τὸν δοῦλον τοῦ Θεοῦ Ἀναστάσιον. Ὃς τοῦτον παραλαβὼν τῇ ἑαυτοῦ συνοδίᾳ συνηρίθμησεν ἰνδικτιῶνι θ', βασιλεύοντος Ἡρακλείου τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἔτους ι' τῆς βασιλείας αὐτοῦ· ἔδωκεν δὲ αὐτῷ ἐπιστάτην ἕνα τῶν ἑαυτοῦ γνησίων μαθητῶν ὁ ἀββᾶς, ἄνδρα συνετόν, ὃς καὶ ἐδίδαξεν αὐτὸν τὰ γράμματα ἑλληνιστὶ καὶ τὸ Ψαλτήριον, καὶ ἀποθρίξας αὐτὸν καὶ τὸ ἅγιον σχῆμα τῶν μοναχῶν ἐνδύσας υἱὸν ἀνέτρεφεν γνήσιον.

7. Ἐποίησε δὲ καὶ διακονίας διαφόρους ἐν τῇ μονῇ ὁ μακά-

1 κῶδ. *φιλόχρηστον*. — 2 κῶδ. *αὐτοῦ*. — 4 κῶδ. *ἡλία*. — 11 κῶδ. *ἐναιδέσει*. — 13 κῶδ. *ὀκτῶ* || κῶδ. *ἡρῶτα* || ὁ] κῶδ. *ὠ*. — 14 κῶδ. *ἡλίας*. — 17 κῶδ. *ἀββα*. — 19 κῶδ. *εὐαγοὺς*. — 23 κῶδ. *ἠρακλείου*. — 25 κῶδ. *μαθητὸν*. — 26 κῶδ. *ἑλληνιστῆ*. — 27 κῶδ. *ἐνδήσας*.

*

ριος, τήν τε τοῦ μαγειρείου καὶ τοῦ κήπου, διαπρέψας ἐν αὐταῖς τῇ τοῦ Κυρίου χάριτι· ἦν γὰρ σπουδαῖος πάνυ ἔν τε τῇ διακονίᾳ τῶν ἀδελφῶν καὶ ἐν τῷ ἐργοχείρῳ, καὶ πρὸ τούτων ἐν τῷ κανόνι τῆς θείας λειτουργίας. Καὶ ἀκούων ἀδιαλείπτως τάς τε θείας Γραφὰς ἀναγινωσκομένας καὶ τοὺς βίους τῶν ἁγίων πατέρων ἐτίθει τὸν νοῦν ἑαυτοῦ ἀκριβῶς, καὶ εἴ τι δ' ἂν μὴ ἐνόησεν, ἠρώτα τὸν ἑαυτοῦ ἐπιστάτην, ἱκανὸν ὄντα ἐν πᾶσιν, ἢ καὶ τοὺς προύχοντας τῶν ἀδελφῶν· καὶ μανθάνων παρ' αὐτῶν ἃ ἐπεζήτει, ἐθαύμαζεν δοξάζων τὸν Θεόν. Ἀναγινώσκων δὲ καθ' ἑαυτὸν ἐν τῷ κελλίῳ τοὺς ἀγῶνάς τε καὶ ἄθλους τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων ἐδάκρυεν πολλὰ καὶ ἐποτνιᾶτο, ἐν τῷ κρυπτῷ ταμείῳ τῆς ἑαυτοῦ καρδίας τὴν ἐπιθυμίαν τρέφων τοῦ καὶ αὐτὸν ἀξιωθῆναί ποτε τοῦ ἴσου τοῖς ἁγίοις ἀγῶνος, εἰς ἔπαινον καὶ δόξαν Χριστοῦ. Τοῦτο δὲ ἔγνωμεν ἡμεῖς ἐν τῷ θαυμάζειν αὐτὸν καὶ ἐκπλήττεσθαι τὴν ὑπομονὴν τῶν ἁγίων καὶ μηδὲν ἄλλο σχεδὸν ἀναγνῶναι θέλων, ἢ ταῦτα τὰ τὴν φλόγα τρέφοντα τῆς ἐπιθυμίας ἐκείνης. Διετέλεσεν δὲ ἐν τούτοις ὁ μακάριος ἐν τῇ μονῇ ἔτη ἑπτά.

8. Βλέπων δὲ ὁ πονηρὸς τὴν τοιαύτην καὶ τοσαύτην αὐτοῦ εἰς Θεὸν ἀγάπην, ὡς ἂν ταύτην ἀμβλύνῃ καὶ εἰς ἀπόγνωσιν ἐνέγκῃ τὸν δοῦλον τοῦ Θεοῦ, ὑπέβαλλεν αὐτῷ λογισμοὺς πονηροὺς καὶ μνήμας τῶν μαγικῶν ἐκείνων ῥημάτων, ὧν παρὰ τοῦ ἰδίου πατρὸς μεμάθηκεν, καθὰ προεῖπον, καὶ ἔθλιβεν αὐτὸν ἐν τούτοις σφόδρα. Ὁ δὲ γνοὺς τοῦ Διαβόλου εἶναι τὴν πανουργίαν, ηὔχετο μὲν τῷ Θεῷ ῥυσθῆναι τῆς ἐπιβουλῆς τοῦ Διαβόλου, τῷ ἀββᾷ δὲ τὰ τῆς ἑαυτοῦ καρδίας ἀπογυμνώσας μετὰ πολλῶν δακρύων ἠξίου εὔχεσθαι ὑπὲρ αὐτοῦ πρὸς τὸν Θεὸν ἐλευθερῶσαι αὐτὸν τῆς μεθοδείας τοῦ ἀντικειμένου. Νουθετήσας δὲ αὐτὸν καὶ στηρίξας κατὰ τὴν δεδομένην αὐτῷ παρὰ Θεοῦ σύνεσιν ὁ πατήρ, καὶ ποιήσας εὐχὴν ὑπὲρ αὐτοῦ ἐπ' ἐκκλησίας, τοῦ τοιούτου ἀπήλ-

1 κῶδ. *μαγηρίου*. — 3 κῶδ. *κανῶνι*. — 5 κῶδ. *ἐτίθη*. — 6 κῶδ. *ἠρῶτα*. — 7 κῶδ. *ἱκανὸν* || *προῦχοντας*. — 10 κῶδ. *καλληνίκων*. — 20 κῶδ. *ἀμβλύνει*. — 23 κῶδ. *πρὸ εἶπον*. — 24 κῶδ. *γνοῦς*. — 26 κῶδ. *ἀπὸ γυμνῶσας*. — 28 κῶδ. *μεθοδίας*.

ἦλθε πολέμου, καὶ μεθ' ἡμέρας ὀλίγας ὄναρ ἐθεάσατο νυκτὸς ὁ τοῦ Θεοῦ δοῦλος Ἀναστάσιος τοιοῦτον. Ἑώρα ἑαυτὸν ἐν ὄρει ἱστάμενον ὑψηλῷ καί τινα πρὸς αὐτὸν ἐλθόντα καὶ ἐπιδεδωκότα αὐτῷ ποτήριον οἴνου χρυσοῦν καὶ διάλιθον, εἰρηκότα αὐτῷ "λάβε πίε"· ὃ καὶ δεξάμενος ἔπιεν. Εὐθέως δὲ ὥσπερ ἔνθους γενόμενος καὶ ἐπιτυχὼν τοῦ ποθουμένου, ἀναστὰς ἦλθεν ἐν τῇ ἐκκλησίᾳ εἰς τὸν κανόνα τῆς νυκτερινῆς ψαλμῳδίας, ἐπιφωσκούσης τῆς ἁγίας Κυριακῆς, καὶ προτρεψάμενος τὸν ἀββᾶν εἰσῆλθεν εἰς τὸ Διακονικόν. Προσέπεσεν αὐτῷ παρακαλῶν μετὰ δακρύων εὔξασθαι ὑπὲρ αὐτοῦ, ὡς μέλλοντος ἀποθνήσκειν ἐν αὐταῖς ταῖς ἡμέραις, καὶ ἤρξατο τὰ ἐξηγητήρια ῥήματα φθέγγεσθαι λέγων οὕτως· "Οἶδα, πάτερ, ὅσους κόπους ἔσχες εἰς ἐμὲ τὸν ταλαίπωρον, καὶ ὅτι διὰ σοῦ ὁ Θεὸς ἤγαγέν με ἐκ σκότους εἰς τὸ φῶς καὶ ὅτι πολλά σε ἔθλιψα· ἀλλ' εὔχου ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον". Λέγει αὐτῷ ὁ ἀββᾶς· "Τί γάρ ἐστι τὸ πρᾶγμα, τέκνον, καὶ πόθεν δῆλον, ὅτι μέλλεις ἀποθνήσκειν ἐν ταύταις ταῖς ἡμέραις"; Ὁ δὲ διηγήσατο αὐτῷ τὸ ὅραμα καὶ διισχυρίζετο, ὅτι πάντως μέλλει ἐν ταύταις ταῖς ἡμέραις ἀποθνήσκειν, εἴτε τὸν κοινὸν θάνατον, εἴτε καὶ ἄλλως πως· ἐφοβεῖτο γὰρ φανερῶς εἰπεῖν, ἵνα μὴ ἐπιτιμήσῃ αὐτῷ.

9. Εἶτα παρακληθεὶς τὴν καρδίαν ταῖς πολλαῖς καὶ παντοδαπαῖς παραινέσεσι τοῦ ἀββᾶ ἐπλήρωσε τὸν κανόνα μετὰ τῶν ἀδελφῶν, καὶ τῆς συνάξεως γενομένης, μεταλαβὼν τῶν θείων καὶ ζωοποιῶν τοῦ Θεοῦ μυστηρίων καὶ ἀριστήσας μετὰ τῶν πατέρων, ὑπνώσας τε μικρὸν καὶ διαναστάς, οὐκ ἐνεγκὼν τῆς ἑαυτοῦ καρδίας τὴν πύρωσιν ἐξῆλθε λάθρα τῆς μονῆς, μηδὲν λαβὼν παντελῶς, εἰ μὴ ἃ ἐφόρει, καὶ ἀπῆλθεν ἐν Διοσπόλει· κακεῖθεν εἰς τὸ Γαρίζειν ὄρος εὐξάμενος καὶ εἰς τοὺς λοιποὺς ἐκεῖσε σεβασμίους τόπους, ὁδηγούμενος ὑπὸ τῆς χάριτος τοῦ ἁγίου πνεύματος, ἔρχεται ἕως Καισαρείας τῆς Παλαιστίνης καὶ ἔμεινεν ἐν τῷ οἴκῳ τῆς πανυμνήτου καὶ θεοτόκου Μαρίας δύο ἡμέρας. Κατ' οἰκονομίαν δὲ

1 κῶδ. *ὀλίγας ὄναρ.* — 2 κῶδ. *ἐῶρα* || κῶδ. *ὄρει ἱστάμενον.* — 3 κῶδ. *τινὰ.* — 6 κῶδ. *επιτυχῶν* || κῶδ. *ἀναστᾶς.* — 12 ἀπόγρ. *ταλαίπορον.* — 17 κῶδ. *ὅραμα.* — 19 κῶδ. *ἐφοβῆτο.* — 22 κῶδ. *μετὰ λαβὼν.* — 26 κῶδ. *ἐφόρη.* — 27 Γαρίζειν] Παρὰ τῷ Μεταφράστῃ *Γαριζὶν.* Migne τ. 114, σ. 784. — 29 κῶδ. *καισαρίας.*

τῆς πάντα σοφῶς καὶ δικαίως καὶ φιλανθρώπως ἀγούσης προνοίας προελθὼν ἐπὶ τὴν Ἁγίαν Εὐφημίαν εὐχῆς χάριν, εἶδεν παρερχόμενος ἔν τινι οἴκῳ τοὺς τῶν Περσῶν μάγους μαγεύοντας, καὶ ζήλῳ θεϊκῷ φερόμενος εἰσελθὼν πρὸς αὐτοὺς λέγει· "Τί πλανᾶσθε καὶ πλανᾶτε ἐν ταῖς φαρμακείαις ὑμῶν"; Ἐκπλαγέντες δὲ οἱ ἄνδρες ἐπὶ τῇ τοσαύτῃ αὐτοῦ παρρησίᾳ, ἐπηρώτων αὐτόν "Τίς εἶ καὶ πόθεν, ὅτι ταῦτα λέγεις πρὸς ἡμᾶς"; Ὁ δὲ εἶπεν αὐτοῖς· "Κἀγὼ καθ' ὑμᾶς ἤμην ποτὲ καὶ οἶδα τὰς γοητείας ὑμῶν". Καὶ ἀρξαμένου αὐτοῦ διελέγχειν αὐτούς, φιμωθέντες ἐκεῖνοι παρεκάλεσαν μὴ δημοσιεῦσαι τὰ κατ' αὐτούς, καὶ ἀπέλυσαν αὐτόν. Καὶ ὡς ἀπῆλθεν ὀλίγον ἀπ' αὐτῶν, εἶδον αὐτόν τινες τῶν καβαλλαρίων, καθήμενοι ἔμπροσθεν τοῦ δερβᾶς, ὅ ἐστι πραιτώριον τοῦ σελλαρίου, καὶ λέγουσιν πρὸς αὐτοὺς τῇ ἰδίᾳ γλώσσῃ· "Οὗτος δηλάτωρ ἐστίν". Ἀκούσας δὲ ὁ μακάριος Ἀναστάσιος ταῦτα αὐτῶν λεγόντων, ἐμβλέψας εἰς αὐτοὺς λέγει· "Τί φλυαρεῖτε; ἐγὼ δηλάτωρ οὐκ εἰμί, ἀλλὰ δοῦλος Ἰησοῦ Χριστοῦ, καὶ καλλίων ὑμῶν εἰμι, ἐπεὶ καὶ ἐγώ ποτε καθ' ὑμᾶς καβαλλάριος ἤμην"· οἱ δὲ ἀναστάντες ἐκράτησαν αὐτόν. Καὶ ἐξελθὼν ὁ σελλάριος καὶ ἀνακρίνας αὐτὸν τὸ πόθεν ἐστίν, καὶ πάντα ἀκριβῶς τὰ κατ' αὐτὸν ἐξετάσας ἐφύλαξεν αὐτὸν τρεῖς ἡμέρας· ἐν αἷς ἡμέραις οὐκ ἠνέσχετο δέξασθαί τι παρ' αὐτῶν τροφῆς ἕνεκα, ὑφορώμενος τὸν δόλον αὐτῶν.

10. Ἐλθόντος δὲ τοῦ Μαρζαβανᾶ, οὐ γὰρ ἦν ἐν Καισαρείᾳ, ὅτε ἐκρατήθη ὁ τοῦ Θεοῦ δοῦλος Ἀναστάσιος, ἀνήγαγεν αὐτῷ τὰ κατ' αὐτὸν ὁ εἰρημένος σελλάριος, καὶ ἤγαγεν αὐτὸν εἰς τὸ πραιτώριον αὐτοῦ. Ἀσχολουμένου δὲ τοῦ Μαρζαβανᾶ περὶ ἄλλα πράγματα, εὑρέθη τις ἀνὴρ φιλόχριστος, ὃς καὶ ἐγνώρισεν τὸν μακάριον, ὄντα ἐν τῷ οἴκῳ τῆς ἁγίας Μαρίας τῆς Θεοτόκου· καὶ συντυχὼν αὐτῷ καὶ μαθὼν τὰ κατ' αὐτὸν ἐμακάρισέν τε αὐτὸν

2 κῶδ. *πρὸ ἐλθὼν* || κῶδ. *ἴδεν.* — 4 κῶδ. *πλανᾶσθαι.* — 5 κῶδ. *φαρμακίαις.* — 6 ἀπόγρ. *ἐπηρῶτον.* — 8 κῶδ. *καθ' ἡμᾶς* || κῶδ. *οἶδα τ. γ. ἡμῶν.* — 9 κῶδ. *φημωθέντες ἐκείνοι.* — 10 ὡς] κῶδ. *ὃς* || κῶδ. *ὀλίγον.* — 11 κῶδ. *ἴδων.* — 12 *Δέρβας* παρὰ τῷ Μεταφράστῃ. — 13 κῶδ. *αὐτοὺς.* — 16 κῶδ. *καλλίον ἡμῶν - - - ἡμᾶς.* — 21 κῶδ. *ὑφορόμενος.* — 22 κῶδ. *οὐκ* || κῶδ. *καισαρία.* — 26 κῶδ. *φιλόχρηστος.* — 27 ἀπόγρ. *θεοτοκοῦ.*

τῆς καλῆς ἀρχῆς καὶ ἐνεδυνάμωσε τοῖς θείοις λόγοις, τοῦ μὴ φοβηθῆναι προσκαίρους βασάνους, μηδὲ θάνατον τὸν ὑπὲρ Χριστοῦ, ἀλλὰ θαρσαλέως ἀποκρίνασθαι τῷ Μαρζαβανᾷ, εἰπὼν ὅτι "ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται". Εἰσήχθη δὲ ὁ τοῦ Θεοῦ δοῦλος καὶ ἔστη ἔμπροσθεν τοῦ Μαρζαβανᾶ, μὴ προσκυνήσας αὐτόν, κατὰ τὸ κρατοῦν παρ' αὐτοῖς ἔθος· καὶ ἀτενίσας εἰς αὐτὸν ἐπὶ πολὺ λέγει· "Πόθεν εἶ καὶ τί ὑπάρχεις"; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· "Ἐγὼ χριστιανὸς ἀληθινός εἰμι· εἰ δὲ θέλεις μαθεῖν καὶ τὸ πόθεν εἰμί, Πέρσης μὲν εἰμὶ τῷ γένει, τῆς χώρας Ῥαζὴχ χωρίου Ῥασουνὶ τρίτου, καβαλλάριος δὲ ἤμην καὶ μάγος καὶ κατέλιπον τὸ σκότος καὶ ἦλθον εἰς τὸ φῶς". Λέγει αὐτῷ ὁ Μαρζαβανᾶς· "Ἄφες τὴν πλάνην ταύτην καὶ ἐπίστρεψον εἰς τὴν πρώτην σου θρησκείαν, καὶ παρέχομέν σοι καὶ ἄλογα καὶ μιλιαρίσια καὶ συγκρότησιν μεγάλην". Ὁ δὲ ἀποκριθεὶς εἶπεν· "Μὴ δῴη μοι ὁ Θεὸς ἀρνήσασθαι τὸν Χριστόν μου". Λέγει αὐτῷ ὁ Μαρζαβανᾶς· "Ἀρέσκει σοι οὖν φορεῖν τὸ σχῆμα ὃ ἐνδέδυσαι"; Ὁ δὲ εἶπεν· "Τὸ σχῆμα τοῦτο καύχημά μου ἐστίν". Λέγει αὐτῷ ὁ Μαρζαβανᾶς· "Δαίμονα ἔχεις"; Ἀπεκρίθη ὁ μακάριος· "Ὅτε ἤμην ἐν τῇ πλάνῃ, εἶχον δαίμονα· νῦν δὲ ἔχω τὸν Χριστόν μου τὸν διώκοντα τοὺς δαίμονας". Ἀπεκρίθη αὐτῷ ὁ Μαρζαβανᾶς· "Οὐ φοβῇ τὸν βασιλέα, μήπως μαθὼν τὰ περὶ σοῦ κελεύσῃ σε σταυρωθῆναι"; Ὁ δὲ εἶπεν· "Διὰ τί ἔχω φοβηθῆναι; ἄνθρωπός ἐστι φθαρτός, ὥσπερ καὶ σύ".

11. Τότε ἀγανακτήσας κελεύει αὐτὸν σιδηρωθέντα ἀπενεχθῆναι ἐν τῷ κάστρῳ καὶ παρακομίζειν λίθους ἀνενδότως· ἐν δὲ τῷ παρακομίζειν αὐτὸν τοὺς λίθους πολλὰς καὶ ἀφορήτους θλίψεις ὑπέμενεν ὁ τοῦ Χριστοῦ δοῦλος· τινὲς γὰρ τῆς χώρας αὐτοῦ ὁρῶντες αὐτὸν καὶ ἰδίαν αἰσχύνην νομίζοντες τὰ εἰς αὐτὸν γινόμενα, προσήρχοντο αὐτῷ λέγοντες· "Τί τοῦτο ἐποίησας ἡμῖν; οὐδείς ποτε τῆς χώρας ἡμῶν γέγονε χριστιανός, καὶ ἰδοὺ ἐποίησας ἡμῖν κα-

4 Ματθ. ι', 22. κδ' 13. Μάρκ. ιγ', 13. — 7 τί] κῶδ. τή. — 10 κῶδ. ῥασουνή. — 12 κῶδ. θρισκείαν. — 16 κῶδ. ἐνδέδυσε. — 20 κῶδ. φοβεῖ. — 21 κῶδ. κελεύσει. — 24 ἀπόγρ. σιδερωθέντα. — 26 κῶδ. ὑπέμεινεν.

τάγελων"· καὶ παντοίοις ἀπάτης λόγοις προσεκαλοῦντο αὐτὸν πρὸς ἑαυτούς· ὁ δὲ ὕβριζεν αὐτοὺς καὶ ἀπέπεμπεν. Ἐμμανεῖς δὲ γενάμενοι οἱ ἄθλιοι, καθ' ἑκάστην προσερχόμενοι ἔτιλλον αὐτοῦ τὸν πώγωνα καὶ ἔτυπτον αὐτὸν ἀφειδῶς καὶ περιέσχιζον τὰ ἱμάτια αὐτοῦ· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ λίθους, οὓς τέσσαρες ἐξ αὐτῶν ἐβάσταζον, ἐπετίθουν αὐτῷ, καὶ ταῦτα συνδέτην ἔχοντι καὶ μίαν μὲν ἄλυσιν κατὰ τὸν τράχηλον, ἑτέραν δὲ κατὰ τοὺς πόδας φέροντι. Καὶ ἕτερα πολλὰ πάνδεινα καὶ χαλεπὰ ἐνεδείξαντο εἰς αὐτόν, ὁ δὲ γενναῖος ἀθλητὴς πάντα ἔφερεν διὰ τὸν Χριστὸν χαίρων.

12. Πάλιν δὲ μεθ' ἡμέρας τινὰς ἐκέλευσεν ὁ Μαρζαβανᾶς παραστῆναι αὐτὸν καὶ εἶπεν αὐτῷ· "Εἰ ἀληθῶς, ὡς εἶπας, μάγου υἱὸς γέγονας καὶ οἶδας τὰ μαγικά, εἰπέ μοί τι ἐξ αὐτῶν, ἵνα γνῷ". Ὁ δὲ ἀποκριθεὶς εἶπεν· "Μὴ δῴη μοι ὁ Θεὸς ἐξελθεῖν ἐκ τοῦ στόματός μου ποτέ τι τοιοῦτον". Λέγει αὐτῷ ὁ Μαρζαβανᾶς· "Τί οὖν ἐπιμένεις τοῖς αὐτοῖς; ἐπίστρεψον εἰς τὴν πρώτην σου θρησκείαν, ἐπεὶ γράφω τῷ βασιλεῖ περὶ σοῦ". Ὁ δὲ ἀποκριθεὶς εἶπεν· "Ἔγραψας καὶ ἐδέξω τὰ ἀντίγραφα· ποίει ὃ θέλεις". Καὶ ὁ Μαρζαβανᾶς εἶπεν· "Οὐκ ἔγραψα, ἀλλὰ γράφω, καὶ εἴ τι κελεύει, ποιῶ". Ὁ δὲ λέγει· "Ὕπαγε, γράψον ὅσα θέλεις κακὰ περὶ ἐμοῦ· ἐγὼ γὰρ χριστιανός εἰμι". Λέγει ὁ Μαρζαβανᾶς· "Δεθήτω καὶ τυπτέσθω, ἕως ἂν ὁμολογήσῃ ποιεῖν τὰ κελευόμενα αὐτῷ". Μέλλων δὲ δεσμεῖσθαι ὁ τοῦ Θεοῦ δοῦλος Ἀναστάσιος λέγει αὐτοῖς· "Ἐάσατέ με· οὐ χρείαν ἔχω δεσμῶν"· καὶ καθίσας ἐσχημάτισεν ἑαυτόν, ὃν τρόπον ἔμελλε δεσμεῖσθαι παρ' αὐτῶν, καὶ ἤρξαντο τύπτειν αὐτὸν τοῖς ῥοπάλοις· εἶπεν δὲ αὐτοῖς ὁ ἅγιος· "Ἐκδύσατέ με τὸ σχῆμα, ἵνα μὴ ὑβρισθῇ, καὶ οὕτως τύπτετε ἐπὶ τῶν σαρκῶν μου· ταῦτα γὰρ ἃ ποιεῖτε, παίγνια εἰσίν· ἐμὲ γὰρ κατὰ μέλος ἐὰν τέμνητε, τὸν Χριστόν μου οὐκ ἀρνοῦμαι". Πάλιν δέ φη-

1 κῶδ. *κατάγελως καὶ παντίοις.* — 3 κῶδ. *ἔτιλον.*—6 κῶδ. *σὺν δέτην ἔχοντα.*— 7 κῶδ. *ἄλυσιν κ. τοῦ τραχήλου.* — 9 κῶδ. *γενναίως ἀθλητῆς.* — 13 κῶδ. *οἶδας* || κῶδ. *γνώ.* — 16 κῶδ. *θρισκείαν.* — 18 κῶδ. *ἐδέξο.* — 20 δεθήτω] κῶδ. *τεθείτω.*— 22 κῶδ. *ἔως.* — 34 κῶδ. *τίπτεται.* — 28 κῶδ. *ποιεῖται.* — 29 κῶδ. *τέμνηται.*

σιν ὁ Μαρζαβανᾶς· "Πείσθητί μοι, ἐπεὶ γράφω τῷ βασιλεῖ περὶ σοῦ". Ὁ δὲ ἀποκριθεὶς εἶπεν· "Ἄπελθε, γράψον τῷ βασιλεῖ, εἴ τι θέλεις".—"Τί οὖν", φησίν, "οὐ φοβῇ τὸν βασιλέα"; Ὁ δὲ μακάριος ἀπεκρίνατο· "Διὰ τί ἔχω φοβηθῆναι τὸν βασιλέα σου; οὐκ ἔστιν ἄνθρωπος, ὡς καὶ σύ; καθὼς ἀποθνήσκεις, οὐκ ἀποθνήσκει; καθὼς φθείρῃ, οὐ φθείρεται; τίνα οὖν φοβηθῶ; ἐκεῖνον τὸν φθειρόμενον, καθάπερ καὶ σύ; τὸν ὅμοιόν σου πηλόν, ἢ τὸν Χριστόν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν"; Ἐκπλαγεὶς δὲ ὁ σοβαρὸς ἐκεῖνος καὶ ἀλαζὼν ἐπὶ τῇ παρρησίᾳ τοῦ μάρτυρος, ἐκέλευσεν ἀπενεχθῆναι αὐτὸν ἐν τῷ κάστρῳ· καὶ μεθ' ἡμέρας ὀλίγας πάλιν ἐκέλευσεν αὐτὸν παραστῆναι καὶ λέγει αὐτῷ· "Λαβὼν τὰ μαγικὰ θῦσον, ἵνα μὴ κακῶς ἀποθάνῃς καὶ στερηθῇς τοῦ φωτὸς τούτου". Ἀπεκρίθη ὁ τοῦ Θεοῦ δοῦλος Ἀναστάσιος καὶ εἶπεν αὐτῷ· "Ποίοις θεοῖς κελεύεις με θῦσαι, ὦ δικαστά; τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ καὶ τῷ πυρὶ καὶ τῷ ἵππῳ; οὐκοῦν καὶ τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ πᾶσι τοῖς λοιποῖς; ἀλλὰ μὴ δώῃ μοι ὁ Θεός ποτε προσκυνῆσαι τοῖς σεβάσμασιν ὑμῶν· ταῦτα γὰρ πάντα ὁ Χριστὸς ἐποίησεν εἰς δουλείαν ἡμῶν τῶν ἀνθρώπων· ὑμεῖς δὲ πλανώμενοι δουλεύετε τοῖς κτίσμασι καὶ τοῖς δαίμοσιν, ἄνθρωποι ὄντες, ἀγνοοῦντες τὸν ποιήσαντα ὑμᾶς Θεόν· εἰ γὰρ ἐγινώσκετε τὸν Θεόν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ ὑμεῖς εἴχετε ἐπιστρέψαι πρὸς τὸ φῶς τὸ ἀληθινὸν καὶ ῥυσθῆναι ἐκ τῶν δαιμόνων τῶν πλανώντων ὑμᾶς". Ταῦτα δὲ ὁ ἀψευδὴς Θεὸς ὁ ἐπαγγειλάμενος τοῖς διὰ τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον πάσχουσι δοῦναι "στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι", ἐκ στόματος ἰδιώτου καὶ ἀλλογενοῦς προελθεῖν εὐδόκησεν, εἰς δόξαν μὲν ἑαυτοῦ, στηριγμὸν δὲ τῶν πιστῶν.

13. Τούτοις τοῖς θεοπνεύστοις λόγοις καταπλήξας τοὺς ἐναντίους ὁ τοῦ Χριστοῦ μάρτυς, καὶ τρισὶ στεφανωθεὶς ὁμολογίαις ὁ τῆς εὐσεβείας ἀγωνιστής, αὖθις εἰς τὸ κάστρον ἀπήγετο, τοῖς διὰ

3 κῶδ. *φοβεῖ*.—5 κῶδ. *ἀπὸ θνήσκεις*.—7 κῶδ. *πυλόν*.—10 κῶδ. *ὀλίγας*.—13 κῶδ. *ποίεις*.—15 κῶδ. *ἵππω* || κῶδ. *ὄρεσιν*.—16 *ἀπόγρ. ἀλλά μοι*.—25 Λουκ. κα', 15 || κῶδ *ᾗ* || κῶδ. *ἀντ' εἰπεῖν*. — 26 κῶδ. *ἀλλόγενοῦς πρὸ ἐλθεῖν*. — 30 τοῖς] κῶδ. *τῆς*.

Χριστὸν δεσμοῖς ἐγκοσμούμενος. Μαθὼν δὲ ὁ ὁσιώτατος *, ὁ ἀββᾶς τῆς μονῆς, ἐν ᾗ ὑπῆρχεν ὁ μάρτυς, τήν τε ἔνστασιν τῆς ὁμολογίας αὐτοῦ τῆς εἰς Χριστὸν καὶ τὸ εὐκατάληπτον τῆς πίστεως καὶ τὴν πολλὴν προθυμίαν καὶ ὑπομονὴν αὐτοῦ, ἐχάρη χαρὰν μεγάλην σφόδρα μετὰ πάσης τῆς συνοδίας αὐτοῦ, καὶ τὸν μὲν Θεὸν ἱκέτευε νυκτὸς καὶ ἡμέρας μετὰ πάσης τῆς ἀδελφότητος ὑπὲρ τοῦ τελειῶσαι αὐτοῦ τὸν δρόμον τῆς εἰς αὐτὸν ὁμολογίας, δύο δὲ ἀδελφοὺς πέμψας ἐν Καισαρείᾳ πρὸς τὸν μακάριον γράμμασιν ἀθλητικοῖς ἐπεστήριζεν αὐτοῦ τὴν προθυμίαν. Ἐν δὲ τῷ εἶναι αὐτὸν ἐν τῇ φυλακῇ τοῦ κάστρου, τὸν μάρτυρα τοῦ Χριστοῦ Ἀναστάσιον, οὐκ ἐπαύσατο ψαλμοῖς καὶ ὕμνοις δοξάζων τὸν Θεὸν ἡμέρας καὶ νυκτός· ἔχων δὲ συνδέτην, ὡς εἴρηται, νεώτερόν τινα ἀπόδουλον, ἐπί τινι αἰτίᾳ κεκρατημένον, καὶ μὴ θέλων λυπῆσαι αὐτόν, ἀνίστατο μὲν νυκτὸς τοῦ ἐπιτελέσαι τὸν συνήθη κανόνα τῆς τοῦ Θεοῦ δοξολογίας καὶ ἐπέκλινεν τὸν ἑαυτοῦ αὐχένα τῷ συνδέτῃ κειμένῳ, ἱστὰς καὶ τὸν ποδα ἑαυτοῦ ἐγγὺς τοῦ ποδὸς αὐτοῦ, ἵνα μὴ τῇ τῶν ἁλύσεων ἀποτάσει κόπον παράσχῃ αὐτῷ. Ἐν μιᾷ οὖν νυκτὶ ψάλλοντος αὐτοῦ ἐπηκροᾶτο αὐτοῦ τις τῶν δεσμίων. Ἑβραῖος μὲν τὴν θρησκείαν καὶ τῶν ἐμφανῶν, ἐπιεικὴς δὲ τοὺς τρόπους, ὡς ἐμάθομεν· καὶ εἰδὼς τὸν μακάριον τὴν μὲν ἡμέραν ἐν τῇ τῶν λίθων παρακομιδῇ ταλαιπωρούμενον, νυκτὸς δὲ τῇ προσευχῇ τοῦ Θεοῦ προσκαρτεροῦντα, ἐξίστατο τῇ διανοίᾳ λογιζόμενος τίς ἂν εἴη οὗτος. Ἐπὶ πολὺ οὖν ἀτενίζων εἰς αὐτὸν, κείμενος ἐπὶ τὸ ἔδαφος ἐν τῷ σκότει τῆς νυκτός, ἑστῶτος τοῦ ἁγίου καὶ ψάλλοντος τοὺς ὀρθρινοὺς ὕμνους, θεωρεῖ αἰφνιδίως τινὰς λευχειμονοῦντας, εἰσελθόντας διὰ τῆς θύρας τῆς φυλακῆς καὶ κυκλώσαντας τὸν μακάριον, οἷς καὶ φῶς ἱκανὸν συνεξέλαμψεν. Ἐξέστη δὲ ὁ ἀνὴρ ἐπὶ τῷ θεάματι καὶ εἶπεν ἐν ἑαυτῷ "Ἅγιος ὁ Θεός· οὗτοι ἄγγελοί εἰσιν". Τοῦτο δὲ λογιζόμενος ὁρᾷ τοὺς αὐτοὺς ὡμο-

1 λείπει φαίνεται τὸ ὄνομα τοῦ ἡγουμένου τῆς μονῆς Ἰουστίνου. — 9 τῷ] κῶδ. το. — 10 κῶδ. φυλακι. — 12 κῶδ. τινὰ. — 13 κῶδ. ἐτία. — 16 κῶδ. ἱστὰς. — 17 κῶδ. ἀποτάση.—18 κῶδ. ἐπικροᾶτο.—19 κῶδ. θρισκείαν || κῶδ. ἐπιηκεῖς.— 24 κῶδ. ἑστῶτος. — 25 κῶδ. τινας λευχημονοῦντας. — 27 κῶδ. ἐξέστι. — 29 κῶδ. ὁμοφόρια.

φόρια περικειμένους ἔχοντα σταυρούς, καὶ λέγει ἐν ἑαυτῷ "οὗτοι ἐπίσκοποί εἰσιν". Θαυμάζων δὲ περὶ αὐτόν, ἀτενίσας εἰς τὸν μάρτυρα τοῦ Χριστοῦ Ἀναστάσιον εἶδε, καὶ ἰδοὺ καὶ αὐτὸς τοῖς περὶ αὐτὸν συνεξέλαμψε· ἑώρα γὰρ καὶ αὐτὸν λαμπροφοροῦντα, καθὼς καὶ τοὺς λοιπούς, καὶ ἰδοὺ νεανίας τις ἐν πολλῇ δόξῃ ἕστη ἔμπροσθεν αὐτοῦ, ἔχων θυμιατήριον καὶ θυμιῶν. Ἑορακὼς δὲ ταῦτα πάντα ὁ ἀνὴρ ἐβιάζετο τῇ χειρὶ νύξαι τὸν πλησίον αὐτοῦ κοιμώμενον, ὃς ἦν χριστιανὸς ἄρχων Σκυθοπόλεως, πρὸς τὸ δεῖξαι αὐτῷ τὰ ὁραθέντα, καὶ οὐκ ἠδύνατο, ἀλλ' ἔμενεν ἀχανής, νήφοντι μὲν λογισμῷ προσέχων τοῖς ὁραθεῖσιν, σώματι δὲ μένων ἀκίνητος. Ὅμως ἐπὶ πολὺ βιασάμενος ὅλον ἑαυτὸν ἤνεγκεν ἐπὶ τὸν κείμενον, πτοηθεὶς δὲ ὁ εἰρημένος ἀνὴρ ἐπύθετο παρ' αὐτοῦ τὸ τί ἂν εἴη. Λέγει αὐτῷ ὁ Ἑβραῖος· "Θεωρεῖς ὧδε"; καὶ ἀτενίσαντες οὐκέτι εἶδον οὐδέν· διηγήσατο δὲ πάντα τὰ ὁραθέντα αὐτῷ καὶ ἐδόξασαν ὁμοθυμαδὸν τὸν Θεόν.

14. Ἐπειδὴ δέ, καθὼς προδεδήλωται, ἐκ πρώτης καὶ δευτέρας ἐρωτήσεως μαθὼν ὁ Μαρζαβανᾶς τὸ ἀμετάθετον τοῦ δούλου τοῦ Θεοῦ ἔγραψε τῷ βασιλεῖ Χοζρόῃ τὰ περὶ αὐτοῦ, συνέβη ἐντὸς ὀλίγων ἡμερῶν δέξασθαι αὐτὸν τὴν τοῦ βασιλέως κέλευσιν· καὶ μεταστειλάμενος αὐτὸν ἐκ τοῦ δεσμωτηρίου διὰ τοῦ μειζοτέρου αὐτοῦ, λέγει αὐτῷ· "Ἰδοὺ ἐκέλευσεν ὁ βασιλεύς, ἵνα λόγῳ μόνῳ εἴπῃς, ὅτι οὐκ εἰμὶ χριστιανός, καὶ εὐθέως σε ἀπολύω, καὶ ὅπου θέλεις ἄπελθε· καὶ εἴτε μοναχὸς θέλεις εἶναι, ἔσο· εἴτε καβαλλάριος, ὥσπερ ἦς τὸ πρότερον, καὶ εἶναι μεθ' ἡμῶν· ὡς θέλεις ποίησον". Ἀπεκρίθη δὲ ὁ μάρτυς τοῦ Χριστοῦ καὶ εἶπεν· "Μὴ γένοιτό μοι ποτὲ ἀρνήσασθαί μοι τὸν Χριστόν μου". Πολλὰς δὲ ὑποσχέσεις καὶ παρακλήσεις προσαγαγὼν αὐτῷ διὰ τοῦ μειζοτέρου αὐτοῦ, οὐκ ἴσχυσε πεῖσαι αὐτόν· τελευταῖον δὲ ἐδήλωσεν αὐτῷ δι' αὐτοῦ λέγων· "Οἶδα ὅτι αἰσχύνῃ τοὺς ὁμοφύ-

2 κῶδ. *αὐτὸν.* — 3 κῶδ. *ἴδε.* — 6 κῶδ. *ἑορακῶς.* — 9 κῶδ. *νήφωντι.* — 12 κῶδ. *ἐπὸίθετο.* — 13 κῶδ. *ὧδε.* — 19 κῶδ. *ὀλίγων.* — 20 κῶδ. *μετὰ στειλάμενος.* — 22 κῶδ. *σὲ ἀπολλύω.* — 24 κῶδ. *εἶς* || ἀπόγρ. *εἶνε.* — 28 κῶδ. *ἴσχυσαι.* — 29 κῶδ. *οἶδα ὅ. αἰσχύνει.*

λους σου, καὶ διὰ τοῦτο οὐ θέλεις εἰπεῖν αὐτὸν ἀρνήσασθαι· ἀλλ' ἐπειδὴ κέλευσις βασιλική ἐστιν, κἂν μεταξὺ ἐμοῦ καὶ ἄλλων δύο σελλαρίων εἰπὲ λόγον καὶ ἀπολύω σε". Ὁ δὲ ἀντεδήλωσεν αὐτῷ λέγων· "Μὴ γένοιτό μοι μηδὲ ἐπὶ σοῦ μηδὲ ἐπὶ ἄλλων ἀρνήσασθαί ποτε τὸν Χριστόν μου". Τότε λέγει αὐτῷ δι' ἑαυτοῦ· "Ἰδοὺ ἐκέλευσεν ὁ βασιλεύς, ἵνα σιδηροδέσμιος ἀπέλθῃς εἰς Περσίδα". Ὁ δὲ μακάριος ἀποκριθεὶς εἶπεν· "Ἐὰν ἀπολύσῃς με, ἐγὼ μόνος ἀπέρχομαι πρὸς τὸν βασιλέα". Ὡς δὲ ἑώρα τὸν μάρτυρα πρὸς πᾶσαν πεῖραν γενναίως ἱστάμενον καὶ μήτε ταῖς ἀπειλαῖς εἴκοντα, μήτε ταῖς θωπείαις δελεαζόμενον, βουλλώσας αὐτὸν ἐκέλευσεν ἀπαχθῆναι ἐν τῇ δημοσίᾳ φυλακῇ, ὀφείλοντα μετὰ πέντε ἡμέρας τὴν πορείαν ποιήσασθαι μετὰ καὶ ἄλλων δύο φιλοχρίστων ἀνδρῶν, οὓς καὶ βουλλώσας σὺν αὐτῷ ἀπέστειλε.

15. Φθασάσης δὲ ἐν τῷ μεταξὺ τῆς ἁγίας ἑορτῆς τῆς ὑψώσεως τοῦ τιμίου καὶ πανσέπτου Σταυροῦ, ἐποίησαν τὴν ἀγρυπνίαν ἐν τῇ φυλακῇ αὐτός τε ὁ μακάριος καὶ οἱ δύο ἀδελφοὶ τοῦ μοναστηρίου καὶ οἱ εἰρημένοι φιλόχριστοι δύο ἄνδρες, καί τινες τῶν τῆς πόλεως εὐλαβῶν, ψαλμοῖς καὶ ὕμνοις καὶ τῇ λοιπῇ πνευματικῇ εὐωχίᾳ τὴν νύκτα παραπέμψαντες πᾶσαν, ὡς ἐπιλαθομένους πάντας τοὺς δεσμίους τῶν συμφορῶν ἑαυτῶν κοινῇ τὸν Θεὸν δοξάζειν. Ἔωθεν δὲ εἰσελθὼν ὁ κομερινάριος, ἀνὴρ φιλόχριστος, πρὸς τὸν Μαρζαβανᾶ, ἠτήσατο ἐπαρθῆναι ἀπ' αὐτοῦ τὰ δεσμὰ πρὸς τὸ αὐτὸν παραγενέσθαι ἐν τῇ ἐκκλησίᾳ· καὶ τούτου γενομένου χαρὰ μεγάλη γέγονε πᾶσι τοῖς πιστοῖς καὶ παραμυθία πολλὴ τῶν συνεχουσῶν αὐτοῖς θλίψεων, οἷα μάρτυρος Χριστοῦ παραγενομένου ἐν τῇ ἐκκλησίᾳ· καὶ γὰρ εἰς πολλὴν ἦλθον ἀπόγνωσιν οἱ τῆς πόλεως ἄνδρες καὶ ὥσπερ ἐνάρκησαν αὐτῶν αἱ ψυχαὶ ἐκ τῶν ἀμυθήτων καὶ χαλεπῶν θλίψεων· θεασάμενοι δὲ τὴν τοσαύτην τοῦ μακαρίου εἰς Χριστὸν πίστιν καὶ ὑπομονὴν ἀνέθηλαν, ὥσπερ καὶ ἀνέζησαν τῇ πίστει, καὶ ἐπελάθοντο τῶν οἰ-

3 κῶδ. *ἀπολλύω*. — 7 κῶδ. *ἀπὸ κριθεὶς*. — 8 κῶδ. *ἑῶρα*. — 9 κῶδ. *πείραν*. — 10 κῶδ. *ἤκοντα* || κῶδ. *βουλόσας*. — 11 κῶδ. *δαιμοσία φ. ὀφείλοντα*. — 12 κῶδ. *φιλοχρήστων*. — 13 κῶδ. *βουλόσας*. — 21 ἔωθεν] κῶδ. *ἔσωθεν* || κῶδ. *φιλόχρηστος*.

κείων θλίψεων διὰ τὴν ὑπερβάλλουσαν ἐν τῷ μάρτυρι παράκλησιν· καὶ τὸ παράδοξον, αὐτοὶ οἱ ἀπειρηκότες τοῖς δεινοῖς καὶ εἰς ὀλιγοπιστίαν τῷ χρόνῳ καταπεσόντες ἀλεῖπται τοῦ μακαρίου γεγόνασι, καταφιλοῦντες αὐτοῦ τὰ δεσμὰ καὶ λέγοντες· "Εἰ ἡμεῖς ἑτοίμως ἔχομεν ὑπὲρ σοῦ ἀποθανεῖν διὰ Χριστόν, πόσῳ μᾶλλον σὺ ὑπὲρ τοῦ κοινοῦ πάντων δεσπότου Ἰησοῦ Χριστοῦ ὀφείλεις τοῦτο μετὰ πάσης προθυμίας ὑπομεῖναι"; Καὶ πολλὴν ἁπλῶς καὶ ἄφατον τιμὴν καὶ προθυμίαν εἰς τὸν ἅγιον ἐπεδείξαντο ἄνδρες ὁμοῦ καὶ γυναῖκες. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς ἐκκλησίας πολλὰ παρακαλέσας καὶ βιασάμενος αὐτὸν ὁ κομερινάριος ἀπήγαγεν αὐτὸν εἰς τὸν ἴδιον οἶκον μετὰ τῶν δύο ἀδελφῶν τῆς αὐτοῦ μονῆς, καὶ συνεστιαθεὶς αὐτοῖς ἀποκατέστησεν αὐτὸν ἐν τῇ φυλακῇ, χαίροντα καὶ ἀγαλλόμενον ἐν Κυρίῳ· ὁμοίως δὲ κἀκεῖ ἐγένετο χαρὰ μεγάλη, πάντων δοξαζόντων τὸν Κύριον.

16. Πληρωθέντος δὲ τοῦ ὁρισμοῦ τῶν πέντε ἡμερῶν, ἐξῆλθε τῆς πόλεως Καισαρείας μετὰ καὶ τῶν δύο φιλοχρίστων ἀνδρῶν, ἐπί τινι αἰτίᾳ συκοφαντηθέντων, προπεμφθεὶς μετὰ πολλῶν δακρύων ὑπὸ τῶν πολιτῶν, χριστιανῶν τε καὶ Περσῶν καὶ ἀλλοεθνῶν, πάντων ὁμοῦ δοξαζόντων τὸν Θεὸν ἐπὶ τῇ ἀγαθῇ αὐτοῦ προθέσει· συναπῆλθε δὲ αὐτῷ εἷς τῶν δύο ἀδελφῶν τῆς μονῆς αὐτοῦ, κατὰ τὴν κέλευσιν τοῦ προεστῶτος, εἰς παραμυθίαν καὶ διακονίαν αὐτοῦ, τὸ δὲ πλέον, ὅπως τὰ παρακολουθοῦντα εἰς αὐτὸν ἀπ' ἀρχῆς καὶ μέχρι τέλους, ταῦτα τῇ τοῦ Κυρίου χάριτι σαφῶς διακομίσῃ τῷ ὁσιωτάτῳ ἀββᾷ καὶ τῇ ὑπ' αὐτὸν συνοδίᾳ· πολλὴ δὲ χαρὰ καὶ εὐφροσύνη τοῖς κατὰ πόλιν καὶ τόπον πιστοῖς ἐγίνετο ἐπὶ τῇ παρουσίᾳ τοῦ μάρτυρος, καὶ μετὰ πάσης τιμῆς καὶ δόξης οἷα Χριστοῦ μάρτυρα ὑπεδέχοντο καὶ προέπεμπον ἅπαντες. Ταῦτα δὲ αὐτὸς ὁ μάρτυς ἔγραψεν ἀπὸ Ἱεραπόλεως τῷ προεστῶτι τῆς μονῆς αὐτοῦ, παρακαλῶν εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα ἀκατάκριτον αὐτὸν

3 κῶδ. *ὀλιγοπιστείαν* || κῶδ. *ἀλείπται.* — 4 κῶδ. *ἑτύμως.* — 6 κῶδ. *ὀφείλεις.* — 10 κομερινάριος] Πισίδης: ὁ τῆς σηρικῆς ἐσθῆτος ἄρχων. Migne τ. 92, σ. 1713B. Μεταφράστης: *κομερκιάριος.* Migne τ. 114, σ. 797.—12 κῶδ. *ἀπεκατέστησεν.* — 16 κῶδ. *καισαρίας.* — 17 κῶδ. *πρὸ πεμφθεὶς.*—18 κῶδ. *ἀλ' ὁ ἐθνῶν.* — 21 κῶδ. *πρὸ ἑστῶτος.* — 24 κῶδ. *ὑπ' αὐτοῦ.*

ὁ Κύριος ἐπὶ τῇ τοιαύτῃ τιμῇ καὶ δόξῃ διαφυλάξῃ· ἔγραψε δὲ αὐτῷ καὶ ἀπὸ Τίγριδος ποταμοῦ ὡσαύτως, παρακαλῶν δεηθῆναι τοῦ φιλανθρώπου Θεοῦ τελειῶσαι αὐτοῦ τὸν δρόμον εἰς δόξαν τοῦ ὀνόματος αὐτοῦ.

17. Εἰσελθὼν δὲ ἐν Περσίδι ὁ τοῦ Χριστοῦ μάρτυς Ἀναστάσιος ἐβλήθη εἰς φυλακήν, ἐν χωρίῳ καλουμένῳ Βηθσαλωέ, ὡς ἀπὸ σημείων ἓξ τοῦ (Δι)σκαρθᾶς, ἔνθα διῆγεν ὁ βασιλεύς· ὁ δὲ ἀδελφὸς ὁ μετ' αὐτοῦ ἔμεινεν ἐν τῷ αὐτῷ χωρίῳ εἰς τὸν οἶκον Καρτὰκ τοῦ υἱοῦ Ἰεσδίν· καὶ ποιήσαντος τοῦ ἁγίου ἡμέρας τινὰς μετὰ τῶν ἐκεῖσε ὄντων αἰχμαλώτων ἀνηνέχθη τὰ κατ' αὐτὸν τῷ βασιλεῖ Χοζρόῃ, καὶ πέμψας ἕνα τῶν ἀρχόντων ἐκέλευσεν ἐξετάσαι αὐτόν· ὃς ἐλθὼν ἐν τῇ φυλακῇ σὺν τῷ χιλιάρχῳ τῷ ὄντι ἐπὶ τῶν φυλάκων ἐπηρώτα αὐτὸν τίς εἴη καὶ πόθεν καὶ διατί καταλιπὼν τὴν ἑαυτοῦ θρησκείαν γέγονε χριστιανός. Ἀποκριθεὶς δὲ ὁ μάρτυς τοῦ Χριστοῦ δι' ἑρμηνέως—οὐ γὰρ ἠξίωσε λαλῆσαι αὐτοῖς τῇ περσικῇ γλώσσῃ, καίτοι πολλὰ ἀναγκασθείς—, καὶ εἶπεν αὐτοῖς· "Πλανᾶσθε ὑμεῖς δαίμονας ἀντὶ θεοὺς σέβοντες· καὶ γὰρ καὶ ἐγώ ποτε ὢν ἐν τῇ πλάνῃ τούτους ἔσεβον, νῦν δὲ σέβομαι καὶ προσκυνῶ τὸν παντοκράτορα Θεόν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ οἶδα ἀκριβῶς, ὅτι τὰ σεβάσματα ὑμῶν ἀπώλεια καὶ πλάνη δαιμόνων εἰσίν". Λέγει αὐτῷ ὁ ἄρχων· "Ἄθλιε, οὐχὶ, ὃν σέβεσθε οἱ χριστιανοί, ἐσταύρωσαν οἱ Ἰουδαῖοι; πῶς οὖν ἐπλανήθης, ἐάσας τὴν θρησκείαν σου, καὶ γέγονας χριστιανός"; Καὶ ὁ ἅγιος ἀπεκρίνατο· "Ὅτι μὲν ἐσταυρώθη ἑκουσίως ὑπὸ Ἰουδαίων, ἀληθῶς λέγεις· αὐτὸς δέ ἐστιν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ εὐδόκησε κατελθεῖν ἐπὶ τῆς γῆς καὶ ἐνανθρωπῆσαι καὶ σταυρωθῆναι, ἵνα ἐλευθερώσῃ τὸ τῶν ἀνθρώπων γένος τῆς πλάνης τοῦ Σατανᾶ, τοῦ παρ' ὑμῶν σεβομένου· ὑμεῖς δὲ σέβοντες τὸ πῦρ καὶ τὰ λοιπά, ἃ καὶ λέγειν αἰσχύνομαι, ματαίας ἔχετε τὰς ἐλπίδας τῇ κτίσει λατρεύοντες παρὰ τὸν κτίσαντα". Λέγει αὐτῷ ὁ ἄρχων· "Τί σοὶ

5 Βηθσαλωὲ] *Βετσαλῶε* καὶ *Βετσαλώης* παρὰ τῷ Μεταφράστῃ. —6 σκαρθᾶς] Πισίδης: *Δισκαρθᾶς*. Μεταφρ. *Δισκάρθας*—7 Καρτὰκ] *Κορτακτοῦ* παρὰ τῷ Μεταφράστῃ.—8 κῶδ. *ἰεσδὴν*.—12 κωδ. *ἐπηρῶτα*.—13 κῶδ. *θρισκείαν*.—14 κῶδ. *διερμηνέως* || κῶδ. *ἠξίωσαι*.—16 κῶδ. *πλανᾶσθαι*.—19 κῶδ. *οἶδα*.—21 κῶδ. *σέβεσθαι*.—22 κῶδ. *θρισκείαν*.

καὶ τοῖς λόγοις τούτοις; ἰδοὺ ἡ θειότης τοῦ βασιλέως ἡτοίμασέν σοι ἀξίαν μεγάλην καὶ ζώνας χρυσᾶς καὶ ἵππους καὶ ἵνα ἔσῃ ἐν τοῖς πρώτοις αὐτοῦ· μόνον ἐπίστρεψον εἰς τὴν πρώτην σου θρησκείαν". Ἀπεκρίθη ὁ μάρτυς τοῦ Χριστοῦ καὶ εἶπεν· "Ἐγὼ τὸν Θέον μου οὐκ ἀρνοῦμαι, ἀλλὰ αὐτὸν προσκυνῶ καὶ σέβομαι· τὰ δὲ δῶρα τοῦ βασιλέως σου ὡς κόπρον ἡγοῦμαι". Ταῦτα δὲ πάντα ἀνελθὼν ἀνήγγειλεν τῷ βασιλεῖ ὁ εἰρημένος ἄρχων. Θυμωθεὶς δὲ ὁ βασιλεὺς ἀπέστειλεν αὐτὸν τῇ ἐπαύριον, κελεύσας κολάσαι αὐτόν. Ἐλθὼν οὖν ὁ ἄρχων μετ' ὀργῆς ἐκέλευσε συρῆναι αὐτὸν ἔξω τῆς φυλακῆς, καὶ ἤρξαντο ἀπειλαῖς φοβεραῖς καταπλήττειν αὐτόν, ὡς ἐνόμιζεν, οἰόμενος μεταπείθειν αὐτόν· ὁ δὲ ἅγιος ἀπεκρίνατο· "Μὴ κοπωθῇς, κύρι ὁ ἄρχων, μηδὲ κάμῃς· ἐμὲ γάρ, τοῦ Χριστοῦ ἐνδυναμοῦντος, οὐ μὴ πείσῃς ἀποστῆναι τῆς πίστεώς μου ποτέ· εἴ τι οὖν βούλῃ, ποίησον ἐν τάχει".

18. Τότε ἐκέλευσεν αὐτὸν δεθέντα περσικῷ τρόπῳ βάβλοις ἀγρίοις τύπτεσθαι ἀφειδῶς· καὶ λέγει αὐτῷ ὁ ἄρχων· "Ταῖς τιμαῖς καὶ δωρεαῖς τοῦ βασιλέως μὴ ἑλόμενος γίνωσκε ἀπὸ τοῦ νῦν ὅ τι πρὸς ταῦτα ἔχεις· οὕτω γὰρ καθ' ἑκάστην ἡμέραν ταῖς πληγαῖς ἐξαναλώσω". Ἀποκριθεὶς δὲ ὁ ἅγιος εἶπεν αὐτῷ· "Οὐδὲ ταῖς δωρεαῖς τοῦ βασιλέως σου πείθομαι, οὐδὲ ταῖς ἀπειλαῖς σου φοβοῦμαι· εἴ τι οὖν θέλεις, ποίησον". Τότε ἐκέλευσε λυθέντα αὐτὸν τεθῆναι ὕπτιον καὶ ξύλον ἐπὶ τὰς κνήμας τῶν ποδῶν αὐτοῦ ἐπιτεθῆναι καὶ ἄνδρας δύο γενναίους στῆναι ἐπὶ τῶν δύο ἀρχῶν τοῦ ξύλου· πάντες δὲ ἴσμεν, ὡς ἀφόρητόν ἐστι τῆς βασάνου τὸ εἶδος· ὁ δὲ ἅγιος μάρτυς τοῦ Χριστοῦ ηὐχαρίστει τῷ Θεῷ καρτερῶν τοῖς πόνοις γενναίως. Ἑορακὼς δὲ ὁ ἄρχων, ὅτι οὐδὲν πλέον ἀνύει, μᾶλλον δὲ ταῖς τοιαύταις ἀλγηδόσιν ὥσπερ σίδηρος τῷ ψυχρῷ ὕδατι ἐστομοῦτο, τῇ θείᾳ χάριτι δυναμούμενος, ἐκέλευσεν βληθῆναι αὐτὸν ἐν τῇ φυλακῇ, ἕως πάλιν ἀναγάγῃ τῷ βασιλεῖ τὰ

1 κῶδ. *ἡ. θ. τ. β. ἡτοίμασεν.* — 2 κωδ. *χρυσὰς.* — 3 κῶδ. *θρισκείαν.*—10 κῶδ. *κατα πλείττειν.* — 11 κῶδ. *διόμενος μετα πείθειν.* — 12 κῶδ. *κωπωθῆς* || κῶδ. *μὴ δὲ.* — 15 βάβλοις] οὕτως ὁ κῶδιξ· ἀντιπαράβαλε τὸ *βαύδοις* [Evang. Apocr. [2], p. 158]· παρὰ τῷ Μεταφράστῃ *ῥοπάλοις* Migne τ. 114, σ. 804.—17 κῶδ. *ἐλόμενος.*— 19 κῶδ. *ἐξαναλόσω.* — 26 κῶδ. *ἐορακῶς* || κῶδ. *ἀνοίει.* — 27 ἀπόγρ. *σίδερος.*

περὶ αὐτοῦ. Τοῦ δὲ σελλαρίου, τοῦ ὄντος ἐπὶ τῆς φυλακῆς, χριστιανοῦ ὑπάρχοντος, θαρρῶν ὁ ἀδελφὸς τῆς μονῆς ὁ συναπελθὼν τῷ ἁγίῳ εἰσήρχετο μίαν ὑπὲρ μίαν παρ' αὐτῷ, παραμυθούμενος καὶ προτρεπόμενος αὐτὸν εἰς τὸ ἀγαθόν· πολλοὶ δὲ καὶ τῶν ἐκεῖσε χριστιανῶν, ἐν οἷς καὶ τοῦ Ἰεσδὶν οἱ υἱοί, εἰσήρχοντο πρὸς αὐτόν, προσπίπτοντες καὶ καταφιλοῦντες αὐτοῦ τὰ δεσμὰ καὶ ἀξιοῦντες εὔξασθαι ὑπὲρ αὐτῶν καὶ δοῦναι αὐτοῖς εὐλογίαν τινὰ εἰς φυλακτήριον αὐτῶν· τοῦ δὲ μάρτυρος ἀπαναινομένου τὰ τοιαῦτα, αὐτοὶ κηρὸν ἐπιβάλλοντες τοῖς δεσμοῖς αὐτοῦ καὶ ἐκτυποῦντες εἰς εὐλογίαν τοῦτον ἐκομίζοντο.

19. Πάλιν οὖν μεθ' ἡμέρας ὀλίγας ἐλθὼν ὁ αὐτὸς ἄρχων ἐν τῇ φυλακῇ λέγει αὐτῷ· "Τί λέγεις; ποιεῖς τὴν κέλευσιν τοῦ βασιλέως, ἢ ἐπιμένεις τοῖς αὐτοῖς"; Ὁ δὲ ἅγιος κινήσας τὴν κεφαλὴν αὐτοῦ, ὡς ἀπεβδελύξατο αὐτὸν εἰπών· "Καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις εἶπόν σοι, ὅτι ἀδύνατόν ἐστιν ἀρνήσασθαί με τὸν Χριστόν· εἴ τι οὖν θέλεις, ποίησον ἐν τάχει". Τότε ὁ θρασὺς ἐκεῖνος καὶ βάρβαρος ἐκέλευσεν δεθῆναι αὐτόν, ὃν τρόπον καὶ πρώην, καὶ τύπτεσθαι αὐτὸν ἐπὶ πολὺ τοῖς ῥοπάλοις ἀνηλεῶς· καὶ καταλιπὼν αὐτὸν ἐν τῇ φυλακῇ ἀνεχώρησεν. Ἐπισχὼν δὲ ἡμέρας τινάς, αὖθις εἰσελθὼν πρὸς αὐτὸν καὶ τοῖς αὐτοῖς λόγοις χρώμενος, εἰς ἄρνησιν προσεκαλεῖτο τὸν ἅγιον τοῦ Χριστοῦ μάρτυρα, καὶ ποτὲ μὲν κολακείαις καὶ ὑποσχέσεσιν χρημάτων τε καὶ ἀξιωμάτων, ποτὲ δὲ ἀπειλαῖς φοβεραῖς καὶ πικραῖς βασάνοις. Ὡς δὲ ἑώρα τὸ ἀμετάθετον αὐτοῦ τῆς γνώμης καὶ τὸ στερρὸν τῆς εἰς Χριστὸν πίστεως, ἐκέλευσε δεθέντα αὐτὸν ὡς ἅπαξ καὶ δὶς τύπτεσθαι ὁμοίως τοῖς βάβλοις, καὶ πάλιν λυθέντα αὐτὸν κελεύει κρεμασθῆναι ἐκ τῆς μιᾶς χειρὸς καὶ λίθον μέγαν προσδεθῆναι εἰς τὸν πόδα αὐτοῦ, καὶ οὕτως ἐάσας αὐτὸν ἀπῆλθε. Καρτεροῦντος δὲ γενναίως τοῦ μάρτυρος τὴν τοιαύτην κόλασιν ὡς ὥρῶν δύο διάστημα, πέμψας ἐκέλευσε κατενεχθῆναι αὐτόν, καὶ ἀπελθὼν

3 *μίαν ὑπὲρ μίαν = ἡμέραν*· παράβαλε τὸ σημερινὸν *μέρα παρὰ μέρα = καθ' ἑκάστην ἡμέραν*.—5 κῶδ. *ἠεσδὴν*. — 8 κῶδ. *ἐπ' ἀναινομένου*. — 10 κῶδ. *τοῦτο*.— 11 κῶδ. *ὀλίγας*. — 24 κῶδ. *ἐώρα*.

ἀνήγγειλε τῷ βασιλεῖ τό τε ἄτρεπτον τῆς γνώμης καὶ τὴν παρρησίαν τοῦ μάρτυρος. Καὶ ὡς μεθ' ἡμέρας δεκαπέντε ἀπέστειλεν ὁ βασιλεὺς αὐτόν τε τὸν ἄρχοντα καὶ ἑτέρους σὺν αὐτῷ ἀνελεῖν τὸν ἅγιον μάρτυρα καὶ πολλοὺς τῶν χριστιανῶν αἰχμαλώτων· οἵτινες ἐλθόντες ἐκέλευσαν ἀχθῆναι ἔξω τοῦ χωρίου Βηθσαλοέ, ἐν ᾧ ὑπῆρχεν ἡ φυλακή, αὐτόν τε τὸν ἅγιον μάρτυρα καὶ ὡσεὶ ἑβδομήκοντα ἄνδρας, παρὰ ποταμόν, καὶ οὕτως ἔμπροσθεν τοῦ ἁγίου μάρτυρος σχοινίοις ἀποπνῖξαι ἅπαντας ἐκέλευσαν· ἐν οἷς ἦσαν καὶ οἱ προειρημένοι δύο φιλόχριστοι ἄνδρες, οἱ συναπελθόντες ἀπὸ Καισαρείας τῷ μάρτυρι· καὶ καθ' ἕνα τῶν ἀναιρουμένων ἔλεγον τῷ ἁγίῳ· "Διατί θέλεις ὡς εἷς τούτων ἀπολέσθαι κακῶς; μᾶλλον πείσθητι τῷ βασιλεῖ καὶ ζῆσον καὶ λάβε τιμὰς παρ' αὐτοῦ, καὶ ἴσθι ἐν τῷ παλατίῳ ὡς εἷς ἐξ ἡμῶν, καὶ μὴ καταλείπῃς τὴν γλυκεῖαν ταύτην ζωήν". Ὁ δὲ καλλίνικος μάρτυς τοῦ Χριστοῦ Ἀναστάσιος ἀναβλέψας εἰς τὸν οὐρανὸν ηὐχαρίστησε τῷ Θεῷ, ὅτι ἐπληρώθη αὐτοῦ ἡ ἐπιθυμία, καὶ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· "Ἐγὼ προσεδόκουν μεληδὸν κατακοπῆναι παρ' ὑμῶν ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ· εἰ δὲ οὕτως ἐστὶν ὁ θάνατος, ὃν ἀπειλεῖτέ μοι, εὐχαριστῶ τῷ Θεῷ μου, ὅτι διὰ μικροῦ πόνου μέτοχόν με ποιεῖται τῆς δόξης τῶν μαρτύρων αὐτοῦ", καὶ οὕτως μετὰ πολλῆς χαρᾶς καὶ προθυμίας ἐτελειώθη καὶ αὐτὸς τῷ ὁμοίῳ θανάτῳ· μετὰ δὲ τὸ ἀποπνῖξαι αὐτὸν ἀπέτεμον αὐτοῦ τὴν τιμίαν καὶ ἁγίαν κεφαλήν, καὶ λαβόντες τὴν βούλλαν ἀπήγαγον τῷ βασιλεῖ.

20. Χριστιανὸς οὖν ὑπάρχων ὁ σελλάριος, ὡς εἴρηται, ὁ ἐπὶ τῆς φυλακῆς, ἠθέλησεν τὸ σῶμα τοῦ μάρτυρος παρὰ μέρος θεῖναι, πρὸς τὸ εὔγνωστον ὑπάρχειν, καὶ οὐ συνεχώρησαν αὐτῷ οἱ δήμιοι, Ἑβραῖοι ὄντες· μαθόντες δὲ οἱ υἱοὶ τοῦ Ἰεσδὶν τὴν τελείωσιν τοῦ ἁγίου—καὶ γὰρ οἱ παῖδες αὐτῶν συμπαρῆσαν τῷ μάρ-

5 Βηθσαλοὲ] οὕτως ὁ κῶδιξ ὧδε· περὶ δὲ τῆς αὐτοῦ θέσεως καὶ τοῦ Δισκαρθὰς [ὅρα σ. 142] ἀνάγνωθι G. Hoffmann, Auszüge aus syrischen Akten persischer Märtyrer. Leipzîg 1880, σ. 120. — 6 κῶδ. *φυλακῆ* — 8 κῶδ. *ἀπὸ πνῆξαι* || κῶδ. *εἶσαν*. — 11 κῶδ. *ἀπωλέσθαι*. — 14 κῶδ. *γλυκείαν*. — 16 αὐτούς] κῶδ. *αὐτόν*. — 17 *ἀπόγρ. προσεδώκουν μελιδὼν*. — 18 κῶδ. *ἀπηλείται*. — 22 κῶδ. *ἀπὸ πνῆξαι*.— 23 κῶδ. *βούλαν*. — 25 κῶδ. *παραμέρος θῆναι*. — 27 κῶδ. *ἠεσδὴν*.

τυρι ἀπιόντι τοῦ τελειωθῆναι —, ὑπεριδόντες τὰς χεῖρας αὐτοῦ ἔδωκαν λάθρα τοῖς δημίοις ἀργύριον ἱκανὸν καὶ ἔπεισαν αὐτοὺς κεχωρισμένως ἀποθέσθαι τὸ σῶμα αὐτοῦ, καὶ τῇ ἐπιούσῃ νυκτὶ λαβὼν μεθ' ἑαυτοῦ ὁ ἀδελφὸς τῆς μονῆς τοῦ μάρτυρος τοὺς παῖδας τοῦ υἱοῦ τοῦ Ἰεσδίν, καί τινας μοναχοὺς τῶν ἐκεῖσε, ἦλθεν συστεῖλαι τὸ σῶμα τοῦ ἁγίου· καὶ εὗρον τοὺς κύνας κατεσθίοντας τὰ σώματα τῶν ἀναιρεθέντων, τὸ δὲ σῶμα τοῦ μάρτυρος κείμενον παρὰ μέρος πλησίον αὐτῶν ἄψαυστον· "τίμιος γὰρ ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ", καὶ φυλάσσει πάντα τὰ ὄντα αὐτῶν, ἓν ἐξ αὐτῶν μὴ συντριβῆναι συγχωρῶν. Λαβὼν οὖν τὸ σῶμα τοῦ μάρτυρος καὶ ἐνειλήσας ὀθονίοις ἐντίμοις, ἅπερ ἔδωκαν οἱ υἱοὶ τοῦ Ἰεσδίν, ἀπενέγκας ἀπέθετο αὐτὸ ἐν τῷ μοναστηρίῳ τοῦ ἁγίου μάρτυρος Σεργίου, ὡς ἀπὸ σημείου ἑνὸς τῆς εἰρημένης κώμης. Τελειοῖ δὲ τὸν ἀγῶνα τῆς εἰς Χριστὸν ὁμολογίας ὁ καλλίνικος μάρτυς τοῦ Χριστοῦ Ἀναστάσιος κατὰ τὴν δευτέραν καὶ εἰκάδα τοῦ ἰαννουαρίου μηνὸς τῆς πρώτης ἰνδικτιῶνος ἔτους ἑπτακαιδεκάτου τῆς βασιλείας Ἡρακλείου τοῦ εὐσεβεστάτου καὶ πεντεκαιδεκάτου Κωνσταντίνου τοῦ θεοφυλάκτου υἱοῦ αὐτοῦ.

21. Τῇ οὖν ἐπαύριον, μετὰ τὸ τελειωθῆναι τὸν μάρτυρα, δύο τινὲς τῶν ὄντων ἐπὶ τῆς φυλακῆς συνετύγχανον πρὸς ἑαυτούς, καὶ ὁ μὲν εἷς ἔλεγεν τῷ ἑτέρῳ· "Οἶδας, ὅτι χθὲς οἱ κύνες καὶ ἐκάθισαν πλησίον τοῦ σώματος τοῦ μοναχοῦ ἐκείνου καὶ οὐχ ἥψαντο αὐτοῦ, ἀλλ' ἦσαν ὥσπερ φυλάσσοντες αὐτό, καὶ ἔμειναν ὡσεὶ ὥρας δύο θεωρῶν, καὶ οὔτε ἀνεχώρουν οἱ κύνες, οὔτε ἔφαγον τοῦ σώματος". Ὁ δὲ ἕτερος εἶπεν· "Κἀγὼ ἐσπέρας ἀναχωρῶν ἐκ τῆς βίγλης εἰς τὸν οἶκόν μου, εἶδον ὡς ἀστέρα λάμποντα ἐπὶ τοῦ ἐδάφους· ἀπελθὼν δὲ θεάσασθαι τὸ τί ἂν εἴη, ὡς πλησίον ἐγενόμην, ὁ μὲν ἀστὴρ ἀφανὴς ἐγένετο, τὸ δὲ σῶμα τοῦ μοναχοῦ κεί-

1 κῶδ. *ὑπερϊδόντες τ. χείρας.* — 5 κῶδ. *ἠεσδὴν* οὕτω καὶ κάτω. — 6 κῶδ. *συστῆλαι* || κῶδ. *καταισθίοντας.* — 8 κῶδ. *ἄψαστον* || Ψαλμ. ριε', 6. — 11 κῶδ. *ὀθονίοις.* — 13 ὡς] κῶδ. ὃς. — 21 κῶδ. *ἑταίρω. οἶδας* || κῶδ. *ἐκάθησαν.* — 22 κῶδ. *ἥψαντο.* — 23 κῶδ. *ἦσαν.* — 24 κῶδ. *θεωρὼν καὶ οὔτε . . οὔτε ἔφυγον.* — 25 κῶδ. *ἕταιρος.* — 26 κῶδ. *ἶδον.* — 28 κῶδ. *ἀφανεὶς.*

μενον εἶδον ἐπὶ τοῦ ἐδάφους". Καὶ ταῦτα μὲν οἱ φύλακες πρὸς ἀλλήλους ἔλεγον τῇ ἰδίᾳ γλώσσῃ· τινὲς δὲ τῶν ἐν τῇ φυλακῇ αἰχμαλώτων, ἄνδρες χριστιανοί, εἰδότες τὴν περσικὴν γλῶσσαν ἐπηκροάσαντο αὐτῶν· ἐξ ὧν δύο ἀπολυθέντες μετὰ καὶ ἄλλων πολλῶν ἦλθον ἐν τῇ Ἁγίᾳ Πόλει μετὰ τὴν ἀναίρεσιν τοῦ βασιλέως Χοζρόου, οἷς καὶ προείρηκεν ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Ἀναστάσιος, συνὼν αὐτοῖς ἐν τῇ φυλακῇ, περί τε τῆς ἑαυτοῦ τελειώσεως καὶ τῆς αὐτῶν ἐλευθερίας καὶ τῆς τοῦ βασιλέως πτώσεως, οὕτως εἰπών· "Ἵνα οἴδατε, ἀδελφοί, ὅτι τῇ τοῦ Θεοῦ χάριτι ἐγὼ μὲν αὔριον τελειοῦμαι, μετ' ὀλίγας δὲ ἡμέρας καὶ ὑμεῖς ἀπολυθήσεσθαι, ὁ δὲ ἄδικος καὶ πονηρὸς βασιλεὺς ἀναιρεθήσεται· ἀλλὰ τοῦ Κυρίου κατευοδοῦντος παραγενόμενοι ἐν τῇ Ἁγίᾳ Πόλει ἀπέλθατε ἐν τῇ μονῇ τῇ ἐπιλεγομένῃ τοῦ ἀββᾶ Ἀναστασίου καὶ εἴπατε τῷ ἀββᾷ μου καὶ τοῖς ἀδελφοῖς ταῦτα". Οἱ δὲ ἄνδρες ἀκούσαντες παρὰ τοῦ ἁγίου ταῦτα καὶ τοῖς ἰδίοις ὀφθαλμοῖς τῶν πραγμάτων τὴν ἔκβασιν θεασάμενοι τὸν μὲν Θεὸν ἐδόξασαν, τὸν δοξάζοντα τοὺς δοξάζοντας αὐτόν, τὴν δὲ ἐντολὴν τοῦ μάρτυρος ἐπλήρωσαν, ἰδίῳ στόματι ταῦτα ἡμῖν ἐξηγησάμενοι.

22. Ὁ δὲ πολλάκις μνημονευθεὶς ἀδελφὸς τῆς μονῆς, κηδεύσας τὸ σῶμα τοῦ μάρτυρος καὶ καταθέμενος πρεπόντως ἐν τῷ προειρημένῳ μοναστηρίῳ τοῦ ἁγίου Σεργίου, ἔμεινεν ἐκεῖσε βουλευόμενος τὸ πῶς ἀκινδύνως ἐπανέλθῃ πρὸς τὸν ἀποστείλαντα αὐτόν, καὶ ὡς μεθ' ἡμέρας δέκα, τῇ πρώτῃ τοῦ φευρουαρίου μηνός, ἔφθασεν ὁ εὐσεβέστατος καὶ φιλόχριστος ἡμῶν βασιλεὺς Ἡράκλειος σὺν τῷ ἑπομένῳ αὐτῷ στρατῷ· οὓς ἰδὼν ὁ ἀδελφὸς ἐχάρη χαρὰν μεγάλην καὶ ἐλάλησεν αὐτοῖς ῥωμαϊστί, καὶ αὐτοὶ ἠρώτησαν αὐτὸν τί ποιεῖ ἐκεῖσε. Ἐξηγησαμένου δὲ αὐτοῖς τὸ κατὰ λεπτὸν ἐδόξασαν τὸν Θεὸν καὶ εἶπον αὐτῷ· "Ἀναστὰς ἐλθὲ μεθ' ἡμῶν καὶ σῶσον τὴν ψυχήν σου"· καὶ ἦν μετ' αὐτῶν ἐν τιμῇ ὅσας ἡμέρας διέτριψαν ἐν Περσίδι, καὶ σὺν αὐτοῖς ἐξῆλθε

1 κῶδ. *ἴδον*. — 3 κῶδ. *οἰδότες*. — 4 κῶδ. *ἐπικροάσαντο*. — 9 κῶδ. *οἴδατε*. — 23 ὡς] κῶδ. *ὃς*. — 25 κῶδ. *ἡράκλειος σ. τ. ἐπομένω*. — 26 κῶδ. *ρωμαϊστῆ*. — 27 κῶδ. *ἐκεῖσαι*. — 28 κῶδ. *κατάλεπτον*.

*

διὰ τῆς τῶν Ἀρμενίων χώρας. Φθάσας δὲ διὰ ἐνιαυσιαίου χρόνου τὸ μοναστήριον ἐξηγήσατο τῷ προεστῶτι τῆς μονῆς ἅπαντα μετ' ἀκριβείας, ἀποκομίσας αὐτῷ καὶ τὸ κολόβιον τοῦ μάρτυρος, ἐν ᾧ ἐτελειώθη, διηγησάμενος καὶ τοῦτο· ὅτι " Ἦν τις ἀδελφὸς νεώτερος ἐν τῷ μοναστηρίῳ, ἐν ᾧ κατετέθη τὸ σῶμα τοῦ μάρτυρος, ἐνοχλούμενος δεινῶς ὑπὸ πνεύματος ἀκαθάρτου· παρακαλέσας δέ με πολλὰ ὁ ἡγούμενος τῶν ἐκεῖσε, λαβὼν ἐνέδησε τὸν πάσχοντα τὸ κολόβιον τοῦ μάρτυρος καὶ παραχρῆμα ἰάθη τῇ τοῦ Κυρίου χάριτι, εἰς δόξαν Θεοῦ τοῦ ἐνδοξαζομένου ἐν τοῖς ἁγίοις αὐτοῦ ". ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τιμὴ κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

2 κῶδ. *προεστάτη*. — 3 κῶδ. *κολώβιον*. — 4 κῶδ. *τοίτω*. — 5 κῶδ. *σάμα*. — 8 κῶδ. *το κολώβιον* || κῶδ. *παρὸ χρῖμα*.

VII.

ΙΟΥΛΙΩ ΙΓ.

(ΕΥΣΤΡΑΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ)

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΗΓΟΥΝ ΑΘΛΗΣΙΣ ΚΑΙ ΔΙΑ ΧΡΙΣΤΟΝ ΑΓΩΝΕΣ

τῆς ἁγίας ὁσιομάρτυρος Γολινδούχ, τῆς ἐν τῷ ἁγίῳ βαπτίσματι μετονομασθείσης Μαρίας.

(Cod. Patm. 185 f. τογ΄-τπβ΄) [1].

1. Νόμος ἐστὶν ἐγκωμίων τοῖς ἐπὶ σοφίᾳ μέγα φρονοῦσιν καὶ τοῦτο πράττειν ἑλομένοις περὶ ὧν βούλοιντο κεκομψευμένοις μᾶλλον καὶ ἀπεξεσμένοις λόγοις παντὶ σθένει γεραίρειν τοὺς ὑπ' αὐτῶν ἐπαινουμένους, κἄν τε πάρεισιν αὐτοῖς κατορθώματα, κἄν τε μή. Ἀλλ' ἐκείνοις μὲν ζητείσθω τοῦτο καὶ σπουδαζέσθω· οἷς δὲ θείων προσταγμάτων ὑπερλάμπρων τε καὶ ἐναργῶν πλημμύρα πρόσεστιν, εὔδηλόν που πάντως, ὡς οἱ λόγοι τῆς σοφιστικῆς εὐγλωττίας τὴν ἐλάττονα φέρουσι τάξιν. Ἐπεὶ οὖν καὶ ἡ παροῦσα ὑπόθεσις οὐ στωμυλίας ἔνδειξιν, ἀλλ' ἀληθείας ἀπόδειξιν, ἤγουν διήγησιν, ἐπαγγέλλεται σχολάζειν, ἐάσαντες ἡμεῖς τὸ τετορνευμένον τῶν λέ-

[1] Κῶδιξ τῆς 10-ης ἑκατ., οὐχὶ δὲ τῆς 11-ης, ὡς παρὰ τῷ Σακκελίωνι. Πατμιακὴ Βιβλιοθήκη, Ἀθήνησιν 1890, σ. 104-106.

1 κῶδ. *ἐπισοφία.* — 3 κῶδ. *ἀποξεσμένοις* || κῶδ. *ὑπαυτῶν.* — 4 κῶδ. *κάντε . . . κάντε.* — 5 κῶδ. *ἀλλἐκείνοις.* — 6 κῶδ. *τὲ· οὕτω πανταχοῦ* || κῶδ. *πρόσὲστιν.*— 7 κῶδ. *ποῦ.* — 9 κῶδ. *στομυλίας.* — 10 κῶδ. *ἐπαγγέλεται* || κῶδ. *ἐασαντες.*

ξεων — "ἁπλοῦς γὰρ ὁ λόγος τῆς ἀληθείας"· εἰ καὶ ἀμαθέστερος, ἀλλ' οὖν σαφέστερος —, τῶν νῦν ἡμῖν ἀκουσθέντων μαρτυρικῶν τὴν ἐξήγησιν ποιησόμεθα, καὶ ὡς ἔνεστιν ἡμῖν ἡ δύναμις, πειρασόμεθα ὑπόμνημα μέγα καὶ ἀξιάγαστον παραθέσθαι τοῖς πιστοῖς καὶ τὴν ἔνθεον ἀναιρουμένοις ζωήν, ἅμα δὲ καὶ διεγεῖραι τούτους πλέον εἰς ζῆλον, ὅσοι φόβῳ θεοῦ ἄγονται· οὓς καὶ εὐφραίνειν οἶδεν ὑπερφυῶς τὰ τοιαῦτα διηγήματα, καθώς που καὶ ὁ Σολομὼν ὁ σοφιστὴς τοιαύτης πνευματικῆς εὐφροσύνης τὴν σύστασιν ποιούμενος ἔλεξε· "μνήμη δικαίου μετ' ἐγκωμίων"· καὶ αὖθις· "ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί".

2. Ἐπεὶ οὖν νόμος οὗτός ἐστιν καὶ ὅρος ἀπαράβατος τῆς ἀνεκλείπτου καὶ σταθερᾶς εὐφροσύνης, ἥτις καὶ τὰς ἀγγελικὰς καὶ ὑπερουρανίους μεγάλως οἶδεν εὐφραίνειν χοροστασίας, ὥς φησιν ὁ Κύριος, ὅτι "χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι", ἄξιον μὴ παραδραμεῖν μήτε μὴν λήθῃ καλύψαι ἢ καταχῶσαι, ὡς ὁ δοῦλος ἐκεῖνος ὁ τὸ δηνάριον εἰληφώς, τὰ ἤδη μὲν πραχθέντα ἐπὶ τῆς Βαβυλωνίων χώρας, ἔναγχος δὲ διαλεχθέντα ἐν τῇ ἡμετέρᾳ θεοφυλάκτῳ πολιτείᾳ παρὰ ὁσίων καὶ μεγάλων πιστῶν τε καὶ θεοφιλῶν ἀνδρῶν. Ἀλλ' ἐγὼ τὴν ἐμαυτοῦ ἀσθένειαν ἐπιστάμενος φρίττω προβῆναι μὲν τῷ τοιούτῳ ὄρει τῶν ἀρετῶν καπνιζομένῳ, τάχα που καὶ θυέλλῃ περικεχυμένῳ, καὶ μικροῦ δεῖν οἷον ἦν ἐκεῖνο τὸ ὄρος, ὅπερ καὶ ὁ Παῦλος ἀλληγορικῶς ἐνενόησεν εἰπών "τὸ γὰρ Σινὰ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ", ἐπεὶ καὶ Μωσῆς εἶπεν "ἔκφοβός εἰμι καὶ ἔντρομος", δέδοικα αὖθις συγγράφων τῶν τοιούτων κατορθωμάτων τὸ ποικίλον καὶ πλούσιον διά τε τὸ στενὸν καὶ δυσκίνητον τῆς ἐμαυτοῦ γλώσσης, διά τε τὸ μὴ σιγῇ παραδραμεῖν τι τῶν τοιούτων ἀγώνων τε καὶ

1 κῶδ. *ἁπλοῦς* || Σοφοκλέους Τραχιν. στίχ. 91. Εὐριπ. Ἰφιγ. ἐν Ταυρίδι στίχ. 995 || κῶδ. *ἀμαθεστερος, ἀλλοῦν*. — 4 κῶδ. *ὑπομνήματα*. — 7 κῶδ. *τοιαυτα* || κῶδ. *σολομῶν* || σοφιστὴς] οὕτως ἀληθῶς ἐν τῷ κώδικι. — 9 Παροιμ. ι', 7. κθ', 2. — 11 κῶδ. *ἐστὶν καὶ ὄρος*. — 13 κῶδ. *ὑπερουνιους* || κῶδ. *ὡς φησὶν*. — 14 Λουκ. ιε', 7, 10 || κῶδ. *ἐπιένι*. — 16 Ματθ. κε', 18, 24-30. — 18 κῶδ. *ὁσίων*. — 20 ὄρει-καπνιζομένῳ] Γενέσ. ιθ', 18. — 22 κῶδ. *ἀλληγορικῶς*. — 23 Γαλάτ. δ', 25 || κῶδ. *τὸ γαρ*. — 24 Ἑβρ. ιβ', 21. Δευτερ. θ', 19 || κῶδ. *εἰμὶ*. — 27 κῶδ. *τί*.

ἄθλων τῆς μάρτυρος, πρὸς ἐπὶ τούτοις δὲ καὶ πλέον ὑφορῶμαι τὸν τῆς σιωπῆς κίνδυνον. Ἀλλ' ἐπειδὴ πρόσταγμα διαγορεύει δεσποτικόν, τὸ φάσκον "οὐδέν ἐστι συγκεκαλυμμένον, ὃ οὐ γνωσθήσεται· ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται· καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων"—, πληροῦντες ἡμεῖς τὰ δεσποτικῶς ἐνταλθέντα λόγια κατὰ τὸ ἡμῖν ἐφικτόν, ἐροῦμεν ἐπὶ τοῦ παρόντος ἅπερ ἠκούσαμεν ἀληθῶς παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου Δομετιανοῦ καὶ ἑτέρων τινῶν πιστῶν, διηγησαμένων περὶ τῆς ἐν Περσίδι νυνὶ μάρτυρος Χριστοῦ γεγονυίας, καὶ ὅσα ἂν ἀπ' αὐτῆς ἐκείνης ἔτι οὔσης ἐν σαρκὶ [κατὰ] στόμα ἤκουσέν τε καὶ ἔμαθεν καὶ ἐπιστώθη ὁ εἰρημένος ἁγιώτατος ἀνήρ, σὺν αὐτῷ δὲ καὶ ἕτεροι πολλοὶ πιστοὶ καὶ θεοφιλεῖς ἄνδρες.

3. Ποῖα οὖν καὶ τίνα καὶ πόσα τὰ περὶ τῆς ἁγίας μάρτυρος πραχθέντα μὲν καὶ λεχθέντα τηνικαῦτα πάμπολλα ὄντα, νῦν δὲ ἀκουσθέντα; ἐκ πολλῶν ὀλίγα λέξω διὰ βραχέων. Γυνή τις ἦν ἐν τῇ τῶν Περσῶν διαλέκτῳ [Γολινδοὺχ ὀνομαζομένη], γένους ὑπάρχουσα τῶν ἐνδόξων καὶ περιφανῶν, Χοσρόου τῶν Περσῶν βασιλέως, ὡς φασιν οἱ αὐτόπται γενόμενοι ταύτης καὶ ἐξ αὐτῆς ἐκείνης ἢ καὶ ἑτέρων τινῶν τοῦτο μαθόντες. Αὕτη συνῴκει ἀνδρὶ τῆς τῶν μάγων ἀσεβεστάτης ἀπάτης ὑπάρχοντι. Μυσαττομένη οὖν ἀεὶ τὸ τοιόνδε συνοικέσιον, ἐκ θείας ἐπιφοιτήσεως κινηθεῖσα, — τὸ γὰρ ζητεῖν τὸν Θεὸν καὶ δοξάζειν πᾶσι τοῖς λογικοῖς ὁμοίως κατὰ φύσιν ἐνέσπαρται· ὅθεν καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης φησίν· "ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον", τουτέστι δημιουργούμενον—, ποθοῦσα δὲ τῆς καθαρᾶς καὶ ἀμιάντου μετασχεῖν θρησκείας, ἥτις ἐστὶν ἡ τῶν χριστιανῶν ἐλ-

1 κῶδ. *προσεπιτούτοις*. — 2 κῶδ. *ἀλλεπειδὴ*. — 3 Λουκ. ιβ', 2, 3. — 4 κῶδ. *φωτι*. — 5 κῶδ. *προστὸ*. — 6 κῶδ. *ἐπιτῶν δωμάτων*. — 7 κῶδ. *ἐπιτοῦ*. — 8 κῶδ. *ἅπερ*. — 10 τῆς] κῶδ. *τῶν* || κῶδ. *γεγονυίας*. — 11 κῶδ. *σαρκὶ στόμα*. — 12 κῶδ. *συναυτῶ*. — 14 κῶδ. *ποία*. — 15 κῶδ. *πραχθεντα*. — 17 προσέθηκα τὸ *Γολινδοὺχ ὀνομαζομένη*· κῶδ. *διαλέκτω. γένους*. — 18 τῶν] οὕτως ὁ κῶδιξ || κῶδ. *ὡς φασὶν*. — 19 κῶδ. *ἐξαυτῆς*. — 20 *μάγων* ἔγραψα ἀντὶ τοῦ ἐν τῷ κώδικι *μεγάλων*. — 23 κῶδ. *καταφύσιν* || Ἰωάν. εὐαγ. α', 9. — 26 κῶδ. *τοῦτέστι*. — 27 κῶδ. *ἥτις*.

πίς τε καὶ πίστις, θεόθεν ἐλλαμφθεῖσα διὰ τοῦ ἐπιστατοῦντος ἀγγέλου τῷ τῶν Βαβυλωνίων ἔθνει ποδηγεῖται πρὸς τὴν ἀλήθειαν· εὐθὺς δὲ καὶ παραχρῆμα πληροῖ τὸν πόθον αὐτῆς ὁ εἰπὼν Χριστὸς ὁ Θεὸς ἡμῶν, ὅτι "αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν". Ὅτι δὲ καὶ τῶν ἐθνῶν οὐκ ἔκφυλοί τινες ὑπάρχουσι θεοί, ἀλλ' ὁ ὢν κατὰ φύσιν Θεός, καὶ πρὸς αὐτὸν οἱ ἅγιοι ἄγγελοι τοὺς ἑπομένους αὐτῷ ἀνάγουσι, δείκνυσι πολλαχῶς ἡ Θεία Γραφή, ὥς φησι καὶ Μωϋσῆς· "ἔστησεν ὁ ὕψιστος ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ"· καὶ Δανιὴλ ὁμοίως μνήμην ἐποιήσατο τοῦ ἄρχοντος τῆς βασιλείας τῶν Περσῶν, τουτέστι τοῦ ἀγγέλου, τοῦ καὶ εἰς θεογνωσίαν ἑνίους αὐτῶν ἀνάγοντος. Σκοπήσωμεν τοίνυν τίς καὶ ποία τῆς θείας ἐλλάμψεως ἡ ἐμφάνεια, ἤγουν ἀποκάλυψις.

4. Βουληθεὶς ὁ δημιουργὸς καὶ Θεὸς ἡμῶν βοηθὸν δοῦναι τῷ προπάτορι ἡμῶν Ἀδὰμ κατ' αὐτόν, ἔκστασιν αὐτῷ ἐπέβαλεν, καὶ λαβὼν μίαν τῶν πλευρῶν αὐτοῦ τὴν γυναῖκα συνεστήσατο. Ἐπεὶ οὖν καὶ αὕτη ἡ Γολινδοὺχ ἐκείνη τυγχάνει ἡ πλευρά, μία γὰρ οὐσία τε καὶ φύσις ἀνδρός τε καὶ γυναικός, μετάγει γοῦν τὴν ἔκστασιν ὁ Θεὸς ἐπὶ τὴν γυναῖκα, τουτέστιν τὴν Γολινδούχ, οὐχ ἵνα ἄνδρα ἐξ αὐτῆς ἀποτέμῃ, ἀλλ' ἵνα ταύτην ἀνδρείαν ἀποδείξῃ· καὶ ὥσπερ τοὺς ἀποστόλους ἔκστασις καὶ φόβος περιέσχε πολλάκις ἐπὶ τῇ ὁράσει τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἐπί τε τῇ τῆς θαλάσσης πορείᾳ πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως, ἐπί τε τῇ κλάσει τοῦ ἄρτου μετὰ τὴν ἀνάστασιν, ὅτε καὶ εἶπεν αὐτοῖς "εἰρήνη ὑμῖν· ἐγώ εἰμι· μὴ φοβεῖσθε" — καταστέλλων δὲ αὐτῶν

1 κῶδ. *διατοῦ*. — 2 κῶδ. *προστὴν*. — 4 Ματθ. ζ', 7. Λουκ. ια', 9. — 5 κῶδ. *εὑρήσεται* || ὅτι δὲ-ἀνάγουσι] συγκεχυμένη σύνταξις· γραπτέον ἴσως: ὅτι δὲ καὶ τοῖς ἔθνεσιν οὐκ ἔκφυλοί τινες ὑπάρχουσι θεοί, τουτέστιν ἄγγελοι, ἀλλ' ὧν κύριος ὁ κατὰ φύσιν θεός, καὶ ὅτι πρὸς αὐτὸν κτλ. — 6 κῶδ. *τινές* || κῶδ. *καταφύσιν*. — 7 κῶδ. *προσαὐτὸν* || αὐτῷ] κῶδ. *αὐτὸν*. — 8 κῶδ. *δεικνυσι*. || κῶδ. *ὡς φησὶ* || Μωυσῆς] Δευτερ. λβ', 8. — 9 κῶδ. *ὅρια*. — 10 Δανιὴλ ε', 21-28. — 11 κῶδ. *τοῖτέστι*. — 13 κῶδ. *ποῖα*. — 14 κῶδ. *ἀπὸ κάλυψις*. — 16 κῶδ. *καυταυτὸν* || κῶδ. *ἐπέβαλλεν*. — 17 Γενέσ. β', 21. — 20 κῶδ. *ἐπιτὴν*. — 21 κῶδ. *ἐξαυτῆς . . . ἀλλῖνα*. — 23 κῶδ. *ἐπιτῆ*. — 26 Λουκ. κδ', 36 || κῶδ. *φοβεισθε. κατα στέλλων*.

τὴν ταραχὴν ἔλεγεν· "τί τεταραγμένοι ἐστέ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν";—, τοῦτο καὶ αὖθις γέγονεν. Διαλογιζομένης γὰρ τῆς Γολινδοὺχ ἐν ἑαυτῇ τὰ περὶ Θεοῦ καὶ τῆς εἰς Χριστὸν πίστεως, ἔκστασις αὐτὴν περιέσχεν ἐπὶ τρεῖς ἡμέρας καὶ θεωρεῖ τὸν ἄγγελον, ὡς πάλαι ποτὲ ὁ Κορνήλιος τὴν ἐνάτην προσευχόμενος, ὁδηγοῦντα καὶ ἀποφέροντα αὐτὴν ἔν τινι τόπῳ σκοτεινοτάτῳ καί τινας ἐν αὐτῷ ὄντας ὑποδεικνύντα. Ἡ δὲ τὸν ἄγγελον ἠρώτα, τίς ἂν εἴη ὁ σκοτεινὸς καὶ ζοφώδης οὗτος τόπος καὶ τίνες οἱ ἐν αὐτῷ ὄντες· ὁ δὲ ἄγγελος ἔφη πρὸς αὐτήν· "Οὗτος ὁ τόπος ἐστίν, ἐν ᾧ οἱ πρόγονοί σου εἰσίν, οἱ προσκυνήσαντες τοῖς εἰδώλοις, τοῖς λεγομένοις θεοῖς τῶν ἐθνῶν". Δυσφορούσης δὲ αὐτῆς ἐπὶ τῇ τοιαύτῃ ὁράσει καὶ στεναζούσης, μετάγει πάλιν αὐτὴν εἰς ἕτερον τόπον παμμεγέθη καὶ δείκνυσιν αὐτῇ διά τινος βραχείας θυρίδος πάμπολλα πλήθη ἀνδρῶν τε καὶ γυναικῶν ἐν φωτὶ καὶ πάσῃ εὐφροσύνῃ ὑπάρχοντα· καὶ ὁ μὲν ἄγγελος ἔδοξεν εἰσιέναι διὰ τῆς θυρίδος πρὸς αὐτούς, ἠβούλετο δὲ καὶ αὕτη μετ' αὐτοῦ τὴν εἴσοδον ποιήσασθαι· ὃ δὲ διεκώλυεν αὐτὴν φάσκων, ὅτι οὐ δύναταί τις εἰσελθεῖν ἐνταῦθα μὴ ἔχων τὸ βάπτισμα τοῦ Χριστοῦ.

5. Ὡς οὖν ἐν ἑαυτῇ γέγονεν καὶ τὰ τῆς ἀποκαλύψεως ταύτης πέρας ἐδέξατο ἐξ αὐτῆς, κατ' οὐδένα τρόπον ὑπερτιθεμένη τὴν ἑαυτῆς σωτηρίαν, ἀλλὰ τὸ θερμὸν τῆς πίστεως τοῦ Ἀβραὰμ ἀναλαβοῦσα καὶ μεθ' ἑαυτῆς ἀεὶ ταύτην ἔχουσα, ὥσπερ καὶ πόλις τεῖχος ἀρραγὲς ἄσειστόν τε καὶ ἀκαταγώνιστον περιβεβλημένη, φωνῆς πάλιν ἤκουσε δεσποτικῆς τε καὶ θείας, τῆς λεγούσης "Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω"· οὕτω γὰρ ποιεῖν εἴωθεν ὁ Θεὸς ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· "ἔτι

1 Λουκ. κδ', 38. — 3 κῶδ. *ἐνεαυτῇ τὰ περιθῦ*. — 4 κῶδ. *ἐπιτρεῖς*. — 5 Κορνήλιος] Πράξ. ἀποστ. ι', 3. — 6 κῶδ. *ἐννάτην*. — 7 κῶδ. *ὑποδεικνῦντα*. — 13 κῶδ. *παμμεγεθη*. — 16 κῶδ. *ἠβούλετο*. — 17 κῶδ. *εἰσοδον*. — 21 κῶδ. *ἐξαυτῆς*. — 23 κῶδ. *καιμεθέαυτῆς*. — 27 κῶδ. *οὕτω*. — 28 κῶδ. *θελων* || κῶδ. *αληθείας* || κῶδ. *ἔτιγαρ*.

γὰρ λαλοῦντός σου", φησίν, "ἐρῶ ἰδοὺ πάρειμι"· ἀποσεισαμένη τε ἀνδρικῶν νομίμων τε καὶ ἠθῶν τὸ ἀπατηλὸν καὶ μάταιον, ἐπεθύμει πολλῷ πλείω νύμφη γενέσθαι Χριστοῦ· πῶς δὲ τούτου τῆς παστάδος ἐντὸς ἐχρῆν γενέσθαι, ἥτις ἐστὶν ἡ ἁγία κολυμβήθρα, τρόπον ἐζήτει τὸν εὔλογον καὶ ἁρμόζοντα.

6. Οἰκονομικῶς τοίνυν κλέπτει τὴν σωτηρίαν, συλᾷ τὴν ἀθανασίαν, ὡς λῃστὴς τὴν βασιλείαν, ἐπειδὴ καὶ οὗτος νόμος εὐσεβοῦς ἀθλήσεως, φειδοῖ τῶν διωκόντων μὴ ἑαυτοὺς ἐμβαλεῖν εἰς τοὺς ἀγῶνας. Αὕτη τοιγαροῦν ἀπὸ τοῦ σαρκικοῦ ἀνδρὸς ἑαυτὴν ἀφανῆ πρὸς βραχὺ καταστήσασα καὶ πρὸς τοὺς ἑαυτῆς κατὰ σάρκα γεννήτορας τὸν δρασμὸν προφασισαμένη, ἐκκλίνασά τε τὴν διεσταλμένην καὶ ἀριστερὰν τῶν ἀμφοτέρων ὁδόν, προσέδραμε πρὸς τοὺς πνευματικῶς αὐτὴν διὰ τῆς ἁγίας καὶ σεβασμίας κολυμβήθρας μέλλοντας ἀναγεννᾶν· οἳ καὶ θᾶττον τὸν πόθον αὐτῆς ἔργῳ πεπληρώκασιν. Ὡς οὖν ἠξιώθη τοῦ ἁγίου βαπτίσματος, γέγονεν ἡ ποτὲ Γολινδοὺχ νῦν "γῆ ἁγία" καὶ "μερὶς" Κυρίου, μετονομασθεῖσα Μαρία διὰ τῆς τοῦ ἁγίου βαπτίσματος ἀναγεννήσεως. Πληρωθεισῶν οὖν ἐπ' αὐτῇ τῶν νενομισμένων ἤγουν ἱλαρίων ἡμερῶν, ὑπέστρεψεν εἰς τὸν ἀνδρικὸν αὐτῆς οἶκον, τὸν ἐν χειμασίᾳ καὶ ζάλῃ τῆς ἀγνωσίας ὑπάρχοντα, φέρουσα μέντοι "κάρφος ἐλαίας ἐν τῷ στόματι", ὡς ἐκείνη ἡ τοῦ δικαίου Νῶε περιστερά, τὴν ἑαυτῆς καὶ μόνην ἀπαγγέλλουσα τέως σωτηρίαν. Καὶ οὐκέτι μὲν ταῖς ἀνδρικαῖς ἀγκάλαις προσεπλάκη, ἀλλ' οὐδὲ τοῖς πατρῴοις ἤθεσιν ἐμιάνθη· σκοπὸς δὲ αὐτῇ τῆς τοιαύτης συνδιαγωγῆς οὗτος ἦν, τὸ κἀκεῖνα τὰ θηρία τὰ ἄγρια καὶ ἀνήμερα τιθασσεῦσαι καὶ μεταβαλεῖν ἀπὸ τῆς ἀπιστίας εἰς τὴν τοῦ Θεοῦ ἐπίγνωσιν, ἵνα, καθὼς φησιν Ἡσαΐας ὁ προφήτης, ὑπὸ τοῦ μικροῦ παιδίου, ὅς ἐστιν

1 Ἡσαΐα νη', 9 || κῶδ. *ἀποσισαμένη*. — 4 κῶδ. *γενεσθαι*. — 5 κῶδ. *αρμόζοντα*. — 8 κῶδ. *εμβαλεῖν*. — 9 κῶδ. *τοιγαροῦν ἀποτοῦ*. — 10 κῶδ. *προσβραχὺ* || κῶδ. *κατασάρκα*. — 14 κῶδ. *θάττον*. — 15 κῶδ. *ηξιώθη*. — 16 γῆ ἁγία] Ἐξόδ. γ', 5 || μερὶς] Λουκ. ι', 42. — 18 κῶδ. *ἱλαρίων* || ἱλ. ἡμερῶν] ὅρα Διονύσ. Ἀρεοπαγ. σ. 1097c καὶ τὰ σχόλια Μαξίμου τοῦ ὁμολογητοῦ εἰς τὸν αὐτὸν Διονύσιον, σ. 556 Α. — 19 κῶδ. *ανδρικῶν αὐτῆς*. — 20 Γεν. η', 11. — 22 κῶδ. *ἀπαγγέλουσα* || κῶδ. *οὐκετι*. — 26 κῶδ. *καθῶς φησὶν*. — 27 Ἡσαΐα ια', 6 || κῶδ. *ὅσεστιν*.

Χριστὸς κύριος, ἀχθῶσιν καὶ ποιμανθῶσιν λύκος μετὰ ἀρνός, ἢ μᾶλλον εἰπεῖν μετὰ αὐτῆς τῆς ἀμνάδος Χριστοῦ. Ὡς ἐκεῖνοι μὲν ἔμενον ἀπὸ τῆς ἑαυτῶν πλάνης ἀμετάβλητοι, αὐτὴ δὲ τῆς ἐν Χριστῷ πίστεως τε καὶ πολιτείας ἑδραίως καὶ διαπύρῳ τῷ πνεύματι τὴν ὁδὸν διήνυεν, ἀπεπέμπετο δὲ καὶ τὸ συναυλίζεσθαι τῷ ἀνδρί, πλέον δὲ καὶ τὸ συγκαθεύδειν αὐτῷ.

7. Αἰσθόμενος ὁ ἀσεβὴς ἐκεῖνος καὶ ἀλιτήριος, μᾶλλον δὲ μαθὼν ἀκριβῶς ἑτέρου βίου, τουτέστι τῆς τῶν χριστιανῶν πίστεως, ταύτην γεγονυῖαν, δέον αὐτὸν μιμητὴν αὐτῆς γενέσθαι καὶ συλλήπτορα τῶν ἀγαθῶν ἔργων, τοὐναντίον πεποίητο. Ἀπωδύρετο τὴν ἑαυτοῦ πρόσκαιρον γινομένην ἐγκατάλειψιν· ἐθρήνει τῆς σαρκικῆς συναφείας τὸν χωρισμόν, ὅλως σαρκῖνος ὢν καὶ ἀκάθαρτος· παρεκάλει μετὰ δακρύων πικρῶν τὴν ἄρνησιν αὐτὴν ποιήσασθαι τῆς πίστεως τοῦ Χριστοῦ καὶ Θεοῦ. Ὡς οὖν πολλὰ ποιήσας μετὰ πάσης ὁμοῦ τῆς μαγικῆς τε καὶ διαβολικῆς τέχνης ἔδρασεν οὐδὲν πλέον — ἡ γὰρ οἰκία καλῶς ἐπὶ τῆς πέτρας, ἥτις ἐστὶν ὁ Χριστός, ᾠκοδομήθη καὶ ἔμεινεν ἀκλόνητος καὶ ἀμετάτρεπτος, — προσέρχεται λοιπὸν τῷ πάλαι Χοσρόῃ οὐκέτι ὡς ἀνήρ, ἀλλ' ὡς ἐχθρὸς ἅμα καὶ ἐκδικητής· ἀπαγγέλλει τὴν αἰτίαν, ὅτι χριστιανὴ γέγονεν ἡ ποτὲ γυνὴ αὐτοῦ Γολινδούχ.

8. Πέμπει οὖν πρὸς αὐτὴν ὁ βασιλεὺς τινὰ τῶν ἐνδόξων αὐτοῦ, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις καὶ ἐπὶ μήκιστον χρόνον παρενοχλῶν αὐτὴν καὶ παραινῶν, ἀπειλῶν ἀπατῶν καὶ ὅσα τοιαῦτα· ἔπειτα δὲ καὶ προέτρεπε φάσκων· "Εἰ πεισθείης μοι καὶ ἀπαρνήσασθαι θελήσεις τὴν τῶν χριστιανῶν πίστιν, ἐπανελθεῖν δὲ εἰς τὴν ἀρχαίαν σου θρησκείαν τε καὶ κατάστασιν, γυναῖκά σε, μὰ τοὺς θεούς, λαμβάνω". Ἡ δὲ πρὸς τὸν ταῦτα διακονήσαντα λέγει·

2 κῶδ. *ὡσεκεῖνοι.* — 4 κῶδ. *ἐδραίως καὶ διὰ πύρω.* — 7 κῶδ. *ἐσθόμενος ὁ ασεβὴς ἐ. κ. αλιτήριος.* — 8 κῶδ. *τοῦτέστι.* — 9 κῶδ. *γενεσθαι.* — 11 κῶδ. *ἑαυτοῦ* || κῶδ. *εθρήνει* — 12 σαρκῖνος] οὕτως ὁ κῶδιξ. — 14 κῶδ. *τῆς πίστεως ποιήσασθαι τοῦ χυ . . . μεταπάσης.* — 16 κῶδ. *ἐπιτῆσπετρας* || πέτρας] Ματθ. ζ', 24, 25. Λουκ. ς', 47, 48· Κορινθ. 1, ι', 4. — 18 κῶδ. *προσἔρχεται* || κῶδ. *ἀλλῶς.* — 19 κῶδ. *ἅμα κ. ἐκδικητὴς.* — 22 κῶδ. *αὐτοῦ. οὐχάπαξ* || κῶδ. *ἐπιμήκιστον.* — 23 κῶδ. *αὐτὴ.* — 26 κῶδ. *γυναῖκα σε ματοὺς.* — 27 κῶδ. *προστὸν.*

"Ἐρωτήσω σε κἀγὼ λόγον ἕνα". ὁ δὲ "εἰπὲ" φησίν· ἡ δὲ πρὸς αὐτόν· "Βεβαίωσαί μοι ἀσφαλῶς, ὅτι ἐὰν λάβῃ με γυναῖκα ὁ βασιλεύς, οὐκ ἀποθνήσκει, καὶ ὑπακούω τοῦ βασιλέως τὸ πρόσταγμα". Τοῦ δὲ φήσαντος, ὡς οὐδ' ἐνδεχόμενον εἴη τοιοῦτό τι γενέσθαι ποτέ, ἄνθρωπος γάρ ἐστι καὶ θνητός ἐστιν, τάδε πάλιν πρὸς αὐτὸν ἡ μάρτυς· "Ἐγὼ ἀθανάτῳ νυμφίῳ, τῷ Χριστῷ μου, ἐνυμφεύθην καὶ ἀθάνατον ἔχω βασιλέα, καὶ συμβουλεύεις μοι τὸν ἀθάνατον καὶ ἀεὶ ὄντα καταλεῖψαι βασιλέα καὶ τὸν θνητὸν λαβεῖν με καὶ μὴ ἔχειν με αὐτὸν διὰ παντός; ἀλλ' ἄπιθι πρὸς τὸν ἀποστείλαντά σε· π[οι]είτω ὅπερ βούλεται, ἑτοίμη γάρ εἰμι πάντα ὑπομεῖναι διὰ Χριστὸν τὸν ἐμὸν νυμφίον".

9. Ἐπανελθὼν δὲ πρὸς τὸν βασιλέα ὁ πεμφθεὶς παρ' αὐτοῦ πρὸς τὴν μάρτυρα, μηνύει καὶ τὰ ῥήματα καὶ τὴν ἔνστασιν τῆς εἰς τὸν Χριστὸν πίστεως αὐτῆς. Ὁ δὲ βασιλεὺς Χοσρόης, ὁ νέος Ναβουχοδονόσωρ, ἐκέλευσεν αὐτὴν ἀπενεχθῆναι εἰς τὸ τῆς Λήθης φρούριον, ὡς πάλαι ποτὲ ἐκεῖνος εἰς τὸν λάκκον τῶν λεόντων τὸν Δανιήλ· ἔμεινε δὲ ἐν αὐτῷ τῷ φρουρίῳ ἔτη δέκα καὶ ὀκτὼ σεσιδηρωμένη καθ' ὅλου τοῦ σώματος. Ὅθεν καὶ μετὰ τὴν τοῦ Χοσρόου τελευτὴν ὁ τῆς μεγαλοπρεποῦς μνήμης Ἀριστόβουλος ἀπελθὼν εἰς πρεσβείαν καὶ ἐν αὐτῇ τῇ Περσίδι μαθὼν τὰ περὶ αὐτῆς, αἰτήσας εἰσῆλθεν εἰς τὸ φρούριον ἐκεῖνο καὶ ἔλαβεν εὐλογίας χάριν ἐκ τῶν περικειμένων αὐτῇ ἁλύσεων, ἀντ' αὐτῶν παρασχὼν ἕτερα. Μείνασα οὖν ἐν τῷ τόπῳ ἐκείνῳ ἐν τοσούτῳ χρόνῳ, ἐδυνήθη καὶ γράμματα συριακὰ καὶ ψαλμοὺς συριστὶ μαθεῖν ἐκ τῶν ἐκεῖσε σὺν αὐτῇ καθειργμένων πιστῶν ἀνδρῶν, ὡς πολλοὺς καὶ τῶν ἀπίστων πιστεῦσαι τῷ Χριστῷ δι' αὐτῆς. Ὅπερ μαθὼν ἔτι περιὼν ὁ Χοσρόης ἐκεῖνος ὁ βασιλεύς, κακώσεις πολυτρόπους καὶ πληγὰς αὐτῇ πλείστας τηνικαῦτα προσήγαγεν. Ὁρμίσδας δὲ ὁ υἱὸς

3 κῶδ. *οὐκαποθνήσκει.* — 4 κῶδ. *οὐδὲν δεχόμενον.* — 5 κῶδ. *τὰ δὲ π. προσαὐτὸν.* — 9 κῶδ. *ἀλλἄπ. προστὸν.* — 10 κῶδ. *π////είτω.* — 12 κῶδ. *προστὸν· οὕτω καὶ ἑξῆς* || κῶδ. *παραυτοῦ.* — 13 κῶδ. *ταῥήματα.* — 14 κῶδ. *ὁδε.* — 17 Δανιὴλ ς' 13-28 || κῶδ. *ἐναυτῶ* || κῶδ. *ὀκτῶ.* — 18 κῶδ. *καθόλου.* — 20 κῶδ. *ἐναυτῇ τῇ περσίδῃ μ. τ. περιαὐτῆς.* — 21 κῶδ. *εἰστὸ.* — 22 κῶδ. *αὐτὴ.* — 25 κῶδ. *συναυτὴ.* — 26 κῶδ. *διαὐτῆς.* — 28 κῶδ. *αὐτὴ* || κῶδ. *ὀρμίσδας.*

αὐτοῦ, ὁ καὶ τὴν ἐκείνου βασιλείαν παραλαβών, ἐξέβαλε μὲν αὐτὴν τῆς εἱρκτῆς, ἐν ᾗ ἐβέβλητο, μείζονας δὲ πληγὰς καὶ μάστιγας αὐτῇ καθ' ἑκάστην ἡμέραν προσάγων οὐ διελίμπανεν.

10. Τυπτομένης γοῦν αὐτῆς ἐν μιᾷ ὑπὸ τῶν δημίων ἀφειδῶς, ἡ μάστιξ ἐνεχθεῖσα καθ' ἑνὸς τῶν μαζῶν αὐτῆς διέτεμεν αὐτὸν εἰς δύο· ἡ δὲ τὰς ἀλγηδόνας γενναίως ὑπομείνασα εὐχαρίστησε τῷ Χριστῷ, ὅτι κατηξιώθη ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ παθεῖν. Παραμυθησάμενος δὲ αὐτὴν ὁ τὴν θάλασσαν τεμὼν Θεὸς καὶ πάλιν συνάψας, εὐθὺς καὶ παραχρῆμα συνῆψε τὴν διαιρεθεῖσαν θηλήν, ὡς μηδὲ ὅλως φέρειν αὐτὴν τοῦ πάθους τεκμήρια, ἅμα μὲν ταύτην πείθων ἐμμένειν τῇ πίστει καὶ καρτερῶς φέρειν τὰς βασάνους, ἅμα δὲ καὶ τοὺς ἀπίστους προτρέπων τὴν ἑαυτῶν ἀφέντας πλάνην προστρέχειν τῷ ἀληθινῷ καὶ ζῶντι Θεῷ. Τί οὖν οἱ βασανισταὶ καὶ οἱ τούτους ἐπιτάσσοντες; δέον, μεταβληθέντας αὐτοὺς ἀπὸ τῆς ἀγριότητος εἰς ἡμερότητα, ἢ πιστεῦσαι τῷ θαυματουργήσαντι Χριστῷ τῷ Θεῷ ἡμῶν, ἤ, εἰ μὴ τοῦτο πράξαι βούλοιντο, οἰκτεῖραι γοῦν τὴν ὁμόφυλον ἀλλ' οὐχ ὁμόφρονα, τἀναντία πεποιήκασι τῇ τοῦ Χριστοῦ νύμφῃ· βαλόντες γὰρ εἰς σάκκον στακτὴν ζέουσαν, οὐκ ἀμοιροῦσαν, ὡς οἶμαι, οὔτε ἀνθράκων, ἐν αὐτῷ τῷ σάκκῳ τὴν κεφαλὴν αὐτῆς ἐνέβαλον· καὶ σφραγίσαντες τὸν σάκκον ἔρριψαν αὐτὴν ἔν τινι τόπῳ, ἵνα πληρωθῇ καὶ νῦν, μικρὸν ὑπαλλαττόμενον, τὸ ψαλμικὸν λόγιον τὸ φάσκον· "καὶ ἔθεντο τὸ ἔνδυμα μου σάκκον καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν· κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον".

11. Ἀλλ' οὐκ εἴασεν αὐτὴν ἀβοήθητον ὁ τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ διασώσας· ὡς γὰρ ἐξ αὐτῆς "τὴν φλόγα τοῦ πυρὸς ἐξετίναξεν ἄγγελος Κυρίου καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς

1 κῶδ. *εκείνου*. — 2 κῶδ. *εἰρκτῆς* || κῶδ. *μαστιγας*. — 3 κῶδ. *καθεκάστην* || κῶδ. *ουδιελ*. — 4 κῶδ. *ὑποτῶν*. — 7 κῶδ. *ὑπερτοῦ*. — 9 κῶδ. *παρὰ χρῆμα*. — 10 κῶδ. *μὴδε*. — 17 κῶδ. *ἀλλούχ*. — 18 κῶδ. *βαλλόντες γ. εἰσἄκκον*. — 19 κῶδ. *οὐκαμοιροῖσαν*. — 22 Ψαλμ. ξη', 13, 14. — 26 κῶδ. *παίδας*. — 27 κῶδ. *ἐξαυτῆς* || Προσευχῆς Ἀζαρίου κλπ. στίχ. 25 καὶ 26.

πνεῦμα δρόσου διασυρίζον καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ παρηνώχλησεν αὐτούς", οὕτως καὶ νῦν τῆς παιδός, ἤγουν τῆς νύμφης Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ, οὐκ ἐκυρίευσεν ἡ τῶν ἀνθράκων σωρεία, ἀλλὰ καὶ ἐξ αὐτῶν τὴν καυστικήν τε καὶ πνιγώδη δύναμιν ἐκτινάξας καὶ διακόψας ὁ τὴν βάτον ἄφλεκτον διαφυλάξας — " ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν" — περισῴζει καὶ τὴν μάρτυρα ταύτην, μετὰ τὴν παράτασιν τῆς τιμωρίας ἐκείνης, ἀβλαβῆ καὶ ἀκέραιον. Ἰσραηλῖτις γὰρ ἀληθὴς τυγχάνουσα καὶ τὴν πίστιν τοῦ Ἀβραὰμ ἔχουσα, τὸν ἐκ τῆς Αἰγυπτιακῆς καμινιαίας αἰθάλης καὶ τῶν ἐξ αὐτῆς ἀναζεουσῶν φλυκταίνων καὶ αὕτη νῦν ἐξέφυγε κίνδυνον· ἔλεγε γάρ, ἐξαιρεθεῖσα ὑπὸ τῶν Χαλδαίων τοῦ σάκκου καὶ τῆς φυλακῆς, ὅτι " ἐνόμιζον ἐμαυτὴν μὴ εἰς σάκκον ἢ εἰς σποδιὰν πνιγώδη καὶ φλέγουσαν ὑπάρχειν, ἀλλ' εἰς θάλαμον καὶ οἶκον διάφωτον, πάσης εὐωδίας πεπληρωμένον, διάγειν τε καὶ ἐναυλίζεσθαι ἐν τοιούτοις οἴκοις διὰ τῆς τοῦ Θεοῦ μου βοηθείας". Εἰκὸς οὖν ἦν καὶ αὖθις μελῳδεῖν αὐτὴν τὸ Δαυιτικὸν λόγιον, ὅτι " διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην, ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ· κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι". Ἀλλ' ὁ μὲν πάλαι Ναβουχοδονόσωρ τῷ θαύματι τῆς καμίνου καταπλαγείς, τὸ ἄθραυστον τῶν παίδων θεασάμενος, δόγμα ἔθετο, τὸ μὴ δεῖν λέγειν τι κατὰ τοῦ θεοῦ Σεδρὰγ Μισὰκ καὶ Ἀβδεναγώ, τοὺς παῖδας δὲ τιμαῖς καὶ δορυφορίαις ἠμείψατο πλουσίως καὶ ἄρχειν αὐτοὺς ἐν τῇ βασιλείᾳ προσέταξε τῇ αὐτοῦ· οἱ δὲ νῦν ἀπανθρωπότεροι Βαβυλώνιοι τὴν ἁγίαν ἀμνάδα καὶ παῖδα τοῦ Χριστοῦ οὐχὶ τιμαῖς, ἀλλὰ τιμωρίαις πλείοσιν ἔβαλλον· σκοπεῖτε γὰρ καὶ ἐν ποίᾳ πάλιν ἑτέρᾳ τιμωρίᾳ τὴν ἀθληφόρον ἐνέβαλον.

2 αὐτοὺς] οὕτως ἐν τῷ κώδικι. — 3 κωδ. *οὐκεκυρίευσεν*. — 4 κῶδ. *σωρία*. — 5 Ἐξόδ. γ', 3. Ἑβρ. ιβ', 29. — 6 Δευτερ. δ', 24.—8 κῶδ. *ἀβλαβὴ* || κῶδ. *ἰσραηλίτις*.— 9 κῶδ. *εχουσα*. — 10 τῶν] κῶδ. *τὸν*. — 11 κῶδ. *ὑποτῶν*. — 13 κῶδ. *εἰσᾴκκον* ἢ *εἰσποδιὰν*. — 17 Ψαλ. κθ', 12, 13. — 19 κῶδ. *τὸναιῶνα*. — 20 Δανιὴλ γ', 29. — 22 κῶδ. *τὶ* || Σεδρὰγ] οὕτως ὁ κῶδιξ. — 24 κῶδ. *αὐτοῦ*.—27 κῶδ. *ἐνέβαλλον*.

12. Δράκων ἦν ἢ καὶ ἔστιν παρ' αὐτοῖς (ὡς ὁ πάλαι ποτέ, ὃν [ὁ] Δανιὴλ διὰ τῆς μάζης ἐθανάτωσεν), ὃν ἐν λάκκῳ ἐγκατάκλειστον ἔχοντες, εἴτε ὡς θεὸν σέβοντες, εἴτε ὡς ἐχθρὸν νομίζοντες τῶν χριστιανῶν καὶ ἐκδικητὴν τῆς ἑαυτῶν ἀσεβείας οὐκ οἶδα, ὅμως δορυφοροῦντες καὶ τρέφοντες οὐ διαλιμπάνουσιν. Τί οὖν ποιοῦσιν οἱ τοῦ ἀποστάτου καὶ νοητοῦ δράκοντος ὑπουργοί; Ἐμβάλλουσι τὴν ἀμνάδα τοῦ Χριστοῦ εἰς ἐκεῖνον τὸν λάκκον, ἐν ᾧ ἦν ἐκεῖνο τὸ θηρίον, ὀφείλουσαν ἐξαναλωθῆναι παραχρῆμα. Ἀλλ' ἠγνόησαν οἱ ἀσεβεῖς καὶ ἄφρονες τύραννοι, καίτοι πρὸ ὀφθαλμῶν τὸ δράγμα τοῦ Δανιὴλ ἔχοντες, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς γενόμενον, ὅτι καθάπερ ἐκεῖνος καὶ μετ' αὐτὸν ἡ πρωτομάρτυς Θέκλα τοὺς λέοντας νηστεύειν ἐδίδασκον, ὁμοίως καὶ αὕτη τὸν δράκοντα, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον, τὸ "δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ"· δέδωκε γὰρ ἐξουσίαν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν τῇ ἀνθρωπίνῃ φύσει "πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ". Ὡς οὖν ἐμβληθεῖσα εἰς τὸν λάκκον ἔστη ἐν μιᾷ γωνίᾳ ἡ μάρτυς, πεποιθυῖα μᾶλλον ὡς ἐν παραδείσῳ τυγχάνειν τρυφῆς, τὰς χεῖρας διαπετάσασα καὶ ὅλη σταυρὸς γεγονυῖα καὶ τὸ ὅμμα τείνασα πρὸς τὸν Θεὸν ἀκλινῶς, ὁ πάλαι ποτὲ χρησάμενος ὀργάνῳ τῷ ὄφει Διάβολος πρὸς Εὔαν τὴν μητέρα ἡμῶν, ἣν καὶ ἠπάτησε διὰ τῆς ἐψευσμένης αὐτοῦ ἐρωτήσεως, καὶ αὖθις τῷ δράκοντι χρησάμενος ὁ αὐτὸς νοητὸς δράκων, διὰ φόβου καὶ ἀπάτης ἐβούλετο καταγωνίσασθαι καὶ ἀνελεῖν τὴν δούλην τοῦ Θεοῦ· ὑψοῦτο γὰρ τὸ θηρίον ἑαυτῷ καὶ τὸ στόμα εὐρύνον, προσαράσσον δὲ καὶ τοὺς ὀδόντας, ἐζήτει καταπιεῖν τὴν μάρτυρα· ἡ δὲ τὸ τοῦ σταυροῦ σημεῖον ὅλως κατ' αὐτοῦ κεχρημένη, κατέλυεν αὐτοῦ τὰς προσβολὰς καὶ τὰ δήγματα ὁ γὰρ τὸν προφήτην Ἰωνᾶν ἐν τῇ κοιλίᾳ τοῦ κήτους ἀναλλοίωτον διατηρήσας, ὥστε ψάλ-

1 ἢ] κῶδ. *εἰ*. — 2 προσέθηκα τὸ *ὁ* || Δανιὴλ ιβ', 27. — 4 κῶδ. *ασεβείας*. — 8 κῶδ. *παρὰ χρῆμα*. — 9 κῶδ. *προὸφθαλμῶν*. — 11 Θέκλα] Acta Pauli et Theclae 28, 33. — 12 κῶδ. *εδίδασκον*. — 13 Ψαλμ. ργ', 26. — 15 Λουκ. ι', 19 || κῶδ. *ἐπιπᾶσαν*. — 19 κῶδ. *προστὸν*. — 21 Γεν. γ', 1 κέ. — 24 κῶδ. *εὐρύνων*. — 25 κῶδ. *προσαράσσων*. — 26 κῶδ. *ὅλω*. — 27 κῶδ. *ταδήγματα*.

λειν αὐτὸν ἐν αὐτῇ καὶ λέγειν "ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέν μου", καὶ "ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, κύριε ὁ Θεός μου", αὐτὸς καὶ τοῦτον φιμώσας προσέτασσε μὴ ἀδικῆσαι τὴν μάρτυρα.

13. Ἐπειδὴ οὖν, οἷα εἰκός, καὶ αὐτὴν φόβος περιέσχε μικρὸς τὴν ἀρχήν, φανεὶς αὐτῇ ὁ συνήθης ἄγγελος, ὥς φησιν ὁ προφήτης Δαυίδ, "παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς", λέγει αὐτῇ· "Μὴ ἆρά γε φοβῇ σὺ τὸ θηρίον τοῦτο"; Ἡ δὲ τῷ ἀγγέλῳ ἀπεκρίνατο· "Πῶς γὰρ οὐχί; δέομαί σου, κύριέ μου". Ὁ δὲ πρὸς αὐτήν· "Οὐ μή σε ἀδικήσῃ· μηκέτι φοβηθῇς αὐτῷ". Ἐξ αὐτῆς οὖν τῆς ὥρας οὐκέτι τὸ θηρίον βρύχον τοὺς ὀδόντας ἐπήρχετο αὐτῇ, ἀλλ' ὡς ἀρνίον ἡμερωθὲν προσήγγιζε τῇ καλλινίκῳ μάρτυρι καὶ τὴν κεφαλὴν αὐτοῦ πρὸς τοῖς γόνασιν τῆς ἁγίας· εὐλογεῖν οἶμαι τὸν θεὸν ὡς ἐξ αὐτοῦ τοῦ σχήματος παρεκάλει τὴν μάρτυρα· τοῦτο γὰρ καὶ Δαυὶδ καὶ οἱ τρεῖς παῖδες ἔλεγον, ὃ μὲν ὅτι "αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι", οἱ δὲ πάλιν "εὐλογεῖτε, τὰ θηρία καὶ πάντα τὰ κτήνη"· ὁ γὰρ ἡμέτερος ὕμνος ἐκείνων γίνεται, παρ' ὧν ἡμεῖς τὸ ὑμνεῖν λαμβάνομεν. Ὡς οὖν ἔμεινεν ἱκανὰς ἡμέρας ἡ ἁγία μετὰ τοῦ δράκοντος ἄσιτος καὶ ἄποτος, αἰνοῦσα καὶ δοξολογοῦσα τὸν Θεόν, δεξαμένη καὶ δεχομένη τὰς προσβολὰς τοῦ νοητοῦ δράκοντος, γίνεται αὖθις καὶ ἕτερον θαῦμα γέμον ἐκπλήξεως· ἡ γὰρ ἀνθρωπίνη φύσις, ἵνα γένηται καθ' ὑπερβολήν, ὑπὲρ φύσιν τὰ τῆς ἀσθενοῦς φύσεως ὑπέμεινε καὶ μετὰ τοσαύτην ἀσιτίαν ὕστερον ἐπείνασεν· οἱ γὰρ ἀπάνθρωποι καὶ ὠμοὶ τύραννοι τῷ μὲν δράκοντι τροφὰς παρεῖχον προσφόρους, τῇ μάρτυρι δὲ οὐχὶ τροφὴν παρεῖχον, ἀλλὰ βρῶμα τοῦ δράκοντος αὐτὴν ἐκείνην ἐπεθύμουν γενέσθαι. Φανεὶς γοῦν αὐτῇ ὁ ἄγγελος ἠρώτα περὶ τῆς

2 Ἰωνᾶ β', 3. — 3 Ἰωνᾶ β', 7. — 4 κῶδ. *προσσὲ*. — 5 κῶδ. *φημάσας*. — 7 αὐτῇ] κῶδ. *αὐτὴν* || κῶδ. *φησὶν*.—8 Ψαλμ. λγ', 7.—9 κῶδ. *ἄραγε*.—14 κῶδ. *αὐτοῦ*.—15 κῶδ. *ἑξαυτοῦ*. — 17 Ψαλμ. ρμή', 7. — 18 Προσευχῆς Ἀζαρίου στίχ. 58. — 24 κῶδ. *καθυπερβολὴν*. — 25 κῶδ. *τὸσαύτην*. — 62 κῶδ. *επείνασεν*. — 29 κῶδ. *γοὖν α. ὰαγγελος*.

πείνης· ἡ δὲ τὸ [ἐπ'] ἀληθείας ἀπεκρίνατο εἰποῦσα, ὅτι "πρόσπεινος γέγονα καὶ εἰμί". Ὁ δὲ ἄγγελος ἁψάμενος τοῦ στόματος αὐτῆς καὶ σφραγίσας αὐτὸ εἶπεν αὐτῇ· "Ἀπὸ τοῦ νῦν οὐ μή σου ἅψηται πεῖνα ἢ δίψα, καὶ ἐν τῇ σῇ ἐξουσίᾳ ἔστω τοῦ μεταλαμβάνειν σε τροφῆς, εἴτε καὶ μή". Ὅθεν καὶ ἐξ αὐτῆς τῆς ὥρας οὐκέτι ὠχλήθη ὑπὸ τῆς πείνης· ἀλλὰ καὶ ἐξελθοῦσα ἐκ τοῦ λάκκου ἐκείνου, εἴ ποτε τροφῆς ἐβούλετο μεταλαβεῖν, ἄρτον βραχὺν βάπτουσα εἰς ἄκρατον καὶ τὸ πόμα μόνον λαμβάνουσα τὴν χρείαν τοῦ σώματος παρεμυθεῖτο, καὶ τοῦτο οὐ συχνῶς, ἀλλὰ σπανίως καὶ ὅτε ἤθελε, διὰ δέκα ἡμερῶν ἢ καὶ πλειόνων πράττουσα διεκαρτέρει, καθὼς φησιν ὁ κύριος καὶ Θεὸς ἡμῶν· "οὐκ ἐπ' ἄρτῳ μόνον ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ".

14. Ὡς οὖν ἔμεινεν ἐν τῷ λάκκῳ ἐκείνῳ μετὰ τοῦ δράκοντος τριμηναῖον ἢ καὶ πρὸς χρόνον ἡ μάρτυς, ἁπτομένη καὶ τῆς κεφαλῆς καὶ τῶν χειλέων τοῦ ζῴου, τὸ μὲν θηρίον διὰ τοῦ ἀγκίστρου τῆς εἰς τὸν Χριστὸν πίστεως αὐτῆς ἡμέρωσεν, οἱ δὲ ἀσεβεῖς τύραννοι ἔμειναν ἀμετάβλητοι, κατὰ τὸν ἀπ' ἀρχῆς ἀνθρωποκτόνον ψεύστην καὶ πατέρα αὐτῶν Διάβολον, καίτοι γε καθ' ἑκάστην ἡμέραν προσήγγιζον τῷ λάκκῳ καὶ ἤκουον ψαλλούσης αὐτῆς καὶ διηγουμένης τὰ μεγαλεῖα τοῦ Θεοῦ· μόλις δέ ποτε, οὐχ ὡς οἰκτεῖραι βουλόμενοι, μειζόνως δὲ κακῶσαι πειρώμενοι, ἀνείλκυσαν αὐτὴν ἐκ τοῦ λάκκου, ὥσπερ καὶ οἱ πατέρες αὐτῶν τὸν Δανιὴλ ἐκ τοῦ λάκκου τῶν λεόντων καὶ οἱ ἀπειθεῖς Ἰουδαῖοι τὸν προφήτην Ἱερεμίαν ἐκ τοῦ βορβόρου τοῦ λάκκου. Ἀλλ' οὐδὲ οὕτως ἢ κατεπλάγησαν ἢ ἐτίμησαν ἢ ἐλευθέραν ἀφῆκαν τῶν δεσμῶν καὶ τῶν μαστίγων τὴν μάρτυρα. Τοὐναντίον μὲν οὖν ἐφευρέσεις κακῶν ἐτεκταίνοντο κατ' αὐτῆς· ὡς γὰρ ἐξέλιπον ἐξερευνήσεις τιμωριῶν ποιούμενοι κατὰ τῆς ἀδάμαντος, οἳ καὶ ἀπεκρούοντο θᾶττον, ὡς

1 προσέθηκα τὸ ἐπ' || πρόσπεινος] πρβλ. Πράξ. ι', 10.— 2 κῶδ. *ἁψάμενος*. — 5 κῶδ. *ἐξαυτῆς*. — 6 κῶδ. *ὑποτῆς*. — 7 κῶδ. *μετὰ λαβεῖν*. — 8 κῶδ. *τοπόμα*. — 11 Δευτερ. η', 3. Ματθ. δ', 4. Λουκ. δ', 4 || κῶδ. *ἐπάρτω*. — 12 κῶδ. *επιπαντὶ* || κῶδ. *διαστόματος*. — 14 κῶδ. *ἀπτομένη*. — 15 ἀγκίστρου] πρβλ. Ματθ. ιη' 27. — 17 κῶδ. *ἀπαρχῆς*.— 18 κῶδ. *αὐτὸν*.—19 κῶδ. *καθέκάστην*.—20 κῶδ. *διῆγουμένης*.—21 κῶδ. *μειζώνως*.— 23 Δανιὴλ ς', 23 || κῶδ. *ἀπειθεὶς*.—24 Ἱερεμ. με', 13 || κῶδ. *ἀλλοὐδε*.—28 κῶδ. *θάττον*.

βέλος στερρῷ προσρηγνύμενον πύργῳ, καὶ ἑτέραν ἐπινοοῦσι τιμωρίαν αἰσχρουργίας ἀνάμεστον. Τίς οὖν αὐτῇ; βουλεύονται πονηρὰν βουλὴν ἐπὶ τῷ μιάναι καὶ φθαρῆναι τὸν ναὸν τοῦ σώματος τῆς ἁγίας ἐκείνης ψυχῆς· ποιοῦσιν δὲ αὐτὴν ἐγκατάκλειστον εἰς ἕνα οἶκον, καὶ συλλέξαντες πλῆθος ἀνδρῶν ἀσώτων ἐπέτρεπον οἱ τύραννοι εἰσιέναι καὶ μιάναι τὴν ἀμίαντον τοῦ Χριστοῦ νύμφην· ἡ δὲ τὸ ἀσθενὲς τέως τῆς φύσεως ἐννοοῦσα καὶ καθ' ἑαυτὴν διαλογιζομένη, μήπως κατισχύσωσιν αὐτῆς οἱ λῃσταρχοι καὶ Ἀραβικοὶ λύκοι — τῶν γὰρ θηρίων οἱ πονηροὶ ἄνθρωποι χείρονες τυγχάνουσι —, τὸν Θεὸν παρακαλεῖ συνήθως αὐτῇ βοηθὸν γενέσθαι λέγουσα· "ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπων πονηρῶν· ἀπὸ ἀνδρῶν ἀδίκων καὶ δολίων ῥῦσαί με". Ἀλλ' ὁ τὸν Ἰωσὴφ καὶ τὴν Σωσάνναν περισωσάμενος αὐτίκα καὶ ταύτης γέγονε σκεπαστὴς καὶ ἀντιλήπτωρ· πατάξας γὰρ ἀορασίᾳ καὶ αὖθις, ὡς τοὺς Σοδομίτας ἐπὶ τοῦ Λὼτ καὶ τοὺς Σύρους ἐπὶ Ἐλισσαίου τοῦ προφήτου, τοὺς εἰσερχομένους ἄνδρας πρὸς τὴν μάρτυρα διεκώλυσεν ἅψασθαι αὐτῆς· οὐ γὰρ ἑώρων αὐτήν, αὐτὴ δὲ πάντας ἔβλεπε τοὺς εἰσερχομένους ἄνδρας πρὸς αὐτήν. Καὶ οἱ μὲν ἐπὶ τῇ ἀσωτίᾳ παρεσκευασμένοι πολλάκις εἰσερχόμενοι καὶ ἐξερχόμενοι εἰς τὸν οἶκον, ἐν ᾧ ἦν ἡ τοῦ Θεοῦ νύμφη, ἐξήεσαν κατῃσχυμμένοι καὶ ἄπρακτοι, λέγοντες, ὅτι "οὐδὲν θεωροῦμεν, οὔτε μὴν ἔστιν ἔσω τις"· οἱ δὲ τὴν φυλακὴν πεπιστευμένοι εἰς τὸ οἴκημα ἐθεώρουν αὐτὴν καθεζομένην καὶ δοξάζουσαν τὸν Θεόν. Ἠρώτων δὲ αὐτὴν οἱ φύλακες, λέγοντες "ποῦ ἀπῆλθες, ἢ πῶς ἀφανὴς γέγονας"; ἡ δὲ πρὸς αὐτοὺς ἔλεγε μηδαμοῦ ἀνακεχωρηκέναι, ἢ ἔξω τοῦ οἰκήματος γενέσθαι.

15. Διαλυθείσης οὖν καὶ ταύτης αὐτῶν τῆς ματαιοπονίας, ἔλεγον οἱ ἀσεβέστατοι Βαβυλώνιοι πρὸς αὐτούς, ὅτι "γοήτριά ἐστι καὶ φαρμακίς· οὐκέτι δυνάμεθα περιγενέσθαι αὐτῆς"· καὶ διδόασι κατ' αὐτῆς ἄλλην δῆθεν ἀπόφασιν· ἔστι δὲ αὕτη. Νόμος, ἤγουν

3 κῶδ. *ἐπιτὸ μ. κ. φθαρεῖναι.* — 8 κῶδ. *αραβικοί.*—11 Ψαλμ. ρλθ', 1.—12 Ἰωσὴφ] Γενέσ. λζ', 26-28 || Σωσάνναν] Δανιὴλ α', 45-64.— 13 κῶδ. *σωσάνα π. αὐτίκα* || σκεπαστὴς] Γενέσ. ις', 2. — 14 ἀντιλήπτωρ] Ψαλμ. νη', 17 || πατάξας ἀορασίᾳ] Γενέσ. ιθ', 11. Βασιλ. 4, ς', 18.—16 κῶδ. *προστὴν μ. διεκώλυσεν.*—18 κῶδ. *ἐπιτῆ ἀσωτια.*— 21 κῶδ. *ἐστιν ἔ. τίς.* — 23 κῶδ. *ἠρώτων.* — 27 κῶδ. *αὐτούς.* — 29 κῶδ. *καταυτῆς.*

ἔθος ἐστὶ παρὰ Πέρσαις βουλλοῦσθαι τὸν τράχηλον τοῦ καταδικαζομένου διηνεκῶς ἐν ἐξορίᾳ. Βουλλοῦσι γοῦν καὶ τὴν μάρτυρα, τὴν ἐσφραγισμένην ἤδη τῷ σημείῳ καὶ τῷ αἵματι τοῦ Χριστοῦ, καὶ μετὰ ἄλλων, οὐχὶ μαρτύρων ἁγίων, καταδίκων δέ, τάττουσιν, ὅπως ἂν πληρωθῇ καὶ νῦν τὸ "μετὰ ἀνόμων ἐλογίσθην" καὶ "εἰ ἐμὲ ἐδίωξαν", ὥς φησιν ὁ Κύριος, "καὶ ὑμᾶς διώξουσιν"· πέμπεται δὲ καὶ αὐτὴ εἴς τινα τόπον, ἤτοι χώραν, διηνεκῶς καταδικασθεῖσα τὴν ἐξορίαν. Ὡς οὖν ἀρνίον ἄκακον τοῦ τυθῆναι ἀπήγετο ἡ ἁγία· ἐξαιρεῖται δὲ τοῦ θανάτου καὶ ταύτην ἄγγελος, ὡς τὴν Σωσάνναν ὁ Δανιήλ, μᾶλλον δὲ κἀκείνην καὶ ταύτην "τὸ πνεῦμα τὸ ἅγιον"· παρίσταται γὰρ ὁ ἅγιος ἄγγελος τῷ ἀπάγοντι αὐτὴν δεσμοφύλακι καὶ λέγει αὐτῷ· "ἀπόλυσον ταύτην τὴν γυναῖκα". Τοῦτο δὲ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις φανεὶς αὐτῷ εἶπεν· ὁ δὲ δεδοικὼς τὸν ἀπὸ τοῦ βασιλέως κίνδυνον, τὸ ὑπὸ τοῦ ἀγγέλου προσταχθὲν αὐτῷ οὐκ ἐπλήρωσε, φάσκων, ὡς "εἰ μὴ κατὰ τὸ αὐτοῖς νενομισμένον ἡ βούλλα δειχθῇ τῷ βασιλεῖ, οὐ πιστεύεται τῶν καταδίκων ὁ θάνατος, καὶ καταδικάζομαι εἰς τὴν ἐμαυτοῦ κεφαλήν"· ἡ γὰρ βούλλα οὐκ ἂν ἄλλως ἀφῄρητο τοῦ τραχήλου σώα καὶ ἀκέραιος, εἰ μήτοι γε τῆς κεφαλῆς ἀποτεμνομένης· τοῦτο δὲ μετὰ θάνατον προδήλως ἐγίνετο τῶν ἐν τῇ ἐξορίᾳ ἰδίῳ θανάτῳ τὸν βίον αὐτῶν καταστρεφόντων. Εἶτα τί γίνεται; λέγει τῷ δημίῳ πάλιν ὁ ἄγγελος· "ὑφορᾷς τὸν κίνδυνον τὸν ἐκ τοῦ βασιλέως σου, ἐὰν μὴ ἐπιδείξῃς αὐτῷ τὴν βούλλαν τῆς γυναικός"; τοῦ δὲ φήσαντος οὕτως ἔχειν, λαβὼν ὁ ἄγγελος τὴν βούλλαν σώαν καὶ ἄτμητον ἐκ τοῦ τραχήλου τῆς μάρτυρος δέδωκε τῷ δεσμοφύλακι· ὁ δὲ ταύτην λαβὼν διηγήσατο τῇ ἀθλοφόρῳ πᾶσαν τὴν ὀπτασίαν καὶ ἐνέργειαν τοῦ ἀγγέλου, καὶ ὅτι "ἀπελύθης καὶ ὕπαγε ὅπου θέλεις"· ὅπερ καὶ γέγονεν.

1 κῶδ. *παραπέρσαις.* — 3 κῶδ. *τηνεσφραγ.* — 5 Λουκ. κβ', 37. — 6 Ἰωάν. εὐαγ. ιε', 20. — 10 Δανιὴλ α', 45. — 12 κῶδ. *λεγει α. απόλυσον.* — 13 κῶδ. *ἅπαξ.* — 14 κῶδ. *ὑποτοῦ.* — 15 κῶδ. *οὐκεπλήρωσε.* — 18 *οὐκ ἂν ἔγραψα ἀντὶ τοῦ ἐν τῷ κώδ. κἂν.* 19 κῶδ. *ἀποτεμνομένης.*—20 κῶδ. *ἐντῇ.* — 21 κῶδ. *βίοναυτῶν.*— 22 κῶδ. *ὑφορᾷ.* — 24 κῶδ. *οὕτως.* — 26 κῶδ. *διήγήσατο* || κῶδ. *ὀπτασίαν.* — 27 κῶδ. *καὶενέργειαν* || κῶδ. *ὅτιαπελύθης.*

*

16. Θεωρήσασα γὰρ τὴν βούλλαν ἡ μάρτυς ἀφαιρεθεῖσαν μὲν ἀπὸ τοῦ ἑαυτῆς τραχήλου, ἐν ταῖς χερσὶ δὲ βλεπομένην τοῦ δεσμοφύλακος, ἐν νῷ λαβοῦσα τὴν τοῦ Θεοῦ δύναμιν καὶ ὅτι ὡς τὸν κορυφαῖον τῶν ἀποστόλων Πέτρον ἐκ τῶν δεσμῶν καὶ τῆς φυλακῆς ἠλευθέρωσεν ὁ Θεὸς διὰ τοῦ ἀγγέλου, οὕτω καὶ νῦν αὐτήν, ἐδόξασε μὲν τὸν Θεόν, ἐστύγνασε δὲ καὶ ἐλυπήθη διὰ τί μὴ ἐπέτυχε διὰ τοῦ ξίφους ἢ καὶ ἑτέρων βασάνων τῆς ἐν Χριστῷ τελειώσεως. Στεναζούσης δὲ αὐτῆς καὶ μεγάλως ἐπὶ τούτῳ δυσφορούσης, ἀπιούσης τε μετὰ τὴν ἀπόλυσιν ἐπὶ τὸ Νίτζιον, φαίνεται πάλιν ὁ ἄγγελος λέγων αὐτῇ· "διὰ τί περίλυπος εἶ; καὶ ἵνα τί σκυθρωπάζουσα πορεύῃ"; ἡ δὲ πρὸς τὸν ἄγγελον φησίν, "ὅτι οὐ γέγονα ἀξία τοῦ διὰ τῆς τομῆς τοῦ ξίφους καὶ τοῦ μαρτυρίου τελειωθῆναι". Ὁ δὲ πρὸς αὐτήν· "ἐγώ σου πληρῶ τὴν ἐπιθυμίαν ταύτην", καὶ δείκνυσιν αὐτῇ σπάθην καὶ προτρέπει στῆναι τὸν ἑαυτῆς αὐχένα λέγων· "ἰδοὺ νῦν ἀποτέμνω σου τὴν κεφαλήν"· ἡ δὲ πρόθυμος τοῦτο πεποίηκεν· ὁ δὲ ἄγγελος προσάγει τῷ τραχήλῳ αὐτῆς τὴν σπάθην, ἡ δὲ ἐργάζεται τὴν τομήν. Οὕτω τυπώσαντος τοῦ ἀγγέλου τὴν ὅρασιν, στάζει τὸ αἷμα, εἰς πίστωσιν αὐτῆς, εἰς τὰ ἐκείνης ἐνδύματα· ἦν τινα ἐσθῆτα φέρουσαν τὰ αἵματα καὶ οἱ ταῦτα παρ' αὐτῆς μαθόντες ἐθεάσαντο καὶ ἐπληροφορήθησαν. Ὅθεν καὶ πολλοὶ τῶν ἐχόντων ποικίλας νόσους ἁπτόμενοί τε αὐτῆς καὶ τῶν ἱματίων αὐτῆς ἐθεραπεύοντο· τοῦτο γὰρ καὶ ὁ τὴν τομὴν ποιήσας ἄγγελος προεῖπεν αὐτῇ, ὅτι "πολλὰς ἰάσεις τὰ ἡμαγμένα σου ἱμάτια ποιεῖν ἔχουσιν"· ἐφαίνετο δὲ καὶ τὰ τεκμήρια τῆς τομῆς ἐν τῷ τραχήλῳ αὐτῆς.

17. Ἀλλὰ μηδεὶς ἀπιστείτω· ὁ γὰρ ἐκ παρθένου τεχθεὶς καὶ τὴν παρθενίαν φυλάξας ἄφθαρτον, τήν τε θάλασσαν τειμὼν εἰς διαιρέσεις καὶ πάλιν συνάψας ὡς Θεὸς ἰσχυρός, καὶ τοῦτο δυνατὸς ἦν ποιῆσαι· "θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς

5 ἠλευθ. διὰ τοῦ ἀγγέλου] Πράξ. ιβ', 7. – 8 κῶδ. *ἐπιτοῦτο*. — 9 κῶδ. *ἐπιτὸν*. — 20 κῶδ. *παραυτῆς*. — 21 κῶδ. *τῶνεχόντων ποικίλας ν. ἀπτόμενοι*. — 23 κῶδ. *τὸμὴν*. — 24 κῶδ. *ἠμαγμένα* || κῶδ. *εφαίνετο*. — 27 θάλ. εἰς διαιρέσεις] Ψαλμ. ρλε', 13. — 29 Ψαλμ. ρμδ', 19.

δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς"· οὐ μόνον γὰρ τοῦτο νῦν πεποίηκεν ὁ παντοδύναμος κύριος Θεὸς ἡμῶν, ἀλλὰ [καὶ τῷ] καιρῷ Λικινίου τοῦ διώκτου τοιοῦτόν τι γέγονεν. Τὸν γὰρ ἅγιον Βασιλέα — ἐπίσκοπος δὲ ἦν οὗτος τῆς πόλεως Ἀμασείας — ἀποτεμὼν ὁ Λικίνιος ἐκέλευσε ῥιφῆναι [τὴν κεφαλὴν μὲν ἑτέρωθι], ἑτέρωθι δὲ τὸ σῶμα τοῦ ἁγίου, εἰς τὴν τῶν Νικομηδέων θάλασσαν· ἐν τοῖς ἐκεῖσε γὰρ βασιλείοις ὁ Λικίνιος τὸ τηνικαῦτα διέτριβεν. Συνήφθη δὲ ἡ κεφαλὴ τοῦ ἁγίου τῷ σώματι αὐτοῦ καὶ διὰ θαλάσσης ὑπὸ τὸν βυθὸν ἀπὸ Νικομηδείας ἀνέπλευσεν εἰς Σινώπην τὴν πόλιν· κἀκεῖσε παραγενόμενοι τοῦ ἁγίου οἱ μαθηταί, οὕτω γὰρ κατ' ὄναρ ἐφάνη αὐτοῖς ὁ ἅγιος λέγων· "δεῦτε εἰς Σινώπην καὶ λάβετέ με· ἐκεῖσε ὑμᾶς περιμενῶ"— οἳ δὴ παραγενόμενοι, χαλάσαντες σαγήνην, ἔλαβον ὃν ἐφίεντο μαργαρίτην καὶ ἀπήνεγκαν εἰς τὴν ἑαυτῶν πόλιν Ἀμάσειαν. Πλὴν ὅμως πρὸς πληροφορίαν τῶν τότε πιστῶν ἐδείκνυντο τὰ τῆς τομῆς τεκμήρια κυκλοτερῶς ἐν τῷ τραχήλῳ τοῦ ἁγίου ἐπισκόπου καὶ μάρτυρος· ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον.

18. Ἐλθοῦσα τοίνυν εἰς τὴν Νιτζίβιν ἡ ἁγία μάρτυς Μαρία διῆγεν ἐν αὐτῇ, πολλοὺς ὠφελοῦσα καὶ ἐπιστρέφουσα πρὸς τὸν Θεόν· γενομένης δὲ τῆς ἐπαναστάσεως τῶν Περσῶν ἐπὶ Ὁρμίσδαν τὸν ἑαυτῶν βασιλέα — αὐτὸς γὰρ καὶ τὰς πλείονας τιμωρίας προσήγαγε τῇ μάρτυρι —, ἔθετο εἰς τὴν καρδίαν αὐτῆς καταλαβεῖν τὰ Ἱεροσόλυμα καὶ τοὺς σεβασμίους τόπους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εὐχῆς χάριν· καὶ δὴ τῷ νοήματι τὸ ἔργον ἐπηκολούθησεν. Φθάσασα τοίνυν εἰς τὰ καθ' ἡμᾶς μέρη τῆς Ἀνατολῆς παρέβαλεν ἔν τινι τόπῳ, ἐν ᾧ μοναστήριον, μᾶλλον δὲ συνακτήριον λῃστῶν, ὑπῆρχεν· τῆς γὰρ λύμης καὶ νόσου τῆς τῆς Σευηριανῆς ἐτύγχανον κακοφροσύνης. Βουληθείσης οὖν αὐτῆς μεταλαβεῖν τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, — ἐνόμιζε γὰρ αὐτοὺς ὀρθο-

2 κῶδ. *ἀλλὰ καὶρῶ.* — 4 κῶδ. *οὗτος* || κῶδ. *ἀμασίας.* — 5 προσέθηκα τὸ *τὴν κεφαλὴν μὲν ἑτέρωθι.* — 6 κῶδ. *τωννικομηδέων.* — 8 κῶδ. *ὑποτὸν.* — 9 κῶδ. *ἀπονικομηδείας* || κῶδ. *σινόπην·* οὕτω καὶ κάτω. — 10 κῶδ. *κατὄναρ.* — 14 κῶδ. *προσπληροφορίαν.* — 15 κῶδ. *κυκλοτέρως.* — 16 κῶδ. *ἀλλεπανέλθ. ἐπιτοπροκείμενον.* — 17 κῶδ. *ἐλθούσα.* — 23 τῷ] κῶδ. *τὸ.* — 24 κῶδ. *καθήμᾶς.*

δόξους εἶναι —, ἠρώτων τὴν μάρτυρα τοῦ Χριστοῦ "τίς εἶ" καὶ πόθεν ἦκεν καὶ ποίας μερίδος τυγχάνει καὶ τίνας ἢ ποίους προσδέχεται ἱερεῖς, προσεπονομάζοντες καὶ τὰ ὀνόματα τῶν προὐχόντων τῆς ἑαυτῶν αἱρέσεως· ὡς δὲ συνήθως ἡ τὸν ἀληθινὸν νυμφίον ἔχουσα Χριστὸν κηρύξασα τὴν ὀρθὴν τῆς πίστεως ὁμολογίαν εἶπεν, ὅτι "ἐγὼ ταπεινὴ χριστιανή εἰμι, κοινωνικὴ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας"· καὶ οὐ προσδεχθεῖσα παρ' αὐτῶν ἀπέστη εἰς ἕτερον τόπον· οἱ δὲ μοναχοί, μᾶλλον δὲ μυσαροί, τοὺς ἀπίστους στρατιώτας, τοὺς καὶ τὸν Κύριον σταυρώσαντας, μιμησάμενοι, κλήρους πρὸς ἑαυτοὺς ἐπέβαλον φάσκοντες· "Τίς αἴτιος ἢ ἀνάξιος ὤφθη; ἡμεῖς οἱ μὴ δεδωκότες αὐτῇ κοινωνίαν, ἢ αὕτη"; Καὶ δὴ πίπτει ὁ κλῆρος ἐπὶ τοὺς δεδωκότας ἐκείνους αὐτούς· αὐτοὶ γὰρ καὶ τὸν ἄτμητον χιτῶνα τοῦ Χριστοῦ σχίζουσι διὰ τῆς αὐτῶν φαντασιώδους καὶ συγκεχυμένης, λέγω δὴ τῆς Σευηριανῆς τερατώδους δογματοποιίας.

19. Ἀλλ' οἱ μὲν μοναχοί, μᾶλλον δὲ Δαίμονες ἄγριοι, οὕτως ἀπεπέμψαντο τὴν ἀμνάδα τοῦ Χριστοῦ· ἡ δὲ μετελθοῦσα ἦκεν, καὶ καταλύσασα εἰς ἕτερον οἶκον εὗρε πάλιν ἐξ ἡμισείας τὸ κακόν· ἦν γὰρ καὶ ἐν αὐτῷ τῷ οἴκῳ ἀνδρόγυνον, καὶ ἡ μὲν ἀνδρεία γυνὴ τῆς καθολικῆς ἐκκλησίας καὶ ὀρθοδόξου πίστεως κατεῖχε [τὰ] δόγματα, ὁ δὲ ἄνανδρος ἀνὴρ τῆς τῶν Ἀκεφάλων κακοφροσύνης κατεῖχε τὰ σπέρματα· κακῶν γὰρ διδασκάλων κακὰ τὰ μαθήματα. Τί οὖν ἡ μάρτυς; τί ἔπασχεν ὑπ' ἀμφοτέρων αὐτῶν; Ἡ γυνὴ πρὸς τὴν ὀρθόδοξον εἶλκεν πίστιν, ὁ δὲ ἀνὴρ πρὸς τὴν ἑαυτοῦ προτρέπει κακοπιστίαν. Ὡς οὖν εἶδεν ἑαυτὴν ἡ μάρτυς ἐξ ἀμφοτέρων διελκομένην, οὐκ ἄλλως ἔδωκεν ἑαυτὴν ἐπὶ τῷ κοινωνῆσαι, πρίν τοί γε θεόθεν αὐτῇ γεγονέναι τοῦ κρείττονος καὶ τῆς ὀρθῆς ὁμολογίας ἡ ἀποκάλυψις. Καὶ δὴ μεινάσης χρόνον αὐτῆς οὐκ ὀλίγον ἀκοινωνήτου, φαίνεται πάλιν ὁ ἄγγελος αὐτῇ, ἅμα καὶ τὸ ἀνεπί-

2 ἢ ποίους] κῶδ. *ἠπίους*. — 4 κῶδ. *ὡσδε*. — 6 κῶδ. *εἰμὶ*. — 8 κῶδ. *παὐτῶν*.— 10 κῶδ. *ἐπέβαλλον*. — 12 κῶδ. *ἐπιτοὺς*. — 15 κῶδ. *δογματοποιΐας· ἀλλοί*. — 17 κῶδ. *ἦκεν*. — 18 κωδ. *ἐξημισείας*.—19 κῶδ. *ἀνδρεῖα*. — 21 κῶδ. *τῶνακεφάλων*. — 23 κῶδ. *προστὴν*. — 24 κῶδ. *ὁδε ἀ. προστὴνεαυτοῦ*. — 25 κῶδ. *ἐξαμφοτέρων*. — 26 κῶδ. *ἐπιτ᾽* || κῶδ. *πρίντιγε*. — 28 κῶδ. *οὐκολίγον*.

ληπτον καὶ ὀρθὸν δόγμα σαφηνίζων, ἅμα καὶ προτρέπων αὐτὴν αὐτῷ ἀκολουθῆσαι. Εἰσέρχονται εἰς τὴν τῶν ὀρθοδόξων ἐκκλησίαν ἀμφότεροι· δείκνυσιν ὁ ἄγγελος τῇ ἀθλοφόρῳ τὴν διαφορὰν τῆς ὀρθοδοξίας καὶ τῆς κακοπιστίας. Πῶς καὶ τίνι τρόπῳ τυποῖ τὴν ὅρασιν; ὑποδείκνυσιν ἑαυτὸν βαστάζοντα ποτήριον, δύο ἔχον διαφορὰς ἐν διαιρέσει, τὸ μὲν ἓν μέρος γέμον φωτός, τὸ δὲ ἕτερον σκότους. Προσάγει πεῦσιν ἡ μάρτυς τῷ ἀγγέλῳ· "Τίς ἐστιν ἡ διαφορὰ τῆς αἱρέσεως τοῦδε τοῦ ποτηρίου, κύριέ μου, κύριε"; Ὁ δὲ πρὸς αὐτὴν φησίν· "Τὸ μέρος τὸ πεφωτισμένον ἡ πίστις τῶν εἰς τὴν καθολικὴν ἐκκλησίαν κοινωνούντων ἐστίν· σὺ τοίνυν εἰς τοῦτο [τὸ] δεξιὸν μέρος, ἤγουν εἰς τὴν ἁγίαν ὀρθόδοξον ἐκκλησίαν κοινώνει· τὸ δὲ ἕτερον, ὅπερ ἐστὶν ἀριστερόν, ἡ τῶν αἱρετικῶν κακοπιστία τυγχάνει· μὴ ἅψῃ, μηδὲ προσεγγίσῃς ἐκείνοις". Ταῦτα οὕτως διδαχθεῖσα ἡ τοῦ Χριστοῦ μάρτυς καὶ πληροφορηθεῖσα, καὶ ἑτέροις ὕστερον διηγησαμένη, τοῦ λοιποῦ ἀνενδοιάστως εἰς τὴν ἁγίαν καθολικὴν ἐκκλησίαν μετελάμβανε τοῦ σώματος καὶ αἵματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

20. Μετὰ δὲ καὶ ταύτην τὴν ὀπτασίαν ἀπάρασα τῶν μερῶν ἐκείνων, ὡς Μωσῆς ἐκεῖνος ὁ τοῦ Θεοῦ θεράπων μετὰ τῆς σκηνῆς ἐν τῇ ἐρήμῳ περιπολοῦσα ἐκ τόπου εἰς τόπον, ἠβουλήθη καταλαβεῖν καὶ τὸν σηκὸν τοῦ ἁγίου μάρτυρος Σεργίου καὶ Βάκχου ἐν τῷ Βαρβαρικῷ χάριν εὐχῆς· ὅπερ καὶ πεποίηκεν. Πληρώσασα γοῦν τὴν εὐχήν, ἐκεῖθεν ἀπάρασα κατέλαβε τὰ Ἱεροσόλυμα, τοὺς ἁγίους καὶ σεβασμίους τόπους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὡς οὖν ἐν αὐτῇ τῇ Ἁγίᾳ Πόλει διέτριβεν, παρέβαλε μοναχῷ τινι μεγάλῳ, πρόγνωσιν ἔχοντι· ὃς ἰδὼν αὐτὴν προσηγόρευσεν αὐτὴν εἰπών ** καὶ γὰρ ὑπερβαλλόντως καὶ τὴν ὑψηλὴν ταπείνωσιν ἐκέκτητο καὶ πρὸς τὸν πατέρα μετ' εὐλαβείας ἀπεκρίνατο· "Τίς γάρ εἰμι ἐγώ, κύριέ μου κύριε"; Ἐπὶ πολὺ γοῦν διάστημα τῆς ἡμέ-

9 κῶδ. *προσαὐτὴν*. — 11 προσέθηκα τὸ *τὸ* || κῶδ. *ἐκκλήσιαν*. — 13 κῶδ. *μηδεπροσεγγίσης*. — 15 κῶδ. *ἀνενδυάστως*. — 18 κῶδ. *ὀπτασίαν*. — 25 κῶδ. *τινὶ*. — 27 μετὰ τὸ *εἰπὼν* ὑπάρχει χάσμα· κῶδ. *εἰπὼν, καὶ γὰρ* (εἰ μὴ δι' ὁμοιοτέλευτον οὐκ ἀντέγραψα τὸ νῦν ἐνταῦθα διακρινόμενον χάσμα). — 28 κῶδ *προστὸν π. μετευλαβείας*. - 29 κῶδ. *εἰμὶ* || κῶδ. *ἐπιπολὶ*

ρας διαφόρους καὶ ἐπωφελεῖς λόγους ποιησαμένων αὐτῶν, ἐκινήθη καὶ τὰ περὶ τῆς συντελείας τοῦ κόσμου καὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου· καὶ στενάξας ὁ γέρων λέγει τῇ μάρτυρι ἅπερ καὶ αὐτὴ ἠπίστατο· «Ἤγγικε τὸ τέλος καὶ ἡ παρουσία τοῦ Ἀντιχρίστου· ἐγὼ γὰρ γέγονα μαθητὴς μεγάλου πατρός, ὃς ἔλεγεν, ὅτι οὐ μετὰ πολὺν χρόνον ἀναδείκνυται "ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἄνομος" ἄνθρωπος, καθὼς καὶ αἱ θεῖαι Γραφαὶ τὰ περὶ αὐτοῦ σημαίνουσιν· καὶ εἰσί τινες ταύτης τῆς γενεᾶς, οἵτινες ἐν ταῖς ἡμέραις αὐτοῦ φθάσαι ἔχουσιν· "τὸ γὰρ μυστήριον τῆς πλάνης ἤδη ἐνεργεῖται", καθὼς φησι Παῦλος ὁ θεῖος ἀπόστολος. Εὐξώμεθα οὖν, ἵνα ὁ Κύριος μετ' εἰρήνης ἡμᾶς παραγάγῃ τοῦ βίου τούτου καὶ περισώσῃ τὸν λαὸν αὐτοῦ, ὃν ἐξελέξατο». Τούτων ἀκούσασα τῶν λόγων ἡ τοῦ Χριστοῦ μάρτυς ἐπεσφράγιζε καὶ αὐτὴ ταῦτα οὕτως ἔχειν· καὶ γὰρ "κἀγώ, δέομαί σου", φησίν, "ὅτε ἤμην ἐγκεκλεισμένη εἰς τὸ τῆς Λήθης φρούριον, ἤκουσα παρὰ τοῦ ἀγγέλου, ὅτι ἤγγικεν ἡ παρουσία τοῦ Ἀντιχρίστου, καὶ ἐγγύς ἐστιν ἐπὶ θύραις".

21. Πληρωσάντων τοίνυν αὐτῶν καὶ τὰ περὶ τῆσδε τῆς ἀποκαλύψεως, ἤγουν προγνώσεως, ῥήματα, ὁ μὲν γέρων ἔμεινεν, ἐν ᾧ ἦν τόπῳ· αὐτὴ δὲ τὴν εὐχὴν αὐτῆς καὶ αὖθις καταθυμίως πληρώσασα, καὶ ἐμπλησθεῖσα τῶν τόπων, ἐν οἷς τὰ σαρκικὰ παθήματα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑποδείκνυνται, αὐτίκα ὑπέστρεψεν· καὶ ἐλθοῦσα ἔμεινεν εἰς τὰ μέρη τὰ περὶ Ἱεράπολιν τῆς Ἀνατολῆς, ἐν εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου Συμεῶνος, σκοποῦσα τὴν τῶν Βαβυλωνίων βασιλέων ἔκβασιν, ἢ μᾶλλον, εἰπεῖν κατάλυσιν· οὔτε γὰρ προγνώσεως ἄμοιρος ἐτύγχανεν ἡ τοῦ Χριστοῦ μάρτυς. Προεῖπεν γοῦν καὶ τὰ περὶ τῆς ἀναιρέσεως τοῦ Ὁρμίσδου, καὶ τὰ περὶ τῆς ἐκδιώξεως τοῦ Χοσρόου καὶ τὴν εἰς τὴν ἑαυτοῦ

3 κῶδ. *ἅπερ*.— 6 ἀντικ. καὶ ὑπεραιρόμενος] Θεσσαλον. 2, β', 4-8.—7 κῶδ. *περιαυτοῦ*. — 8 κῶδ. *τινὲς*.— 10 κῶδ. *φησὶ* || Παῦλος] Θεσσαλ. 2, β', 7 || κῶδ. *θεῖος*. — 16 Ἰωάν. ἐπιστ. 2, β', 18. — 17 ἐγγὺς-θύραις] Ματθ. κδ', 33. Μάρκ. ιγ', 29. — 18 κῶδ. *περιτῆσδε*. — 20 κῶδ. *αὐτῆς*. — 23 κῶδ. *περιέραπολιν*. — 24 κῶδ. *ἐνευκτηρίῳ*.

βασιλείαν πάλιν ἀποκατάστασιν, καὶ ὅτι οὐ μετὰ πολὺν χρόνον ἡ βασιλεία καταλυθήσεται τῶν Περσῶν· ἀλλὰ καὶ περὶ Ἀριστοβούλου τοῦ ἀντιγραφέως κατ' αὐτὴν τὴν ἡμέραν καὶ ὥραν, ἐν ᾗ ἐτελεύτησεν, ἔγνω καὶ τοῖς οὖσιν ἐγγὺς αὐτῆς εἶπεν, ὅτι τῇ ὥρᾳ ταύτῃ ἐν Κωνσταντινουπόλει Ἀριστόβουλος ἐτελεύτησεν. Ὅθεν οἱ ἀκούσαντες ταῦτα παρ' αὐτῆς, σημειωσάμενοι τήν τε ὥραν καὶ τὴν ἡμέραν, οὐ μετὰ πολλὰς ἡμέρας ἐπληροφορήθησαν ταῦτα οὕτως ἔχειν.

22. Πολλοὶ οὖν τῶν μεγάλων καὶ πιστοτάτων ἀνδρῶν, ἔν τε ἀρχιερεῦσι τελοῦντες, ἔν τε στρατείαις μείζοσι καὶ ἀξιώμασιν, καὶ εἶδον τὴν τοῦ Χριστοῦ μάρτυρα καὶ τὰ προγεγραμμένα πάντα ἤκουσαν ἀπ' αὐτῆς ἐκείνης· οἳ καὶ διηγήσαντο ἡμῖν, καὶ μάλιστα Δομετιανὸς ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος τῆς ἡμετέρας Μελιτινῶν μητροπόλεως, ὃς καὶ μεγάλως ἐτίμησε τὴν μάρτυρα ἐν οἷς προέτρεψεν αὐτὸν πρᾶξαι· μαθοῦσα γὰρ ἡ ἁγία, ὅτι ἐκεῖνος ὁ δεσμοφύλαξ, ὁ τὴν βούλλαν λύσας τὴν αὐτῆς καὶ ἀπολύσας αὐτήν, ὑπὸ Ὁρμίσδου τοῦ βασιλέως τῶν Περσῶν ἐγκατάκλειστος γέγονε, διότι ἀπέλυσεν αὐτήν, ἔλεγεν οὖν τῷ μεγάλῳ, ὅτι "Ἐὰν μὴ ἀπολυθῇ ἐκεῖνος ὁ δεσμοφύλαξ, πάλιν ἀπέρχομαι ἐκεῖ καὶ παραδίδωμι ἐμαυτήν· οὐ γὰρ ἦν δίκαιον, ἵνα δι' ἐμὲ πάθῃ τι κακὸν ἐκεῖνος καὶ ἵνα ἄλλοις θλῖψις, ἡμῖν δὲ ἄνεσις ᾖ". Ταῦτα ἀκούσας ὁ ὁσιώτατος μητροπολίτης παρεσκεύασε τὸν βασιλέα Χοσρόην τὸν νέον βασιλικὴν ἀμεριμνίαν ἐκείνῳ τε παρασχέσθαι καὶ πᾶσιν ὁμοίως, ὅσοι πρὸς γένος τῇ μάρτυρι συνήπτοντο καὶ μάλιστα τοῖς γεγονόσι χριστιανοῖς—πολλοὶ γὰρ γεγόνασι τοῦ γένους αὐτῆς χριστιανοί—, ὥστε ἀδεῶς ὅπου δ' ἂν ἐθέλωσιν ἀκωλύτως διάγειν· ὅπερ καὶ γέγονεν· μετὰ γὰρ τὸ ἀποκατασταθῆναι τὸν Χοσρόην ἐν τῇ αὐτῇ βασιλείᾳ ἐνεφάνησαν τὴν ἀμεριμνίαν οἱ συγγενεῖς τῆς ἀθληφόρου καὶ ὡς διάγουσιν ἐλευθερίως, ὡς μεμαθήκαμεν, ἐν τῇ ἑαυτῶν χώρᾳ.

2 Ἀριστόβουλος] Θεοφ. Σιμοκάττου ἱστορ. γ', σ. 115 Boor. — 3 κῶδ. *ἀντιγραφίος*. — 7 κῶδ. *μεταπολλὰς*. — 12 Δομετιανὸς] Θεοφ. Σιμοκ. σ. 179, 182, 183, 194, 197 Boor.— 16 κῶδ. *ὁρμίσδου*. — 19 κῶδ. *διὲμὲ*. — 20 κῶδ. *θλίψις*. — 23 μάρτυρι] κῶδ. *μαρτυρία*.—27 αὐτῆ] αὐτοῦ?—28 κῶδ. *τῆσαθληφόρου*. — 29 κῶδ. *ἐντη*.

23. Οὐδὲ ταῦτα [μόνα] ἐν τούτοις ἦν· καὶ διὰ τῆς τοῦ Θεοῦ βοηθείας καλῶς ἐκυβέρνησεν ὁ προειρημένος ἁγιώτατος ἀνὴρ τῶν τοιούτων πραγμάτων [τὴν] κίνησιν· καὶ "ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας" καὶ "τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας" Χριστὸς ὁ Θεὸς ἡμῶν, πάλιν ὁ αὐτὸς διὰ τῶν ἀξίων αὐτοῦ, ἱερέως τέ φημι καὶ βασιλέως, εἰρήνευσε τὰς πολιτείας· ἀμφότερα γὰρ τῷ Θεῷ φύσει προσόντα καὶ παρ' αὐτοῦ τοῖς ἀξίοις δοθέντα συνέδραμε κατά τε τὸ συγγενὲς τῆς κατὰ σάρκα κοινωνίας, κατά τε τὸ ἀξίωμα τῶν πνευματικῶν χαρισμάτων, τῆς τε ἀρχιερωσύνης φημὶ καὶ τῆς βασιλείας. Ὅθεν ὁ Χριστὸς καὶ σωτὴρ ἡμῶν ἀρχιερεὺς καὶ βασιλεύς ἔστι τε καὶ ὀνομάζεται κατὰ Μελχισεδέκ, καὶ ὁ ἄγγελος ὁ τὴν θεοτόκον καὶ ἀειπάρθενον Μαρίαν εὐαγγελισάμενος ἔλεγεν, ὅτι "Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῷ κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος". Ἐπεὶ οὖν διὰ τῆς συνεργείας τοῦ ἀληθινοῦ καὶ φύσει ὄντος ἀρχιερέως τε καὶ βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ δι' ἀμφοτέρων τῶν αὐτοῦ θεραπευτῶν εἰρηνικὸν πέρας ἐδέξατο τὰ καθ' ἡμᾶς τε καὶ τοὺς Βαβυλωνίους, ἀντεδόθησαν δὲ τῇ φιλοχρίστῳ πολιτείᾳ ἡμῶν καὶ αἱ πόλεις, ἥ τε τῶν Ἁγίων Μαρτύρων καὶ τὸ Δάρας, διὰ τῆς αὐτῶν πρεσβείας καὶ τῆς προσφάτου μάρτυρος Γολινδούχ, τῆς καὶ Μαρίας, παρεκάλει ὁ προειρημένος ἁγιώτατος ἀνὴρ τὴν ἀθληφόρον ἐπὶ τῷ παραγενέσθαι αὐτὴν εἰς τὴν βασιλεύουσαν πόλιν τῶν χριστιανῶν, "ὅπως ἀσπάσωνταί σε", φησίν, "οἱ φιλόχριστοι καὶ εὐσεβέστατοι βασιλεῖς, καὶ εὐλογήσῃς κατὰ πρόσωπον αὐτούς τε καὶ τὴν πόλιν· ἐπιθυμοῦσι γὰρ τὸ πρόσωπόν σου θεάσασθαι, με-

1 προσέθηκα τὸ *μόνα* καὶ κατόπι τὸ *τὴν*. — 3 κῶδ. *μεσότυχον* || Ἐφεσ. β', 14, 15. — 5 κῶδ. *αὐτοῦ*. — 7 κῶδ. *παραυτοῦ*. — 11 Ἑβρ. ε', 5-10. ς', 20. ζ', 1-3. 11-17. — 13 Λουκ. α', 31-33. — 16 κῶδ. *ἐπιτὸν*. — 19 κῶδ. *διαμφοτέρων*. — 20 κῶδ. *τακαθ'*. — 21 ἀντεδόθησαν] Θεοφ. Σιμοκ. σ. 177 καὶ 182-183 Boor. — 21 Ἁγίων Μαρτύρων = Μαρτυρούπολις. — 24 Μαρίας] κῶδ. *μακαρίας*. — 25 κῶδ. *ἐπιτὸ*. — 27 κῶδ. *καταπρόσωπον*.

μαθηκότες ἐκ πλείστων τοὺς σοὺς διὰ τὸν Χριστὸν ἀγῶνας". Ἡ δὲ τούτων ἐπακούσασα τῶν ῥημάτων ἔφη πρὸς τὸν ὅσιον· "Τὸ μὲν εὔξασθαί με καὶ παρακαλέσαι τὸν ἀγαθὸν Θεὸν ὑπὲρ τῶν πιστοτάτων βασιλέων καὶ τῆς βασιλευούσης πόλεως καὶ παντὸς τοῦ χριστιανικωτάτου πολιτεύματος προθύμως τοῦτο ποιῶ· τὸ δὲ παραγενέσθαί με πρὸς αὐτοὺς οὐκ ἐπιτρέπει ὁ Θεὸς καὶ οὐκ ἐνδέχεται τοῦτο γενέσθαι". Ὡς δὲ πλείοσι λόγοις παρακλητικοῖς χρησάμενος πρὸς αὐτὴν πεῖσαι οὐκ ἴσχυσεν, τὴν αἰτίαν ἠρώτα δι' ἣν οὐκ ἐνδέχεται τοῦτο γενέσθαι· ἡ δὲ πρὸς αὐτόν φησιν, ὅτι "Ἐγγύς ἐστι τὸ τέλος καὶ ἡ μετάστασις τοῦ βίου μου, καὶ βούλῃ ἐν τῇ ὁδῷ πληρῶσαί με τοῦτο; μή, δέομαί σου, μὴ ἀναγκάσῃς με πρᾶξαί τι τοιοῦτον, παρακαλῶ σε· προσκέκληται γάρ με ὁ κύριός μου Ἰησοῦς Χριστός".

24. Μετὰ πολλὰς γοῦν ἡμέρας ἔφθασεν ὁ καιρὸς τῆς μεταστάσεως τῆς αὐτῆς ἁγίας μάρτυρος πρὸς τὸν κοινὸν δεσπότην καὶ Θεὸν ἡμῶν· ἀπελθοῦσα γὰρ εἰς εὐκτήριον οἶκον τοῦ ἁγίου μάρτυρος Σεργίου, μέσον τοῦ Νιτζιβίου καὶ τοῦ Δάρας, καὶ γνοῦσα τὴν ἑαυτῆς παρεῖναι μετάστασιν, ἔμεινεν ἐν τῷ αὐτῷ οἴκῳ χαίρουσα καὶ ἀγαλλιωμένη· καὶ πρὸς Θεὸν τὰς χεῖρας ἐκτείνασα, θεολογικαῖς τε καὶ προσευκτικαῖς χρησαμένη φωναῖς, ἔφη πως ὧδε· «Ὁ Θεὸς ὁ αἰώνιος, ὁ ἄναρχος καὶ ἀτελεύτητος, ὁ τὰς νοερὰς καὶ ἀσωμάτους ὑποστησάμενος δυνάμεις, τόν τε οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶσαν τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν διὰ τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ πνεύματός σου, ὁ ἐν πᾶσιν ὢν καὶ διὰ πάντων διήκων καὶ ποιῶν τὸ θέλημα τῶν φοβουμένων σε καὶ φυλασσόντων τὰς ἐντολάς σου, εἰσάκουσον τῆς δεήσεως τῆς δούλης σου καὶ τὸ πιστόν σου πολίτευμα φύλαξον· αὔξησον τὰ σκῆπτρα τῶν εὐσεβῶν καὶ φιλοχρίστων βασιλέων· πλήθυνον αὐτῶν τὰς κατὰ Βαρβάρων νίκας· ἀφάνισον, Κύριε, τὴν εἰδωλομανίαν· κατάρ-

6 κῶδ. *οὐκενδέχεται*. — 7 κῶδ. *ὥσδε*. — 8 κῶδ. *ἴσχυσεν*. — 9 κῶδ. *φησὶν*. — 10 κῶδ. *βούλει*. — 12 κῶδ. *πράξαι τι*. — 16 κῶδ. *ἀπελθούσα*. — 19 κῶδ. *προσθεὸν*. — 20 κῶδ. *πῶς ὧδε*. — 26 κῶδ. *διαπάντων*. — 30 κῶδ. *καταβαρβάρων*.

γησον τὴν σατανικὴν ἐνέργειαν, καὶ πᾶσαν τὴν τῶν αἱρετικῶν βλάσφημον γλῶσσαν εἰς εὐφημίαν καὶ εὐχαριστίαν τῆς εἰς σὲ μετάστρεψον· περίσωσον τὰ τῆς ἁγίας σου ἐκκλησίας πλήθη· τὴν βασιλεύουσαν τῶν χριστιανῶν πόλιν καὶ τὴν περιοίκιδα αὐτῆς καὶ πᾶσαν πόλιν καὶ χώραν, ἐν ᾗ τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται, φύλαξον καὶ διατήρησον ἀπὸ πάσης θλίψεως ὀργῆς καὶ ἀνάγκης, τοὺς δὲ ἀσεβοῦντας καὶ τοὺς μὴ προσκυνοῦντας σὲ τὸν πατέρα καὶ Θεὸν ἡμῶν καὶ τὸν υἱόν σου τὸν μονογενῆ, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τὸ ἅγιόν σου πνεῦμα, ὁδήγησον εἰς τὴν σὴν ἐπίγνωσιν· φώτισον αὐτοὺς σὲ ζητεῖν καὶ σὲ προσκυνεῖν· ἀπόστησον αὐτοὺς ἀπὸ τῆς πλάνης τῶν εἰδώλων· τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν δαιμόνια καὶ ἔργα χειρῶν ἀνθρώπων, καθὼς καὶ ὁ προφήτης λέγει· "θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν"· "αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν", ὅπως ὑπὸ πάντων ἀνυμνεῖται καὶ προσκυνεῖται καὶ δοξάζεταί σου τὸ ὄνομα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν». Καὶ τὸ "ἀμὴν" ἀναπέμψασα προσηύξατο πάλιν εἰποῦσα· "Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσι τῶν ὁρατῶν τε καὶ ἀοράτων ἡμῶν ἐχθρῶν, ἀλλὰ τὰς παγίδας αὐτῶν συνέτριψε καὶ ἡμᾶς ἐρρύσατο, βοήθειαν παρασχὼν ἐκ θλίψεως, μὴ συγχωρήσας πασῶν ὧν ἠδυνάμεθα πειρασθῆναι ἡμᾶς, ἀλλὰ ποιήσας σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ πειρασμοῦ".

25. Πληρώσασα γοῦν καὶ ταύτην τὴν εὐχαριστήριον δοξολογίαν, τὰς ἐν οὐρανῷ καὶ ἀγγελικὰς μετὰ παρρησίας ἐζήτει χοροστασίας, ὑφ' ὧν καὶ μετὰ πολλῆς ἀπεδέχθη χαρᾶς. Αὐτίκα γοῦν ὁ κύριος καὶ Θεὸς ἡμῶν, ὑπὲρ οὗ καὶ τοὺς ἀγῶνας ἐνεστήσατο, παρακαλεσάμενος αὐτὴν εἶπεν· "Δεῦρο, εὐλογημένη, καὶ ἀνδρισα-

1 κῶδ. *αἱρετικῶν*. — 11 κῶδ. *ἀποτῆς*. — 12 κῶδ. *καθῶς*. — 13 Ἱερεμ. ι', 11. — 14 Ψαλμ. ϟς', 7. — 19 κῶδ. *προσηύξατο* || Ψαλμ. ργ', 6. — 22 βοήθειαν ἐκ θλίψεως] Ψαλμ. νθ', 13. ρζ', 13. — 23 κῶδ. *ἀλλαποιήσας*. — 26 κῶδ. *μεταπαρρησίας*. — 27 κῶδ. *ὑφῶν κ. μεταπολλῆς*. — 28 κῶδ. *ἀγώνας*.

μένη εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου". Ἡ δὲ τοῖς ἀπάγουσιν αὐτὴν ἀγγέλοις ἁγίοις εἰς τὰς οὐρανίους μονάς τε καὶ λήξεις οὐκ ἀηδῶς ἐναποψύξασα, εἰς χεῖρας τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς παρέθετο. Οὕτως ἀθλήσασα καὶ τὸν δρόμον τελέσασα καὶ τὴν πίστιν τηρήσασα ἡ τοῦ Χριστοῦ μάρτυς Μαρία, καταπαλαίσασα "τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, τούς τε κοσμοκράτορας τοῦ σκότους", τούς τε ὁρατοὺς καὶ ἀοράτους ἐχθρούς, καταλιποῦσά τε τὴν γῆν τῇ γῇ καὶ πάντα τὰ ἐν αὐτῇ κάτω ποιήσασα, τὸν ἀέρα καὶ τὸν ἄρχοντα τὸν ἐνεργοῦντα "ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας", ὑπὲρ τὸν αἰθέρα γενομένη, παραδραμοῦσα τὰ ὑλικὰ καὶ ὁρώμενα κάλλη, καὶ ἐν τῇ στασίμῳ καὶ νοητῇ φύσει παρακύψασα καὶ ἐντὸς γενομένη τῶν ἀγαθῶν ἐκείνων, εἶδεν τὰ τοῦ Παραδείσου κάλλη, ἃ ὀφθαλμὸς ἐμπαθὴς οὐκ εἶδεν, οὐδὲ οὖς ἤκουσε σκολιόν, οὐδὲ ἐπὶ καρδίαν μὴ καθαρθεῖσαν τῷ πνεύματι ἀνέβη· τοιαῦτα γὰρ ἐν ἐπαγγελίαις τοῖς δικαίοις ἐλπίζεται. Ἐν τοιούτοις οὖν ἀγαθοῖς καὶ ἐν χώρᾳ καὶ φωτὶ ζώντων ἐπαναπαυομένη, ὦ τιμία καὶ ἁγία τοῦ Χριστοῦ μάρτυς, καὶ ἀπαύστως μετὰ ἀγγελικῶν τάξεων καὶ τῶν δικαίων ψυχῶν δοξολογοῦσα τὴν ἁγίαν καὶ ζωοποιὸν καὶ ὁμοούσιον καὶ ἀΐδιον τριάδα, πρέσβευε καὶ νῦν σὺν τῇ ἁγίᾳ καὶ ἐνδόξῳ δεσποίνῃ ἡμῶν θεοτόκῳ καὶ ἀειπαρθένῳ Μαρίᾳ ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ τοῦ πιστοτάτου καὶ χριστιανικωτάτου ἡμῶν πολιτεύματος, ὑπέρ τε ἐμοῦ τοῦ ταπεινοῦ Εὐστρατίου πρεσβυτέρου, τοῦ καὶ τὰς σὰς συγγράψαντος ἀνδραγαθίας τε καὶ νίκας, καὶ τῶν ταῦτα ἡμῖν διηγησαμένων.

26. Ἐτελειώθη ἡ ἁγία μάρτυς τοῦ Χριστοῦ Μαρία ἰνδικτιόνος θ' μηνὶ ἰουλίῳ ιγ'· κατετέθη δὲ ἐν τῷ προλεχθέντι οἴκῳ τοῦ ἁγίου μάρτυρος Σεργίου, βασιλεύοντος μὲν τῆς Περσῶν βασιλείας Χοσρόου τοῦ νέου, τῆς δὲ ἡμετέρας πολιτείας τῶν χριστιανῶν Μαυρικίου καὶ Αὐγούστης καὶ Θεοδοσίου καὶ τῶν λοιπῶν αὐτοῦ

1 Ματθ. κε', 21, 23. — 2 μονὰς] πρβλ. Ἰωάν. εὐαγ. ιδ', 2. — 4 τὸν δρόμον τελέσασα κέ] πρβλ. Πράξ. κ', 24. Τιμοθ. 2, δ', 7. — 6 Ἐφες. ς', 12. — 9 Ἐφες. β', 2.— 13 κῶδ. *ἐμπαθῆς οὐκεῖδεν, οὐδε* || κῶδ. *σκολιῶν ο. ἐπικαρδίαν.* — 13 Ἡσαΐα ξδ', 4. Κορινθ. 1. β', 9. — 16 χώρα ζώντων] Ψαλμ. ριδ', 9. — 22 κῶδ. *τοῦ ἐμοῦ τοῦ.*

παίδων, σὺν αὐτοῖς δὲ καὶ πρὸς αὐτῶν ἀεί τε καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας βασιλεύοντος τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. —Ἐπληρώθη σὺν Θεῷ τῆς ἁγίας καὶ ἐνδόξου μάρτυρος τοῦ Χριστοῦ Γολινδοὺχ ἡ ἄθλησις.

1 κῶδ. *συναυτοῖς* || αὐτῶν] κῶδ. *αὐτὸν*.

VIII.

(ΚΥΡΙΛΛΟΥ ΣΚΥΘΟΠΟΛΙΤΟΥ)

ΒΙΟΣ ΚΑΙ ΑΣΚΗΣΙΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΓΕΡΑΣΙΜΟΥ

τοῦ κατὰ τὴν ἔρημον τοῦ Ἰορδάνου δίκην ἡλίου λάμψαντος [1].

(Cod. Patm. 188, f. ρνε΄—ρξ΄).

1. Ὁ πεφωτισμένος τε καὶ ἡγιασμένος πατὴρ ἡμῶν Γεράσιμος ὡρμᾶτο μὲν ἐκ τῆς τῶν Λυκίων χώρας, ἀφιερώθη δὲ ἐκ βρέφους τῷ Θεῷ ὑπὸ τῶν αὐτοῦ γονέων, χριστιανῶν ὄντων, καὶ ἐν κοινοβίῳ ἐκ παιδὸς τὴν μοναχικὴν ἐξεπαιδεύθη ἀκρίβειαν. Τῆς τοίνυν ἡλικίας προκοψάσης καὶ τῆς ἐν αὐτῷ ἀρετῆς χρόνῳ καὶ πείρᾳ βεβαιωθείσης καὶ εἰς ὕψος ἀναδραμούσης, πρῶτον μὲν ἀνεχώρησεν εἰς τοὺς κατὰ τὴν αὐτὴν χώραν ἐρημικωτέρους τόπους, καὶ ταῖς αὐτομάτοις πρὸς τροφὴν χρώμενος βοτάναις καὶ πολλοὺς ἀγῶνας κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἐπιδεικνύμενος, καὶ οὕτως ἐπὶ χρόνον ἀσκήσας μυρίοις ἱδρῶσι καὶ πόνοις, νικηφόρος ἀνεδείχθη· μετέπειτα δὲ ὑπὸ τῆς θείας ἀγάπης ἀγόμενος καὶ "ἀπὸ δόξης εἰς δόξαν" προκόπτειν ἐπειγόμενος ἦλθεν εἰς τὰ Ἱεροσόλυμα,

[1] Κῶδιξ τῆς ιγ΄ ἑκατ. Τὸ δ' ὄνομα τοῦ συγγραφέως εἰκαστικῶς ἐγὼ προσέθηκα.

2 κῶδ. *ὠρμᾶτο*. — 3 κῶδ. *αὐτοῦ*· οὕτω καὶ ἑξῆς, ἔνθα τοῦτο δασύνεται. — 8 αὐτομάτοις βοτάναις] ὅρα Κυρίλλου βίον ὁσ. Θεοδοσίου σ. 107, 14 Usener || κῶδ. *αὐτομάτως*. — 9 κατὰ τῶν πνευμάτων τῆς πονηρίας] Κυρίλλου βίος ὁσ. Σάβα, σ. 192, 3 Pomialowsky. — 12 κῶδ. *ἱεροσόλυμα*, ὅπερ ὀρθότερον. — 12 Κορινθ. 2, γ΄, 18 || ἀπὸ δόξης εἰς δόξαν προκόπτειν] ὅρα Κυρίλλου βίον ὁσίου Σάβα σ. 26, 7.

καὶ προσκυνήσας τοὺς ἁγίους καὶ σεβασμίους τόπους κατῆλθεν εἰς τὸν Ἰορδάνην καὶ διῆγεν ἐν τῇ περὶ τὴν Νεκρὰν Θάλασσαν ἐρήμῳ, τὸν ἀναχωρητικὸν μετερχόμενος βίον. Ὅστις ἐν τῷ καιρῷ τῆς οἰκουμενικῆς ἐν Χαλκηδόνι συνόδου μετὰ τῶν ἄλλων τῆς ἐρήμου ἀναχωρητῶν συνυπήχθη τῇ τῶν Ἀποσχιστῶν κακοδιδασκαλίᾳ καὶ ἀλόγῳ φιλονεικίᾳ· ἀλλὰ διὰ τῆς τοῦ μεγάλου πατρὸς Εὐθυμίου διδασκαλίας ἐπείσθη συνθέσθαι τῷ ὅρῳ τῷ ἐκτεθέντι ὑπὸ τῆς οἰκουμενικῆς συνόδου.

2. Οὗτος ὁ πανεύφημος Γεράσιμος μεγάλως ἐν τῇ κατὰ τὸν Ἰορδάνην ἐξέλαμψεν ἐρήμῳ καὶ τὰς τῶν ἀρετῶν ἀκτῖνας παντα-χοῦ ἐξέπεμψε· καὶ πρῶτον μὲν ἐν τῇ περὶ τὴν Νεκρὰν Θάλασ-σαν ἐρήμῳ μετὰ ἄλλων ἁγίων ἀναχωρητῶν ἐπὶ χρόνον ἱκανὸν διε-τέλεσε, καὶ τὰς τούτων ἀρετὰς μιμησάμενος καὶ ἄλλο ἐπ᾽ ἄλλου κάλλος λαβών, ὥσπερ οἱ τὰς μορφὰς μεθ᾽ ὑπερβολῆς γράφοντες, καὶ εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συναγαγών, ἓν ἀρετῆς εἶδος ἐκ πάντων ἀπηκριβώσατο, καὶ οὕτως τῇ μακρᾷ φιλοσοφίᾳ ἑαυτὸν παιδαγωγήσας καὶ ἀνακαθάρας ἱκανῶς τὴν αὐτοῦ καρδίαν τῇ πρὸς Θεὸν ἐγγύτητι, οὕτω πολιστὴς καὶ πολιοῦχος τῆς κατὰ τὸν Ἰορδάνην ἐρήμου ὑπὸ τοῦ Θεοῦ ἀναδείκνυται· ἔνθα λαύραν περιφανεστάτην συστησάμενος, κοινόβιον μέσον αὐτῆς πεποίηκε, καὶ τοὺς μὲν ἀρχαρίους ἐν τῷ κοινοβίῳ μένειν καὶ παιδαγωγεῖσθαι τὴν μοναχικὴν πολιτείαν ἐνομοθέτησε, τοὺς δὲ τελείους κατὰ Θεὸν καὶ πόνοις ἑκουσίοις διαπρέποντας καὶ ταῖς κατὰ Θεὸν ἀναβάσεσι τοὺς πολλοὺς ὑπεραναβεβηκότας ἐν ταῖς κέλλαις κατῴκησεν, οὕτως αὐτοὺς κανονίσας, ὥστε ἕκαστον αὐτῶν τὰς μὲν πέντε τῆς ἑβδο-μάδος ἡμέρας ἡσυχάζειν εἰς τὸ ἴδιον κελλίον, μηδενὸς ἑτέρου με-ταλαμβάνοντα, πλὴν ἄρτου καὶ ὕδατος καὶ φοινίκων, τῷ δὲ Σαβ-βάτῳ καὶ τῇ Κυριακῇ εἰς τὴν ἐκκλησίαν ἐρχόμενον καὶ τῶν θείων

5 Ἀποσχιστῶν] ὅρα περὶ τούτων Κυρίλλου βίον ὁσ. Σάβα, Εὐθυμίου καὶ Ἰωάν-νου, καὶ βίον Θεοδοσίου ὑπὸ Θεοδώρου Πέτρας, σ. 57, 59 καὶ 69. — 7 κῶδ. ὅρω. — 10 κῶδ. *ἀκτῖνας*. — 14 κῶδ. *μεθυπερβολῆς*. — 18 πολιστὴς καὶ πολιοῦχος] ὅρα Κυρίλ-λου βίον ὁσ. Σάβ. σ. 266.—23 ἀναβάσεις] πρβλ. ψαλμ: πγ', 6, καὶ σημείωσιν Usener, Der heilige Theodosios, σ. 130. — 26 μηδενὸς] κῶδ. *μηδενὶ*. — 27 κῶδ. *μεταλαμβάνων*.

μετασχόντα μυστηρίων εἰς τὸ κοινόβιον μεταλαμβάνειν ἑψητοῦ, ὀλίγῳ οἴνῳ χρώμενον—ὁμοῦ δὲ ἅπαντες τὸν κανόνα ἐπετέλουν τῆς ψαλμῳδίας τῷ τε Σαββάτῳ καὶ τῇ Κυριακῇ—, τὰς δὲ ἄλλας πέντε ἡμέρας ἡσυχάζειν, ὡς εἴρηται.

3. Ἀδύνατον δὲ ἦν τινα αὐτῶν ἅψαι λύχνου εἰς τὸ κελλίον τὸ σύνολον, ἢ ποιῆσαι θερμόν, ἢ ἑψητοῦ γεύσασθαι· ἀλλ' ἦσαν ἀκτήμονες καὶ ταπεινόφρονες καὶ τῶν παθῶν τῆς σαρκὸς αὐτοκράτορες. Γαστρὸς δὲ καὶ ἡδονῆς ἐκράτουν, οὐ μήν γε ἀλλὰ καὶ τῶν τῆς ψυχῆς παθῶν, λύπης καὶ ὀργῆς καὶ δειλίας καὶ λήθης, ἔξω γεγόνασι, "λογισμοὺς ἀεὶ καθαίροντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ", οὕτως αὐτοὺς τοῦ μεγάλου Γερασίμου παιδεύοντος καὶ ὁδηγοῦντος καὶ ποιμαίνοντος οὐ σκεύεσι ποιμένος ἀπείρου, ἀλλὰ καὶ λίαν περιεσκεμμένου· αὕτη γὰρ ἦν αὐτῷ σπουδὴ μόνη, ἡ περὶ "τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον" θεραπεία καὶ ἐπιμέλεια, πτερῶσαι τὰς ψυχὰς καὶ ἁρπάσαι κόσμου καὶ καρποφορῆσαι αὐτὰς τῷ Θεῷ. Καὶ ὁ μὲν μέγας Γεράσιμος μετάρσιος ὑπάρχων καὶ τοῖς Ἀγγέλοις τῷ πνεύματι συναυλιζόμενος ἔσπευδεν ἕκαστον δι' ἀρετῆς ἕλκειν πρὸς οὐρανὸν ἐκ τοῦδε τοῦ βίου, οἱ δὲ ὑπ' αὐτὸν πατέρες ἑκουσίως ὑπ' αὐτοῦ κυβερνώμενοι καὶ ὁδηγούμενοι ἐκαρποφόρουν ἀξίως τῆς ὁδηγίας. Εἰργάζοντο μὲν οὖν ἐν ταῖς κέλλαις σειρὰν καὶ μαλάκια· ἕκαστος δὲ αὐτῶν τὸ ἐργόχειρον τῆς ἑβδομάδος ἀποφέρων τῷ Σαββάτῳ εἰς τὸ κοινόβιον, τῇ Κυριακῇ δείλης τὸ ἀνάλωμα τῆς ἑβδομάδος λαμβάνων, ἄρτους καὶ φοίνικας καὶ ἓν κιλικήσιον ὕδατος, οὕτως εἰς τὸ κελλίον ἀπήρχετο. Καὶ τοσοῦτον ἦσαν ἀμέριμνοι ἀπὸ πάντων τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἁπλῶς εἰπεῖν νενεκρωμένοι τῷ

1 κῶδ. *ὑψητοῦ*. — 5 κῶδ. *ἅψαι*. — 6 κῶδ. *ἐψητοῦ*· οὕτω καὶ ἑξῆς. — 10 Κορινθ. 2, ι', 5. — 12 κῶδ. *ὁδηγοῦντος*. — 14 κῶδ. *ἦναυτῶ* || Πέτρου ἐπιστ. 1, γ', 4. — 16 καρποφ. τῷ θεῷ] Ῥωμ. ζ', 4. — 19 αὐτὸν] κῶδ. *αὐτῶν*. — 20 κῶδ. *ὁδηγίας*. — 21 σειρὰν καὶ μαλάκια] ὅρα Ducangii Glossar. σ. 856. — 23 κῶδ. *τὸ δείλης*. — 24 κιλικήσιον] Παλλαδίου λαυσαϊκὸν σ. 1092ʙ· παράβαλε τὸ Παύλου τοῦ Ἑλλαδικοῦ «βραχεῖ κλάσματι ἄρτου καὶ κερατίοις ὀλίγοις - - καὶ κύλικι ὕδατος». Βίος ὁσ. Θεογνίου σ. 5 ἐκδ. ἡμετ. — 25 κῶδ. *ἦσαν*. — 26 νενεκρωμένοι] πρβλ. Ῥωμ. δ', 14. Κολασ. γ', 5. Ἑβρ. ια', 12.

βίῳ καὶ Θεῷ μόνῳ ζῶντες, ὥστε μηδὲν τῆς ὕλης τοῦ κόσμου τούτου ἔχειν τινὰ εἰς τὸ κελλίον αὐτοῦ, πλὴν τούτων τῶν ἀναγκαίων, ἑνὸς κολοβίου καὶ παλλίου καὶ κουκουλλίου· στρωμνὴν δὲ εἶχεν ἕκαστος ψιάθιον ἓν καὶ κεντώνιον καὶ ἐμβρίμιον καὶ σκεῦος ὀστράκινον ἕν, εἰς ὃ ἐγεύετο καὶ τὰ βαΐα ἔβρεχεν.

4. Τοιαύτην δὲ συνήθειαν παρεδίδου αὐτοῖς ὁ θεοφόρος Γεράσιμος, ὥστε ἀνεῳγμένας τὰς κέλλας ἀφιέναι, ἵνα ἕκαστος τῶν συναγωνιστῶν τὴν ἰδίαν χρείαν λαμβάνῃ, μηδενὸς κωλύοντος· εἰ δὲ καὶ ὁ ἔχων τὸ κελλίον μὴ πάρεστιν, οὐκ ἐφρόντιζεν ὁ χρείαν ἔχων, καὶ ἦν ἰδεῖν αὐτοὺς ἀποστολικῶς βιοῦντας — ἦν γὰρ καὶ τούτων ἐν τῇ ἐρήμῳ οἰκούντων ἡ καρδία καὶ ἡ ψυχὴ μία —, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Καὶ τοῦτο δὲ ἐν τοῖς περὶ τοῦ μεγάλου Γερασίμου φέρεται διηγήμασιν· ὅτι προσῆλθον αὐτῷ τινες τῶν ἀναχωρητῶν λέγοντες· " Ἐπίτρεψον ἡμῖν θερμὸν ἑαυτοῖς ποιῆσαι καὶ ἑψητοῦ μεταλαμβάνειν καὶ λύχνον ἅπτειν ἐν τῷ νυκτερινῷ κανόνι πρὸς τὸ ἀναγινώσκειν". Ὁ δὲ ἀπεκρίνατο λέγων " Εἰ ὅλως βούλεσθε εὐκρατίου καὶ ἑψητοῦ μεταλαμβάνειν καὶ ὑπὸ λύχνον ἀναγινώσκειν, συμφέρει εἶναι ὑμᾶς εἰς τὸ κοινόβιον· ἐγὼ γὰρ τοῦτο γενέσθαι οὐ συγχωρῶ εἰς τὸν τῆς ζωῆς μου χρόνον". Ἀκούοντες δὲ οἱ Ἱεριχούντιοι, ὅτι οἱ τοῦ ἀββᾶ Γερασίμου μεγάλην ἔχουσι πολιτείαν, ἤρχοντο πρὸς αὐτοὺς ἐν ἑκάστῳ Σαββάτῳ καὶ Κυριακῇ, παράκλησιν αὐτοῖς φέροντες οὐ μετρίαν. Τινὲς τῶν ἀγωνιστῶν πατέρων θεωροῦντες τοὺς κοσμικοὺς ἐρχομένους φυγῇ ἐχρῶντο, μηδὲν τῆς ἐγκρατείας προκρίνοντες, γινώσκοντες αὐτὴν οὖσαν γεννήτριαν τῆς σωφροσύνης, τούς τε ῥυπαροὺς ἀναστέλλουσαν λογισμοὺς καὶ τὴν τοῦ ὕπνου βαρύτητα ἀνακόπτουσαν· ἔργῳ γὰρ καὶ λόγῳ τῶν τῆς ἐγκρατείας ἀγαθῶν ἐδιδάσκοντο ὑπὸ τοῦ ἡγιασμένου πατρός· οὕτω

1 Θεῷ ζῶντες] Ῥωμ. ς', 10, 11. ιδ', 8. Γαλατ. β', 19 || κῶδ. *μηδὲν*· οὕτω καὶ ἑξῆς.— 3 κῶδ. *κολυβίου* || κῶδ. *κουκουλίου*. — 4 κῶδ. *κεντόνιον* || κῶδ. *ἐμβρύμιον*. — 5 κῶδ. *ταβαΐα*. - 8 κῶδ. *λαμβάνειν*.—12 κῶδ. *τὶ*. —17 κῶδ. *ὅλως*.—18 κῶδ. *εὐκρτίου*] ὅρα Κυρίλλου βίον ὁσ. Ἰωάννου [Acta Sanct. τ. III μαΐου, § 19] καὶ βίον ὁσ. Κυριακοῦ [Acta S. σεπτ. τ. VIII, σ. 148, § 5].—20 κῶδ. *ἱεριχούντιοι*, ὅπερ ὀρθότερον.—22 κῶδ. *κυριακὴν*.— 26 κῶδ. *ἀναστέλλουσα*. — 27 κῶδ. *ἀνακόπτουσα*.— 28 τῶν ἀγαθῶν] κῶδ. *τῶ - - ἀγαθῶ*.

γὰρ καὶ αὐτὸν ἔλεγον τελείως τῆς γαστριμαργίας περιγεγονέναι, ὥστε αὐτὸν πάντα μὲν τὸν ἐν Παλαιστίνῃ τῆς ζωῆς αὐτοῦ χρόνον τὰς ἑβδομάδας νηστεύειν, πάσας δὲ τὰς τῆς ἁγίας τεσσαρακοστῆς ἡμέρας ἄσιτον αὐτὸν διαμεμενηκέναι, τῇ κατὰ Κυριακὴν κοινωνίᾳ ἀρκούμενον.

5. Διηγήσατό μοι ὁ ἀββᾶς Κυριακὸς ὁ ἀναχωρητὴς λέγων, ὅτι «Ἐν νεότητί μου, φησίν, ἐπιποθήσας τὴν ἔρημον οἰκῆσαι, ἦλθον εἰς τὴν λαύραν τοῦ μεγάλου Εὐθυμίου, καὶ τὸ μοναχικὸν σχῆμα διὰ τῶν ἁγίων αὐτοῦ χειρῶν λαβὼν ἀπεστάλην ὑπ' αὐτοῦ πρὸς τὸν ἐν ἁγίοις Γεράσιμον· ὅστις Γεράσιμος, μὴ βουλόμενος ἔχειν ἐν τῇ ἑαυτοῦ λαύρᾳ νεώτερον, δεξάμενός με ἐν τῷ τῆς λαύρας κοινοβίῳ ὑπηρέτην τῶν πατέρων κατέστησε. Τοῦ δὲ πέμπτου χρόνου ἤδη πληρωθέντος τῆς ἐμῆς αὐτόθι διαγωγῆς, τῇ ἐννέα καὶ δεκάτῃ τοῦ ἰαννουαρίου μηνὸς ἐν ἡμέρᾳ Παρασκευῇ περὶ ἑσπέραν ἡτοίμαζον τὸ μαγειρεῖον, καὶ ὡς περὶ ὥραν πέμπτην τῆς νυκτὸς τοῦ Σαββάτου, ἐμοῦ ἀγρυπνοῦντος καὶ τὸ λάχανον τῶν πατέρων καθαρίζοντος, ἦλθε πρός με ἄφνω ὁ ἐν ἁγίοις Γεράσιμος καὶ λέγει μοι· "Ἀνάστα τάχιον, Κυριακέ· ὑπόδησαι τὰ σανδάλιά σου καὶ περιβαλοῦ τὸ ἱμάτιον καὶ ἀκολούθει μοι". Καὶ ἀναστὰς ἠκολούθησα αὐτόν· Καὶ ἀπιόντων ἡμῶν ἐπὶ τὴν Ἰεριχὼ λέγω τῷ γέροντι· "Τίμιε πάτερ, τίς ἡ αἰτία τοῦ τοσούτου δρόμου"; Καὶ λέγει μοι ὁ μέγας Γεράσιμος· "Εὐθύμιος ὁ ἡγιασμένος τετελεύτηκε". Καὶ θαυμάσας ἐγὼ εἶπον· "Καὶ πόθεν σοι, σεβάσμιε πάτερ, τὸ εἰδέναι τοῦτο σαφῶς"; Καὶ ἀπεκρίθη ὁ γέρων καὶ εἶπεν, ὡς «Περὶ ὥραν τρίτην τῆς νυκτὸς εἶδον εἰς προσευχὴν ἱστάμενος σχιζομένους τοὺς οὐρανοὺς καὶ ἀστραπὴν φωτὸς ἐξερχομένην καὶ φθάνουσαν ἕως τῆς γῆς· καὶ ἔμεινεν ἐπὶ πολὺν ὥραν ἡ ἀστραπὴ ὡς στύλος φωτὸς φαινόμενος ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ. Καὶ ἐμοῦ τὴν ὀπτασίαν καὶ τὴν ἑαυτῆς δύναμιν ἀποροῦντος καὶ μαθεῖν τὴν αἰτίαν καὶ τὸν Θεὸν παρακαλοῦντος, ἤκουσα ἐκ τοῦ οὐρανοῦ φωνῆς λεγούσης Ἡ ψυχὴ τοῦ μεγάλου ἐστὶν Εὐθυμίου, εἰς

9 Γεράσιμος] ὅρα Κυρίλλου βίον ὁσ. Κυριακοῦ [Acta Sanct. σεπτεμβρ. τ. VIII, σ. 148, §§ 4 καὶ 5]. — 13 κῶδ. *περιεσπέραν*. — 14 κῶδ. *μαγειρίον*. — 18 κῶδ. *ἱμάτιον* || κῶδ. *ἀναστᾶς*. — 19 κῶδ. *ἰεριχᾶ*.

*

τὸν οὐρανὸν ἀναλαμβανομένη. Καὶ ἰδοὺ ὁ ὀφθεὶς στύλος φωτὸς κατὰ μικρὸν ὑψοῦτο ἀπὸ τῆς γῆς μετὰ φωνῆς ὑμνῳδίας πολλῶν, καὶ οὕτως εἰσῆλθεν εἰς τὸν οὐρανόν, καὶ ἐντεῦθεν ἔγνων σαφῶς, ὅτι ὁ μέγας Εὐθύμιος ἐτελειώθη. Καὶ ὁδεύσαντες εὕρομεν οὕτως, καὶ προσκυνήσαντες καὶ καταθέμενοι τὸ τίμιον λείψανον τοῦ ἁγίου πατρὸς ὑπεστρέψαμεν δοξάζοντες τὸν Θεόν».

6. Οὕτω μὲν οὖν ὁ θεοφόρος Γεράσιμος τὴν Ἀντωνίου τοῦ μεγάλου χάριν λαβών, τοῦ τὴν ψυχὴν Ἀμμοῦν τοῦ Νιτριώτου ἀναλαμβανομένην εἰς τὸν οὐρανὸν τοῖς τῆς ψυχῆς ὄμμασι θεασαμένου, ⟨καὶ οὗτος⟩ τὴν τοῦ μεγάλου Εὐθυμίου ψυχὴν διορατικοῖς εἶδεν ὀφθαλμοῖς εἰς τὸν οὐρανὸν ἀναλαμβανομένην· γεγονὼς γὰρ οἰκητήριον τοῦ παναγίου πνεύματος καὶ ναὸς τοῦ μονογενοῦς Θεοῦ Λόγου καὶ μονὴ τοῦ παντοκράτορος Θεοῦ, εἶχεν ἔνδον τὴν μίαν καὶ ἀδιαίρετον θεότητα ἀποκαλύπτουσαν αὐτῷ τὰ πόρρω καὶ μακρὰν ἐπιτελούμενα. Οὕτως τοίνυν γενναίως ἀσκήσας καὶ τοὺς ὑπ' αὐτὸν ὁδηγήσας καὶ φωτίσας, καὶ τὰ τῆς εὐσεβείας σπέρματα ὅλῃ ἐγκατασπείρας τῇ κατὰ τὸν Ἰορδάνην ἐρήμῳ, καὶ "σκεῦος ἐκλογῆς" τῆς ἐρήμου ἀναδειχθείς, εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα παρέθετο.

7. Διηγήσαντο [ἡμῖν] οἱ τοῦ αὐτοῦ ἁγίου πατρὸς ἡμῶν Γερασίμου φοιτηταὶ παραβαλοῦσιν αὐτοῖς, καθὼς εὕραμεν τῶν ἀκουσάντων τὸ σύγγραμμα, ὅτι «Περιπατῶν ἐν μιᾷ παρὰ τὴν ὄχθαν τοῦ ἁγίου Ἰορδάνου ὑπήντησεν αὐτῷ λέων πάνυ ὀδυρόμενος ἀπὸ τοῦ ποδὸς αὐτοῦ· εἶχε γὰρ ἀπὸ καλάμου σκόλοπα παγέντα ἐν αὐτῷ, ὡς ἐκ τούτου ὀγκωθῆναι αὐτοῦ τὸν πόδα καὶ πλήρη ἐμπύων γενέσθαι. Ὡς οὖν ἐθεώρησεν ὁ λέων τὸν γέροντα, ἐπεδείκνυεν αὐτῷ τὸν

4 κῶδ. *ὁδεύσαντες εὕρομεν.* —7 κῶδ. *μενοῦν.*—8 κῶδ. *νητριώτου.*—10 καὶ οὗτος] ταῦτα ἐν τῇ ᾧᾳ τοῦ κώδικος.—16 κῶδ. *ὁδηγήσας.*—17 κῶδ. *ἐνκατασπείρας* || Πράξ. θ', 15.—18 εἰς χ. θ. τ. π. παρέθετο] Λουκ. κγ', 46.—19 προσέθηκα τὸ *ἡμῖν·* ὅρα Λειμωνάριον Ἰωάννου Μόσχου, κεφ. 107 [Migne τ. 87, σ. 2965 - 2969]. — 20 κῶδ. *καθῶς* || εὕραμεν] οὕτως ὁ κῶδιξ. — 21 σύγγραμμα] νοητέον ἴσως τὸ Λειμωνάριον || περιπατῶν] Μόσχος *περιπατοῦντι* || ὄχθαν] ὅρα Ducang. Gloss. σ. 1069.—22 λέων καὶ ἑξῆς] διήγημα παρόμοιον ἱστόρησεν ὁ Κύριλλος ἐν τῷ βίῳ τοῦ ἁγίου Σάβα, σ. 256 κέ, ἐκδ. Pomialowsky || ὀδυρ. ἀπὸ] Μόσχος *ὠρυόμενος ἐκ.* — 23 Μόσχος *ἐμπαγέντα αὐτῷ, καὶ.* — 24 κῶδ. *πλήρης* || Μόσχος *πύου.* — 25 Μόσχος *γέροντα, ἦλθεν πρὸς αὐτὸν καὶ ἐπ* || κῶδ. *αὐτὸν.*

πόδα τὸν πεπληγότα ἐκ τοῦ ἐμπαγέντος αὐτῷ σκόλοπος, κλαίων τρόπον τινὰ καὶ δεόμενος τῆς παρ' αὐτοῦ θεραπείας τυχεῖν. Ὡς δὲ εἶδεν αὐτὸν ὁ γέρων ἐν τοιαύτῃ ἀνάγκῃ, καθίσας καὶ λαβόμενος αὐτοῦ τοῦ ποδός, καὶ ἀνατεμὼν τὸν τόπον ἐξήνεγκε τὸν κάλαμον μετὰ πολλῶν ὑγρῶν ἰχώρων, καὶ καλῶς περικαθάρας τὸ τραῦμα καὶ δήσας τὸν τόπον παννίῳ ἀπέλυσεν αὐτόν. Ὁ δὲ λέων θεραπευθεὶς οὐκέτι εἴασε τὸν γέροντα, ἀλλ' ὡς γνήσιος μαθητής, ὅπου δ' ἂν ὑπῆγεν, ἠκολούθει αὐτῷ, ὥστε θαυμάζειν τὸν γέροντα τὴν τοσαύτην εὐγνωμοσύνην τοῦ θηρίου. Καὶ λοιπὸν ἀπὸ τότε ὁ γέρων ἔτρεφεν αὐτόν, βάλλων αὐτῷ ἄρτον καὶ βρεκτὰ ὄσπρια. Εἶχε δὲ ἡ λαύρα, ἤτοι τὰ σπήλαια, ἕνα ὄνον, δι' οὗ παρέφερον τὸ ὕδωρ εἰς τὴν χρείαν τῶν γερόντων· ἐκ γὰρ τοῦ ἁγίου Ἰορδάνου πίνουσι τὸ ὕδωρ· ἀπέχει δὲ ἐκ τῆς λαύρας μίλιον ἕν. Συνήθειαν οὖν εἶχον οἱ πατέρες διδόναι τὸν ὄνον τῷ λέοντι, ἵνα ἀπέρχηται καὶ βόσκῃ αὐτὸν παρὰ τὸ χεῖλος τοῦ Ἰορδάνου.

8. «Ἐν μιᾷ οὖν βοσκόμενος ὁ ὄνος διέστη ἀπ' αὐτοῦ ὁ λέων οὐκ ὀλίγον διάστημα, καὶ ἰδοὺ καμηλάριος ἐρχόμενος ἀπὸ Ἀραβίας καὶ εὑρὼν τὸν ὄνον ἔλαβεν αὐτὸν εἰς τὰ ἴδια· ὁ δὲ ἀπολέσας τὸν ὄνον ἦλθεν εἰς τὴν λαύραν πάνυ στυγνὸς πρὸς τὸν ἀββᾶν Γεράσιμον. Ἰδὼν οὖν αὐτὸν ὁ γέρων ἐνόμισεν, ὅτι αὐτὸς ἔφαγεν τὸν ὄνον, καὶ λέγει αὐτῷ "Σὺ ἔφαγες τὸν ὄνον"; Ὁ δὲ ὥσπερ ἄνθρωπος κάτω νεύων ἵστατο, καὶ λέγει αὐτῷ ὁ γέρων· "Εὐλογητὸς Κύριος· τὸ ἔργον τοῦ ὄνου σὺ ποίει ἀπὸ τοῦ νῦν". Ἀπὸ

1 Μόσχος *πεπληγμένον πόδα*. — 4 τὸν τόπον] Μόσχος *αὐτὸν ἐξέβαλε*. — 5 τὸ *ἰχώρων* ἐλλείπει τῷ Μόσχῳ || Μόσχ. *περικαθαρίσας*. — 6 τὸπον] Μόσχ. *πόδα παννίῳ*, κῶδ. *πανίον* || αὐτὸν] ἐλλείπει τῷ Μόσχῳ. — 8 ὑπῆγεν] Μόσχος *ἀπήρχετο*. — 11 Μόσχος *ἡ λαύρα, ὄνον δι' ὕδωρ εἰς*. — 13 Μόσχ. *λαύρας ὁ ποταμὸς μ.*— 14 Μόσχ. *τῷ λέοντι τὸν ὄνον, ἵνα βόσκῃ* || κῶδ. *ἀπέρχητε καὶ βόσκει*. — 15 κῶδ. *αὐτῷ* || Μόσχ. *ἁγίου Ἰορδάνου*.—16 Μόσχ. *βοσκόμ. ὁ ὄνος ὑπὸ τοῦ λέοντος ἀπῆλθεν ἀπ'*. — 17 Μόσχ. *καμηλάριοι ἐρχόμενοι* || κῶδ. *ἀρραβίας*. — 18 Μόσχος *εὑρόντες τ. ὄ. λαβόντες αὐτὸν ἀπῆλθον εἰς τ. ἴ. ὁ δὲ λέων*. — 19 Μόσχ. *στυγνὸς καὶ κατηφὴς*. — 20 Μόσχ. *Ἐνόμιζεν οὖν ὁ ἀββᾶς, ὅτι ἔφαγεν τὸν ὄνον ὁ λέων· καὶ λέγει αὐτῷ· Ποῦ ὁ ὄνος; ὁ δὲ ὥσπερ ἄνθρωπος εἱστήκει σιωπῶν καὶ κάτω νεύων. Λέγει αὐτῷ ὁ γέρων· Ἔφαγες αὐτόν; εὐλογητὸς Κύριος. Εἴ τι ἐποίει ὁ λέων, ἀπ' ἄρτι σὺ μέλλεις ποιεῖν. Ἀπὸ τότε κτλ.*

τότε οὖν ὁ λέων, κελεύσαντος τοῦ γέροντος, μετέφερε τοῖς πατράσι τὸ ὕδωρ. Καί ποτέ τις στρατιώτης ἐλθὼν πρὸς τὸν γέροντα, καὶ ἰδὼν τὸν λέοντα παραφέροντα τὸ ὕδωρ, παρέσχε τῷ γέροντι χρυσίνους τρεῖς ὑπὲρ τιμῆς ὄνου, καὶ ἠλευθερώθη ὁ λέων τῆς δουλείας. Μετὰ οὖν χρόνον τινὰ ὁ καμηλάριος ὁ τὸν ὄνον λαβὼν ἔρχεται πάλιν σῖτον πωλῆσαι ἐν τῇ Ἁγίᾳ Πόλει, ἔχων τὸν ὄνον μεθ' ἑαυτοῦ· καὶ περάσας τὸν ἅγιον Ἰορδάνην ὑπηντήθη κατὰ συγκυρίαν τῷ λέοντι, καὶ ἰδὼν αὐτὸν ὁ καμηλάριος, ἐάσας τὰς καμήλους, ἔφυγεν· ὁ δὲ λέων γνωρίσας τὸν ὄνον ἔδραμεν ἐπ' αὐτόν, καὶ τῷ στόματι δακὼν τὸ δουκάλιον, ὡς εἰώθει, ἔσυρεν αὐτὸν μετὰ τῶν τριῶν καμήλων, καὶ χαίρων ὡς τὸν ὄνον ὃν ἀπώλεσεν εὑρηκώς, ἅμα τε καὶ κράζων ἦλθε πρὸς τὸν γέροντα· ὁ γὰρ γέρων ἤλπιζεν ὅτι ὁ λέων ἔφαγεν αὐτόν. Τότε οὖν ὁ μέγας πατὴρ ἡμῶν Γεράσιμος ἐπληροφορήθη, ὅτι ἐσυκοφαντήθη ὁ λέων· ἐπέθηκε δὲ καὶ ὄνομα τῷ λέοντι Ἰορδάνην. Ἐποίησε δὲ μετὰ τοῦ γέροντος ὁ λέων χρόνους πέντε, ἀχώριστος αὐτοῦ ἀεὶ ὤν.

9. «Ὅτε δὲ πρὸς Κύριον ὁ μέγας πατὴρ ἡμῶν Γεράσιμος, ὁ πολυάρετος καὶ παμπόθητος καὶ τῆς δόξης τῆς θείας ἠμφιεσμένος, ἀπεδήμησε καὶ ἐτάφη ὑπὸ τῶν πατέρων, κατ' οἰκονομίαν Θεοῦ ὁ λέων οὐχ εὑρέθη εἰς τὴν λαύραν· μετ' ὀλίγον δὲ ἦλθε καὶ ἐζή-

1 Μόσχ. *γέροντος ἐβάσταζεν τὸ κανθήλιον, κεράμια τέσσαρα ἔχον, καὶ ἔφερεν τὸ ὕδωρ. Ἦλθεν οὖν ἐν μιᾷ στρατιώτης εὔξασθαι πρὸς τὸν γέυοντα, καὶ ἰδὼν τὸν λέοντα τὸ ὕδωρ βαστάζοντα, καὶ μαθὼν τὴν αἰτίαν, ἠλέησεν αὐτόν· καὶ ἐκβαλὼν τρία νομίσματα ἔδωκε τοῖς γέρουσι, ἵνα ἀγοράσωσιν ὄνον εἰς τὴν χρείαν τοῦ ὕδατος, καὶ τὸν λέοντα τῆς τοιαύτης λειτουργίας ἐλευθερώσωσι. Μετὰ οὖν χρόνον τινὰ τοῦ ἐλευθερωθῆναι τὸν λέοντα, ὁ καμηλάριος ὁ τὸν ὄνον λαβὼν ἦρχετο κτλ.* — 4 κῶδ. *ἐλευθερώθη.*— 6 κῶδ. *σίτον.* — 7 Μόσχ. *κατὰ συγκ. ὑπηντήθη.* — 8 Μόσχ. *αὐτὸν εἴασεν τὰ καμ. καὶ ἔφυγεν.*—10 Μόσχ. *δακὼν αὐτοῦ, ὡς εἴωθεν, τὸ δουλίριον* (πρβλ. τὸ νεοελληνικὸν *γιουλάρι*) *ἔσυρεν αὐτὸν καὶ τὰς τρεῖς καμήλους, χαίρων ὁμοῦ καὶ κράζων, ὡς κτλ.*— 13 ἤλπιζεν] Μόσχ. *εἶχεν, ὃ γραπτέον ἔλεγεν* || Μόσχ. *τότε ἔγνω ὁ γέρων, ὅτι ἐσυκ.* — 15 δὲ] Μόσχ. *οὖν.* — 16 Μόσχ. *ἐν τῇ λαύρᾳ λέων πενταετῆ χρόνον, ἀχ. αὐτοῦ πάντοτε ὤν.* — 17 Μόσχ. *πρὸς Κύρ. ἀπεδήμησεν ὁ ἀββᾶς Γεράσιμος καὶ ὑπὸ τῶν πατέρων ἐτάφη, κατ' οἰκον.*— 18 κῶδ. *παμπόθητος.* — 19 κῶδ. *κατοικονομίαν.* — 20 κῶδ. *οὐχευρέθη* || Μόσχ. *εὑρ. τῇ λαύρα. Μετὰ γοῦν ὀγίγον καιρὸν ἦλθεν ὁ λέων καὶ ἐζήτει τὸν γέροντα· ὁ δὲ μαθητὴς τοῦ γέροντος καὶ ὁ ἀββᾶς Σαββάτιος ἰδόντες αὐτὸν λέγουσιν αὐτῷ.*

τει τὸν ἅγιον γέροντα αὐτοῦ. Ὁ δὲ ἀββᾶς Σαββάτιος ὁ Κίλιξ καὶ φίλος τοῦ ἁγίου πατρὸς ἡμῶν Γερασίμου ἰδὼν τὸν λέοντα ἔλεγεν αὐτῷ· "Ἰορδάνη, ὁ γέρων ἀφῆκεν ἡμᾶς ὀρφανοὺς καὶ πρὸς Κύριον ἀπεδήμησεν· ἀλλὰ λάβε καὶ φάγε". Ὁ δὲ λέων φαγεῖν οὐκ ἤθελεν, ἀλλὰ συνεχῶς τοὺς ὀφθαλμοὺς ὧδε καὶ ὧδε κινῶν ἐζήτει ἰδεῖν τὸν γέροντα αὐτοῦ, ὠρυόμενος μεγάλα, μὴ φέρων αὐτοῦ τὴν στέρρησιν· ὁ δὲ ἀββᾶς Σαββάτιος καὶ οἱ λοιποὶ γέροντες τρίβοντες τὸν νῶτον αὐτοῦ ἔλεγον αὐτῷ· "Ἀπῆλθεν ὁ πατὴρ ἡμῶν πρὸς Κύριον, ἐάσας ἡμᾶς". Καὶ ταῦτα αὐτῶν λεγόντων οὐκ ἠδύναντο αὐτὸν ἐκ τῶν φωνῶν καὶ τῶν ὀδυρμῶν παῦσαι· ἀλλ' ὅσον ἐδόκουν αὐτὸν διὰ τοῦ λόγου θεραπεύειν καὶ μεταβάλλειν, τοσοῦτον αὐτὸς μᾶλλον ὠδύρετο καὶ βοαῖς μείζοσιν ἐχρᾶτο καὶ τὸν θρῆνον ηὔξανε, δεικνύων διά τε τῶν φωνῶν καὶ τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν τὴν λύπην, ἣν εἶχε, μὴ βλέπων τὸν ἅγιον Γεράσιμον. Τότε λέγει αὐτῷ ὁ ἀββᾶς Σαββάτιος. "Δεῦρο μετ' ἐμοῦ ἐφ' ὅσον οὐ πιστεύεις ἡμῖν, καὶ δεικνύω σοι ποῦ κεῖται ὁ γέρων ἡμῶν". Καὶ λαβὼν αὐτὸν ἀπήνεγκεν ὅπου ἦσαν θάψαντες αὐτόν· ἀπέχει δὲ ἐκ τῆς ἐκκλησίας ὡς ἥμισυ μιλίου. Καὶ σταθεὶς ὁ ἀββᾶς Σαββάτιος ἐπάνω τοῦ τάφου τοῦ ἁγίου πατρὸς ἡμῶν Γερασίμου ἔβαλε μετάνοιαν. Ὡς οὖν εἶδεν ὁ λέων πῶς ἔβαλε μετάνοιαν ἐπάνω τοῦ τάφου τοῦ ἁγίου γέροντος καὶ ἔκλαιεν, ἔβαλε καὶ αὐτὸς μετάνοιαν εἰς τὴν γῆν, κρούων τὴν κεφαλὴν σφοδρῶς καὶ ὠρυόμενος, καὶ οὕτως παραχρῆμα ἀπέθανεν ἐπάνω τοῦ τάφου. Τοῦτο δὲ ὅλον γέγονεν, οὐχ ὡς ψυχὴν λογικὴν ἔχοντος τοῦ λέοντος, ἀλλ' ὡς τοῦ Θεοῦ θέλοντος τοὺς δοξάζοντας αὐτὸν δοξάσαι, οὐ μόνον ἐν τῇ

4 λάβε] Μόσχ. *δεῦρο.* — 5 κῶδ. *ὧδε καὶ ὧδε* || Μόσχ. *ὀφθ. αὐτοῦ τῇδε κἀκεῖσε ὑπέστρεφεν τοῦ ἰδεῖν.* — 7 στέρρησιν] Μόσχ. *ἀπόλειψιν.* — 8 πατὴρ ἡμῶν] Μόσχ. *γέρων.* — 10 Μόσχ. *ἠδύν. ἐκ τῶν βοῶν οὐδὲ ἐκ τῶν ὀδ. παῦσαι αὐτόν· ἀλλ' ὅσον αὐτὸν ἐδόκουν.* — 11 Μόσχ. *τοσ. ὠρυόμενος αὐτὸς μᾶλλον καὶ μᾶλλον διετέλει καὶ βοαῖς μείζ. ἐκέχρητο τὸν θρῆνον ἐπαύξων καὶ δεικ.* — 14 ἅγιον Γεράσιμον] Μόσχ. *γέροντα.* — 16 ποῦ] Μόσχ. *ὅπου.* — 17 Μόσχ. *ἀπεῖχον.* — 19 Μόσχ. *τοῦ ἀββᾶ Γερ., λέγει τῷ λέοντι· ἰδοὺ ὁ γέρων ἡμῶν· καὶ ἔκλινε τὰ γόνατα αὐτοῦ ὁ ἀββᾶς Σαββάτιος.* — 20 κῶδ. *ἔβαλλε* || Μόσχ. *μετανοίας, κρούων κτλ.* — 22 Μόσχ. *σφοδρῶς εἰς τὴν γῆν, καὶ ὠρ. παραχρῆμα.* — 23 Μόσχ. *τάφου τοῦ γέροντος.* — 24 Μόσχ. *γέγονεν ὅλον.* — 25 Μόσχ. *δοξάσαι τοὺς δοξ. αὐτόν.*

ζωῇ ταύτῃ, ἀλλὰ καὶ μετὰ θάνατον, καὶ δεῖξαι ἡμῖν ποίαν ὑποταγὴν εἶχον τὰ θηρία πρὸς τὸν Ἀδάμ, πρὶν αὐτὸν παρακοῦσαι τῆς ἐντολῆς καὶ τῆς ἐν Παραδείσῳ τρυφῆς ἐκπεσεῖν».

10. Ἡ μέντοι τελείωσις τοῦ πατρὸς ἡμῶν Γερασίμου γέγονε κατὰ τὴν πέμπτην τοῦ μαρτίου μηνὸς τῆς τρισκαιδεκάτης ἰνδικτιῶνος, ἐν ἀρχῇ τῆς βασιλείας Ζήνωνος [= 475]. Βασίλειον δὲ καὶ Στέφανον ἀδελφοὺς αὐτοῦ κατὰ σάρκα διαδόχους τῆς ἡγεμονίας κατέλιπεν, οἵτινες ἐπὶ ἓξ ἔτη τὴν αὐτὴν ποιμάναντες συνοδίαν ἐτελεύτησαν [= 481], καὶ οὕτως ψήφῳ πάντων τῶν ἁγίων πατέρων ὁ τρισμακάριος Εὐγένιος τῆς τοῦ μεγάλου Γερασίμου ἀγέλης ἐκράτησε, καὶ ταύτην καλῶς καὶ θεαρέστως ἐπὶ τεσσαράκοντα καὶ πέντε ἔτη καὶ μῆνας τέσσαρας ποιμάνας ἐκοιμήθη μηνὶ αὐγούστῳ ιθ' τῆς τετάρτης ἰνδικτιῶνος [= 526], ἀνὴρ προφητικὸς γεγονὼς καὶ θείοις χαρίσμασι περιλαμπόμενος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1 ταύτῃ] Μόσχ. *αὐτῶν* || Μόσχ. *δεῖξαι ποίαν εἶχον τὰ θηρ. ὑποτ. πρὸς τὸν Ἀδ. πρὸ τοῦ* || κῶδ. *ποῖαν*. — 2 κῶδ. *ἀδὰμ*. — 4 ὅρα Κυρίλλου βίον ὁσ. Κυριακοῦ [Acta Sanct., σεπτ. τ. VIII, σ. 148, § 5] «ὁ μέγας πατὴρ ἡμῶν Γεράσιμος ἐτελεύτησεν καὶ τῷ τῆς δικαιοσύνης κατεκοσμίσθη στεφάνῳ ε' τῆς ιγ' ἰνδικτιόνος. Βασιλείου δὲ Στεφάνου ἀδελφῶν τῆς ἡγεμονίας κρατησάντων, ὁ ἀββᾶς Κυριακὸς ἀνεχώρησεν» κτλ. — 7 κῶδ. *ἡγεμονίας* || διαδόχους τῆς ἡγεμονίας = ἡγουμενείας] Κύριλλος ἐν τῷ βίῳ Σάβα [σ. 44, 6. 141, 2, 6. 164, 4. 184, 11. 196, 5] καὶ ἐν τῷ βίῳ Θεοδοσίου [σ. 111, 19] καὶ ἐν τῷ βίῳ τοῦ Θεογνίου, ἐκδ. ἡμετ. σ. 22, 26.

IX.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ ΚΑΙ ΤΟΥ ΑΥΤΑΔΕΛΦΟΥ ΑΥΤΟΥ ΘΕΟΔΩΡΟΥ,

συγγραφεὶς παρὰ

Θεοδώρας Ῥαουλαίνης Κατακουζηνῆς τῆς Παλαιολογίνης.

(Cod. Metochii S. Sepulcri 244, f. 130—154).

1. Ἀλλὰ πῶς ἄν τις τοὺς ὑπὲρ Χριστοῦ καλῶς ἀγωνισαμένους καὶ ἀθλητικὴν ἅμιλλαν στερρῶς ἐπιδειξαμένους τῶν εὐσεβῶν οὐκ εἰς εὐφημίαν ἐνέγκαι προθυμηθείη; καὶ [γὰρ] ὅλην ὑπόθεσιν λόγου αὐτῶν τὰ ἆθλα καὶ τὰ παλαίσματα ἐπιεικῶς ἐνστησάμενος κανόνα καὶ στάθμην προθήσει τοῖς φιλαρέτοις, ὡς ἐμπύρευμα ταῖς ψυχαῖς αὐτῶν ἐνιέντα καὶ πρὸς μίμησιν παραθήγοντα. Ἂν δέ γε εἶεν αὐτοὶ οὐκ ἐν μόνοις ἀθλητικοῖς σκάμμασι φαιδρῶς διαλάμψαντες, ἀλλὰ καὶ ἀσκητικοῖς ἱδρῶσιν ἀπαραλείπτως πυκτεύσαντες πρότερον, ὅσον οἴσουσι τὸ ὠφέλιμον; εἰ δὲ καὶ τῶν οἰάκων τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐσύστερον οἱ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενοι ὑπερκαθεσθέντες ὀφθεῖεν, καὶ ταύτην ὡς τῷ Θεῷ πηδαλιουχήσαντες φίλον, ἡλίκον; Διὰ ταῦτα καὶ διηγητέον τὰ τούτων καὶ μιμητέον ὡς δύναμις, ὅπως τῇ τοῦ καλοῦ ἀναπτύξει ἀμέσως τῷ Θεῷ πλησιάσαι. Ἀλλὰ μή τις οἰέσθω ἐς τοσοῦτον ἀφικέσθαι με τόλμης, ὥστε καὶ πτύχας ἀνοῖξαι χειλέων καὶ χεῖρα κινῆσαι καὶ

3 προσέθηκα τὸ *γὰρ*. — 12 κῶδ. *διαταῦτα* οὕτω καὶ ἑξῆς. — 15 πτύχας] οὕτως ἐν τῷ κώδικι.

ἱστία καλάμου διαπετάσαι πρὸς ἐξύμνησιν τῶν ἀγώνων τουτωνὶ τῶν τρισαριστέων, ἐπεὶ οὐδ' ἐμὲ τοῦτο λέληθεν, ὡς ἐργώδης ἐστὶν ὁ λόγος καὶ χαλεπὸν διενεγκεῖν καὶ τὰ δούλων Θεοῦ (ἵνα καὶ παρῳδήσω μικρὸν ὃ πάλαι τινὶ τῶν τῆς ἡμετέρας αὐλῆς θύραθεν καλῶς ἐστι λελεγμένον) ὑπὲρ ἄνθρωπον κατορθώματα, ἃ καὶ συνιδεῖν πάντα (ἵν' αὖθις ἐπικαίρως ὁλικῶς χρήσωμαι τοῖς αὐτοῦ μεθ' ὑπαλλαγῆς τινος) καὶ διελέσθαι καθ' ἕκαστον καὶ πληρῶσαι διὰ τέλους ἀδύνατον μὴ οὐ σὺν μεγάλῃ καὶ λαμπρᾷ τοῦ κρείττονος ἀρρωγῇ· ὀκλάσειαν γὰρ ἂν καὶ οἱ διακορεῖς τοῦ λόγου γενόμενοι διά τε τὸ ὑπέραντλον αὐτῶν τῆς σοφίας καὶ τὴν πρὸς Θεὸν οἰκειότητα, σχολῇ δ' ἂν λέγοιμι ἐμὲ καὶ τοὺς κατ' ἐμὲ ἐλυσπωμένους τῇ ἀμαθίᾳ καὶ περιστάσεσιν ἀνηκέστοις, μυρίοις τε θανάτοις καταντλουμένους, εἰ μή τοι γε ἡ ἐμὴ δεσπότις καὶ μήτηρ ἡ τῷ Θεῷ εὐλογημένη, ἡ τὴν κλῆσιν τῇ πράξει κατάλληλον ἐσχηκυῖα, ὥσπερ τις δικαστὴς ἀπαρέγκλιτος σφοδρῶς μοι τῇ προτέρᾳ καθείρξει τοῦτο προσέταττε· ναὶ μὴν καὶ τῇ νῦν ὑπερορίᾳ τε καὶ φρουρᾷ τὰ ἴσα διακελεύεται· διὸ καὶ τὸν κυριακὸν λόγον ἐθέμην εἰς νοῦν, τιμᾶν διακελευόμενον τοὺς γεννήτορας.

2. Κατὰ τί δ' ἂν οὗτοι τιμηθεῖεν, εἰ μὴ τοὺς ἐξ αὐτῶν εὐγνώμονας αὐτοῖς ἔχοιέν τε καὶ πειθηνίους; ἀνάγκη γὰρ πᾶσα πατράσιν εὐγνωμονεῖν ἐφ' οἷς ἂν ὑπ' αὐτῶν οἱ παῖδες κελεύοιντο, εἰ μὴ τῷ κελεύσματι προσίσταταί τι ἀντίξουν καὶ μὴ συμβαῖνον τῷ θείῳ θελήματι· εἰ δ' ἐκεῖνο μὴ δι' ἕτερον, ἢ τὸ προσενέγκαι διὰ λόγου δῶρον δούλῳ Θεοῦ, πολλῷ γε μᾶλλον ὑπείκειν ἐστὶ δίκαιον· εἰ δ' οὖν ἀλλὰ δυσανασχετοῦντες φανεῖεν, καὶ τὸ τῆς εἰς Θεὸν ἀγνωμοσύνης κομιοῦνται κατάκριμα· πρὸς δὲ καὶ τὸ μὴ τῶν προσαγωγῶν τῷ ὄγκῳ τοσοῦτον ἐπευδοκεῖν τὸν Θεόν, ὅσον τῷ πλούτῳ τῆς ψυχικῆς εἰ δεῖ προθυμίας ἢ μεγαλοφυΐας εἰπεῖν, εἰμὶ στρέφουσα ἐπὶ νοῦν. Καὶ διδάσκει με ταῦτα τὰ εὐαγγέλια· ἀκούω γὰρ ἐν αὐτοῖς τῆς προσαίτιδος χήρας ἐκείνης καὶ μεγαλο-

7 κῶδ. *τινὸς* || κῶδ. *καθέκαστον κ. π. διατέλους.* — 12 κῶδ. *τὲ· οὕτω* καὶ ἑξῆς.— 15 κῶδ. *ὥσπέρ τις·* οὕτω καὶ ἑξῆς, οἷον *ὥσπέρ τινα.* — 18 Ἐξόδ. κ', 12. Ματθ. ιε', 4. — 20 κῶδ. *αὐτοῖς.*

δώρου, τῆς μὴ πλείους καταβαλλομένης τῷ γαζοφυλακίῳ δυοῖν ὀβολοῖν, μή τινα πλεῖον ἐπαινεθῆναι παρὰ Θεοῦ, ἀλλ' οὐδ' ἴσον τῶν τὰ πολύτιμα δῶρα προσενεγκάντων αὐτῷ, ὅτι μηδὲ τὸ τῆς ψυχῆς ἐκείνης εὐγενές τε καὶ ἐλευθέριον ἐπεδείξαντο· ἐκείνη μὲν γὰρ ἡ πτωχὴ χήρα καὶ πενιχρὰ μεγαλοπρεπῶς τὸν βίον ὅλον ἀποτιθεμένη τῷ ἱερῷ, τὰ μείζω πάντων προσενεγκεῖν ἐδικαιώθη Θεῷ· οἱ δὲ ἀλλ' οὐχ οὕτως, ἀλλ' ἀπόμοιράν τινα τῶν προσόντων αὐτοῖς δεδωκότες, τῶν τῆς προσαίτιδος ἐφάνησαν ἐλάττω δόντες μακρῷ. Ταῦθ', ὡς εἰρήκειν, συχνῶς τῷ νῷ περιστρέφουσα τοῦ ἐγχειρήματος ἄψασθαι κατεπείγομαι· ἀμέλει ταῖς μητρῴαις εὐχαῖς θωρακίζομαι καὶ τὸν ταύτης Θεὸν βοηθὸν προτίθεμαι καὶ συνέριθον, μὴ τῆς ἀξίας ἐλαττῶσαι τοὺς προκειμένους εἰς εὐφημίαν. μηδὲ πλεῖστον τῶν ἄλλων κατόπιν ἐλθεῖν με, ὅσοι τὰ τούτων ὑπόθεσιν λόγου πεποίηνται, μηδὲ λέγειν προσῆκε κἀμοὶ σιωπᾶν ἢ τοσούτοις ἔργοις λυμήνασθαι, ἀλλ' ἐξυφάναι μὲν τὸν λόγον, κἂν βραχὺ τῷ ὕψει τῶν ἐγκωμιαζομένων προσήκοντα, προσθεῖναι δὲ καὶ ἃ τοῖς ἄλλοις παρεῖται, ἃ δὴ καὶ πρῶτον αἴτιον ἄντικρυς τῶν ἀθλητικῶν σκαμμάτων αὐτοῖς· δι' ἃ καὶ ἡ μήτηρ εἰς τόνδε με καθικέσθαι πέπεικε τὸν ἀγῶνα, ὡς μὴ τοῦ καιροῦ συγχωροῦντος παρερρῖφθαί που ταῦτα σποράδην, οἷα ἡμῖν συνάρασθαι τὰ μεγάλα δυνάμενα πρὸς τὸν νῦν ἐπεισπεσόντα τῇ ἐκκλησίᾳ, τῆς συμπνοίας εἵνεκα τοῦ κρατοῦντος τῷ προεδρεύοντι Ῥώμης, περίπυστον θόρυβον.

3. Οὗτοι τοίνυν· — ἀλλὰ δεῖν ὤήθην ὀλίγων τινῶν πρότερον ἀπομνημονεῦσαι τοῦ ἑνὸς τῶν τριῶν πέρι, τοῦ καὶ διδασκάλου καὶ κατὰ πνεῦμα πατρὸς τοῖς ἄλλοις ὑπάρξαντος, ἔπειτα κἀκείνους ἐπισυνάψαιμ' ἂν τῷ ἑνὶ καὶ κοινῇ διέλθοιμι τοῦ λόγου τὸν δίαυλον. Τοῦτον, τὸν καὶ φυτηκόμον τῶν εὐφυεστάτων πρέμνων καὶ οὐρανομηκῶν, τῆς λαμπρᾶς ξυνωρίδος Θεοδώρου τῶν αὐταδέλφων καὶ Θεοφάνους, τὸν εἰς τόδε πνευματικῆς ἡλικίας προαγαγόντα, ὡς ὁ λόγος φθάσας ὑπέγραψε, δηλαδὴ τὸν θαυμαστὸν Μιχαήλ, τὸν οὐκ

1 Μάρκ. ιβ', 41 - 44. Λουκ. κα', 1-4. — 3 κῶδ. μὴ δὲ· οὕτω καὶ ἑξῆς. — 7 κῶδ. τινὰ. — 25 Οὗτοι τοίνυν] ὅρα τὴν ἀκολουθίαν ἐν σελ. 191 γρ. 10.

ὀνόματι μόνον ἀλλὰ καὶ πολιτείᾳ σεμνυνόμενον τῶν Ἀγγέλων, ἤνεγκεν ὥσπερ τινὰ στέλεχον εὐθαλῆ καὶ ὡραῖον γῇ ἐκείνῃ, καθ' ἣν ὁ κύριος ἡμῶν καὶ Θεὸς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς προσλαβόμενος τὸ ἀνθρώπινον θεανδρικὰς αὐτοῦ καὶ σωτηριώδεις διατριβὰς ἐπεποίητο· ἐκεῖθεν γὰρ ὁ περικαλλὴς ἄσταχυς οὑτοσὶ ἡμῖν ἀνεβλάστησεν, ὁ μικρὸν ὕστερον τῷ γεωργῷ τῶν ὅλων Θεῷ ὥριμος σῖτος ἀποδειχθεὶς καὶ τῆς ἄνω Σιὼν πολίτης ἀναφανείς *. Πρὸς δὲ τούτῳ θεοσεβεῖς ἄμφω καὶ δίκαιοι, οἳ αὐτὸν οὐχ ἑώρων γυμνικοῖς ἀγῶσιν ἐπαγαλλόμενον καὶ οἷς ἄλλοις οἱ τοῦ παιδὸς ἥλικες ἐπεντρύφων, ἀλλὰ τοῖς θείοις ναοῖς προσεδρεύοντα καὶ τῇ τοῦ νοῦ ἐνησχολημένον μελέτῃ, καὶ οἷον ἐξ αὐτῆς βλάστης ὁποῖον γενήσεται τὸ φυτὸν καὶ οἵους προάξει καρποὺς ταῖς σφῶν αὐτῶν ἐνωπτρίζοντο διανοίαις. Διὰ ταῦτα καὶ ἔχαιρον, ἐσκίρτων, ἀνθωμολογοῦντο Θεῷ, ὅτι τοιούτου παιδὸς ἀκοῦσαι πατέρας αὐτοὺς ἐδικαίωσεν· ἴστε γάρ, ὅσοι πατέρες ἐστέ, οἷον τοῦτ' τοῖς πατράσι, τοῖς εὐσεβεῖν βουλομένοις, χρῆμα κομιδῇ χαριέστατον. Ἐντεῦθεν οὐκ ἠμέλουν οὐδὲ βραχὺ διεγείροντες τὸν παῖδα σφίσι πρὸς τὰς φίλας αὐτῷ, τῷ Θεῷ δ' εἰπεῖν οἰκειότερον, ἐργασίας, καὶ πλεῖόν γε τοῦ πατρὸς ἡ τεκοῦσα, ἣ καὶ πρὸ συλλήψεως δοτὸν ὑπισχνεῖτο δώσειν αὐτὸν τῷ Θεῷ, εἰ τῆς δεήσεως αὐτῆς ἐπακούσαι καὶ ἄρρενος εὐμοιρήσαι γονῆς. Καὶ νῦν μὲν ὑπεροψίαν καὶ αὐτοὶ πᾶσαν τῶν γηίνων διδάσκουσι, πρὸς μόνα δὲ βλέπειν τὰ ἐς ἀεὶ διαμένοντα· νῦν δὲ τὸ προσηνὲς πρὸς πάντας καὶ μέτριον, ἐκεῖνο λέγοντες· " ἔσο, παιδίον, ἠκριβωμένως εἰδός, ὡς μετρίῳ φρονήματι καὶ ψυχῆς ἁγνείᾳ τῶν ἄλλων μᾶλλον Θεὸς ἐπευφραίνεται ".

4. Πρὸς τούτοις κἀκεῖνο τῷ παιδὶ ἐπισκήπτουσι, τοῦ καὶ αὐτοῦ σώματος ἀφειδῆσαι, ψυχῆς δὲ μόνης ποιεῖσθαι τὴν ἐπιμέλειαν. Ταῦτα λέγοντες καὶ οἱονεὶ ταῖς πατρικαῖς συμβουλίαις ὑπόπτερον τοῦτον ἀπεργαζόμενοι τὴν πτῆσιν ἤτουν αὐτὸν καὶ πρὸ ὥρας· ὁ δὲ βαρὺ πατρικοὺς εἰδὼς λόγους ἐξωριάζειν οὐκ ἐβαρύνετο τὴν ἀκοήν, οὐκ ἐνάρκα τὴν διάνοιαν, οὐ πρὸς τὸ σκληρὸν

4 κῶδ. *αὐτοῦ*.—7 μετὰ τὸ *ἀναφανεὶς* ἐξέπεσέ τι περὶ τῶν γονέων τοῦ Μιχαήλ, εἰ μὴ τοῦτο δι' ὁμοιοτέλευτον ἐγὼ παρέδραμον.—13 κῶδ. *ἐνοπτρίζοντο*.—21 κῶδ. *εὐμοιρήσει*.

τῆς πνευματικῆς ὁδοῦ καὶ δυσάναντες ἐδυσχέραινεν, ἀλλὰ "ξυρὸς" ἦν "εἰς ἀκόνην" καὶ "δαλὸς" ὅ φασι "πρὸς τὸ πῦρ"· καὶ ὃ πρὸς τὸ οὗς ἠκηκόει, οὐκ εἰς ἀναβολὰς παρέπεμπε καὶ καιρῶν ὑπερθέσεις, ἀλλ' εὐθὺς ἔργῳ παρίστα τὰ προσταττόμενα. Ἐντεῦθεν οὐκ ὤοντο πρέπον, μὴ τῶν ναμάτων τῆς ἐγκυκλίου παιδεύσεως καὶ πάσης ἄλλης σοφίας ἐμπλῆσαι τῆς θύραθεν ὀν μικρὸν ὕστερον τοῦ θείου καὶ ζωηρρύτου νάματος ἀκορέστως ἴσασιν ἐμφορηθησόμενον. Διὰ τοῦτο καί τινι τῶν μυσταγωγῶν, ἱκανῶς ἔχοντι λογικῆς ἐπιστήμης, τὸν παῖδα παρατιθέασι· καὶ ὃς ῥωμαλαιότητι γνώσεως καὶ νοὸς ὀξύτητι πᾶσαν ἐν βραχεῖ σοφίαν καλῶς ἐκπαιδεύεται. Ἐπεὶ δ' οὕτως εἶχε τὰ κατ' αὐτὸν καὶ εἰς μείρακας ἄρτι παρήγγειλεν, οὐκ ἄξιον ᾤετο τὸν νοῦν ἐναπησχολῆσθαι τοῖς λυομένοις ἴσα καπνῷ καὶ σκιαῖς καὶ ὀνείροις καὶ ῥοθίων παραρρεούσῃ χύσει, ἀλλὰ κόσμον ὅλον χαίρειν εἰπεῖν, ἵνα μὴ λέγω καὶ ψυχῆς παντάπασιν ἀφειδήσαι, μελετῆσαι δὲ τὴν ἀνωτάτω σοφίαν, ἵνα τῷ Θεῷ ἀμέσως οὕτω συγγένηται. Ταύτῃ τοι καὶ τὸν μοναδικὸν ὑπέρχεται βίον καὶ τῇ τῶν τριχῶν ἀποκάρσει συναποκείρεται πᾶν ὅσον αὐτῷ γεῶδες φρόνημα καὶ φθαρτόν· ἤδη γὰρ ὁ πατὴρ αὐτοῦ τὸν βίον ἀπελελοίπει, ἡ δὲ μήτηρ παρθενῶνί τινι ἅμα ταῖς θυγατράσιν ἑαυτὴν καταλέξοι. Πάσῃ οὖν ἀσκήσει δοὺς ἑαυτὸν οὐ διέλιπε τρύχων αὐτοῦ τὸ σαρκίον, τὸ θεῖον ἐξιλεούμενος, λούων τοῖς δάκρυσι νυκτὸς καὶ ἡμέρας ἑαυτὸν καὶ τὸ ἔδαφος, ἐν ᾧ εἰώθει Θεῷ προσφέρειν τὰς παννυχίους ᾠδὰς καὶ βραχύ τι προσανακλίνεσθαι· οὐδὲ γὰρ ἦν τῷ μεγάλῳ τούτῳ καὶ ἰσαγγέλως βιοῦντι στρωμνὴ καὶ κλίνη, ὅπως ἂν καὶ αὗται εἶεν τοῖς κρουνοῖς διάβροχοι τῶν ὀμμάτων· ὃς μηδὲ ψίαθον ἔχων, μηδὲ πλουτῶν δεύτερον χιτωνίσκον, ἀλλ' ἐπὶ ψιλοῦ κείμενος ἦν τοῦ ἐδάφους, ὅτε τοῦτον ἡ φύσις ἠνάγκασε, ὡς ἵνα μικρόν τι ταύτῃ τὸ ἴδιον ἀποτίσαι, καὶ ὕπνου μεταλαβεῖν, εἰ καὶ ὕπνον αὐτὸν καλεῖν χρὴ καὶ μή τινα

1 κῶδ. *ξηρὸς*. — 2 ξυρὸς εἰς ἀκόνην] παροιμ. Διογεν. VI, 91. Cod. Coislin. 356. Γρηγορ. Κυπρ. IV, 5. Ἀποστολ. XII, 24 || δαλὸς πρὸς τὸ πῦρ] παροιμ. Cod. Coislin. 275 καὶ 356. — 8 cod. *διατοῦτο*· οὕτω καὶ ἑξῆς. — 15 κῶδ. *ἀφειδῆσαι*. 19 κῶδ. *ἀπολελοίπει* || κῶδ. *τινὶ*. — 21 κῶδ. *αὐτοῦ*. — 29 κῶδ. *αὐτὸ*.

τοῦ νοὸς ἠρεμίαν. Ἐντεῦθεν κατοικητήριον τοῦ θείου γίνεται πνεύματος καὶ κράτος ἄμαχον κατὰ τῶν ἐχθρῶν περιζώννυται.

5. Ἐπεὶ δὲ ταῦθ' ὁ τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν τοῖς θώκοις ἐνιδρυμένος ἐγνώκει, Θωμᾶς δὲ οὗτος ὁ ἁγιώτατος ἦν, "ἀπτέρῳ ποδὶ" — τὸ τοῦ λόγου — τὸ τοῦ μεγάλου Σάβα καταλαμβάνει σεμνεῖον· ἐκεῖσε γὰρ ἡ πρὸς ἀοράτους ἐχθροὺς συμπλοκὴ καὶ τὰ κατ' αὐτῶν τῷ Μιχαὴλ διήνυστο τρόπαια. Φθάσας οὖν ὁ πατριάρχης ἔνθ' ὁ μέγας διέτριβε, καὶ ἄκοντα χειροτονεῖ τοῦτον πρεσβύτερον καὶ τῇ τῶν ἱερῶν καθιζάνει καθέδρᾳ, συνεῖναί τε αὐτῷ ἀξιοῖ καὶ τὴν τοῦ ποιμνίου συνδιαφέρειν φροντίδα· ἅπερ ἄμφω τῷ Μιχαὴλ ἀπώμοτα ἦν πάντῃ καὶ ἄφιλα, ὡς τὸ μὲν ὑπὲρ αὐτὸν εἶναι διατεινομένῳ, τὸ δὲ ταραχὴν ὅτι πλείστην ἐμποιοῦν τῇ ψυχῇ καὶ τὸ τῆς διανοίας ἐπισκοτοῦν ὀπτικόν. Ὅμως δ' οὖν, εἰ καὶ τὴν χειροτονίαν ἐδέξατο, οὐδὲ γὰρ εἶχεν ὅ τι καὶ δράσοι, σφοδρῶς ἐπικειμένου τοῦ πατριάρχου, ναὶ μὴν καὶ τοῦ πεπιστευμένου καλῶς τὴν τῆς μονῆς προστασίαν, τῷ ἐπισκοπείῳ, ἀλλ' οἱ τῆς ἡσυχίας ἔρωτες διακαεῖς ἐνδιατρίβειν οὐκ εἴασαν, ἅτε δὴ ὄχλου καὶ θορύβου μεστῷ καὶ ἐμποδὼν ἐσομένῳ οἳ τῆς πρὸς Θεὸν ἀναβάσεως· ἀμέλει καὶ σπηλαίῳ ἡσύχῳ καὶ πάνυ σμικρῷ ἑαυτὸν κατακλείει. Οὕτως οἶδε πᾶς τις κατὰ Θεὸν βιοτεύων καὶ ἡσυχίας ἐσχάτως ἀντιποιούμενος ἐν μετρίῳ φρονήματι μὴ δύνασθαι καθοτιοῦν τούτων ἀφίστασθαι, πρὶν ἂν τοῦ βυθοῦ τοῦ πυθμένος αὐτῶν ἐφάψοιτο, κἀκεῖθεν τὸν πολύτιμον μαργαρίτην ἑλκύσας πρὸς τὸ ἄνω τῆς ἀγάπης ἀνανήξοι τοῦ ὕδατος, καὶ οὕτω τοῖς πᾶσιν ἐσεῖται θεωρητός, ὡς τῶν ἀπ' αὐτῶν θησαυρῶν ἰσχύειν καὶ ἄλλοις μεταδιδόναι· εἶεν. Ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἄλλον κόσμον ἄεισον. Ἐν τούτῳ τοίνυν τῷ ἄντρῳ καὶ οἱ τῆς ἐκκλησίας μαζοί, οἱ τὸ γάλα τῶν ὀρθῶν δογμάτων ὑπερεκβλύσαντες, οἱ διαφανεῖς ἀστέρες, οἱ τοῖς θεολογικωτάτοις δόγμασι τὰς χρυσοειδεῖς ἀκτῖνας ἡμῖν ἀποπάλ-

5 ἀπτέρῳ ποδὶ] παροιμία καινοφανὴς ἴσως· ἀντιπαράβαλε τὸ *ἀπτέρῳ τάχει* [Nauck, Fragm². σ. 922, ἀπόσπ. 429] καὶ τὸ *πόδα πτερόεντα* Εὐριπίδου, ἀπόσπ. 781, 61. —11 κῶδ. *ἀπόμοτα*. — 27 κῶδ. *ἀλλά γε*.

λοντες, Θεόδωρος καὶ Θεοφάνης φημὶ οἱ αὐτάδελφοι οὐχ ἧττον ψυχὰς ἢ τὰ σώματα, φοιτῶσιν αὐτῷ· παρ' ᾧ φιλοπονήσαντες τὴν ἐγκύκλιον ἅπασαν, ποίησίν τε καὶ ῥητορικὴν εἰς ἄκρον ἐκμελετήσαντες, φιλοσοφίας αὖθις περὶ τὸ πρακτικὸν ὅσον, καὶ ὅσον περὶ τὸ θεωρητικὸν ἄριστα διδαχθέντες, πολὺ τὸ κλέος παρὰ πᾶσιν ἠνέγκαντο. Ἀλλὰ τὸ διαδρᾶναι φιλονεικῆσαν ἡμᾶς αὖθις ἐπαναλήψομαι, ὅτι μηδὲ τυγχάνει τῶν εὐτελῶν ὄν, καὶ προστεθὲν εὐφρανεῖ τὸ σεμνὸν ἄθροισμα τουτοί, ὥσπερ ἄρα καὶ ζημιώσει καταληφθέν.—

6. Αὕτη οὖν ἡ καλὴ τῶν αὐταδέλφων δυὰς πατρίδα μὲν ἔσχον, ἣν φθάσας ὁ λόγος ἐδήλωσε, τὴν αὐτὴν τῷ κλεινῷ Μιχαήλ· εὐγενεῖς γὰρ καὶ οὗτοι τῶν ἀφ' ἡλίου ἀνατολῶν, εἰ καὶ μὴ Αὐσῖται, ἀλλ' ὃ κρεῖττον πολλῷ Σιωνῖται, τοῦ πεποθημένου ἐδάφους καὶ ἱεροῦ ὄρπηκες οἷον ἀναφύντες καὶ ἄχρις αὐτῆς ἄντυγος οὐρανίου ἐλάσαντες. Ὁ δὲ πατὴρ αὐτοῖς οἷος; ἆρα τῶν πολλῶν εἷς ὤν, ἅτε τῷ κόσμῳ ἀναμιγεὶς καὶ παίδων φροντίσι περιπαρείς; μὴ ταῦτ' ἐμποδὼν αὐτῷ καθεστήκει πρὸς θεῖα ὑψώματα καὶ ἀναπεσεῖν αὐτὸν παρεσκεύασε καὶ βίον ζῆσαι ἀνειμένον καὶ νωχελῆ, τοῖς υἱέσι δὲ μόνοις καὶ τοῖς αὐτῶν σεμνύνεσθαι προτερήμασιν; ἀλλὰ τίς ταῦτα ὑποτοπάσειεν ἄν; τίς τούτοις συνθέσθαι ὅλως ἀνάσχοιτο; τίς οὐκ οἶδε τὸν ἄλλον ἡμῖν Ἰωνᾶν, οὐκ ἀπειλὴν καὶ αὐτὸν προκαταγγέλλοντα τῷ λαῷ, ἱλαστηρίους δὲ μᾶλλον εὐχὰς τῷ Θεῷ ἀναπέμποντα, ἅτε μέσον Θεοῦ καὶ ἀνθρώπων καθεστηκότα, τὸν καὶ πρὸ τοῦ ἱερατικοῦ χρίσματος τῷ Θεῷ μύρον εὐῶδες ἀναδειχθέντα, ὃν ἡ τοῦ Θεοῦ ἐκκλησία ἁσμασιν ἐτησίοις οἶδε καταγεραίρειν, ὃς πᾶσι κανὼν καὶ γνώμων ἐγένετο, πάντας ἀπευθύνων πρὸς θεῖα σκηνώματα, οὐκ ἐπιπλήττων ἄλλως οὐδὲ κραυγάζων; Καίτοι τοῖς ἱερεῦσιν ἀνεῖται ταῦτα κατὰ καιρόν, ὅδε σιωπῶσα παραίνεσις ἦν, ἀρκοῦσαν ἔχων τὴν θέαν πάντας ἐπαλεῖ-

3 κῶδ. *εἰσάκρον.* — 13 κῶδ. *ὁ.* — 21 πρβλ. Ἰωνᾶ γ', 4. δ', 2 κέ. — 24 κῶδ. *μῦρον.* — 25 Θεοδώρου τοῦ Γραπτοῦ ἡ μνήμη πανηγυρίζεται νῦν τῇ κζ' τοῦ δεκεμβρίου μηνός, ὅτε καὶ ψάλλεται κανὼν ἁσματικὸς ὑπὸ Θεοφάνους τοῦ Γραπτοῦ ποιηθείς.

ψαι πρὸς σωτηρίας ὁδούς, ποιμὴν κατὰ τὸν προφήτην καὶ οὗτος ποιμαίνων τὸ ποίμνιον αὐτοῦ, λαλῶν καὶ παρακαλῶν εἰς καρδίαν λαοῦ. Πάντας τοίνυν ὑπερβάλλων τῇ ἀρετῇ, πάντων ἐκράτει καὶ πᾶσιν ἥδετο στόμασιν, εἰ καὶ παρὰ τῶν παίδων οὐ συγκεχώρητο τὸ κράτος λαχεῖν, ὡς ὑπεραναβεβηκότων καὶ τοῦτον κατὰ πολύ.

7. Ἀλλὰ γὰρ τίς γένωμαι καὶ πῇ τράπωμαι, ἑτέρωσ' ἐφορμῶντος τοῦ λόγου; καὶ γὰρ τῆς ἀνὰ χεῖρας ἐμοὶ ὑποθέσεως θαλάσσαις παρισουμένης Ὠκεανίτισιν, ἕτερον ἡμῖν Ἀτλαντικὸν ἀνέῳγε πέλαγος τὰ ὑπὲρ ἄνθρωπον κατορθώματα τοῦ θαυμαστοῦ Ἰωνᾶ. Ὅμως δ' οὖν ὡς οἷόν τε βραχὺ τούτοις ἐνδιατρῖψαι πειράσομαι, ἐπεὶ καὶ χρεὼν ἐκτιννύναι τοῖς πατράσι τιμήν. Κἀκεῖνο δ' εἰδέναι προσήκει, μὴ κόσμου τῶν παίδων χάριν παράγειν εἰς μέσον αὐτά· ἡ γὰρ θάλασσα μετὰ τῶν οἰκείων αὐτῆς καλῶν οὐ προσδεῖται τῶν ἔξωθεν, κἂν ὡς ἀπὸ πηγῶν κἀκεῖνα προσεπιρρέῃ· μηδὲ γὰρ δοξάζεσθαι τὸ δεδοξασμένον τῆς ὑπερβαλλούσης ἕνεκα δόξης, ᾗ φησιν ὁ ἀπόστολος. Ἀλλ' ὁ μὲν πατὴρ τούτοις, ὡς εἴρηται, οὐδὲν ἀρετῆς ἐνέλιπεν εἶδος, ὃ μὴ ἐξεπονήσατο· ᾧ καὶ πενήτων ἔνδεια τοσοῦτον ἐσπούδαστο θεραπεύεσθαι, ὡς μηδέτινα ἰσχύσαι ποτὲ τῶν ἐπὶ χρήμασι πεποιθότων τοσαύτην ἀντεισφέρειν σπουδήν, μηδὲ τὸν διαβεβοημένον ἐκεῖνον Μίδαν σχεδόν, τὸν διακαῶς ἔχοντα τῶν χρημάτων, ὃς καὶ θανεῖν εἵλετο, εἰ πάνθ' ὁμοῦ γένοιτο τὰ πρὸς αὐτοῦ ἐπαφώμενα εἰς χρυσὸν μετασκευασθῆναι. Ἔστεγεν οὗτος τοὺς πένητας καὶ πάντα ἐξεκένου τὰ χρήματα, οἷα φιλόπαις πατήρ, καὶ τούτων ἐξείχετο, ὡς φιλοδέσποτος δοῦλος. Καὶ ὁ μὲν οὕτως εἶχε βίου καὶ ἀρετῆς, τῆς δὲ μητρὸς οἷος ὁ τρόπος; ἀλλ' οὐ πᾶσι δίδωσιν ἐννοεῖν, ὡς εἰ μὴ τοῖς ἴσοις τρόποις ἔζη καὶ ἤθεσιν, οὐκ ἂν ἠξίωτο τοιούτου μὲν σύζυγος, τοιούτων δὲ στελέχων ῥίζα φανῆναι; παντί που δῆλον· οὐ γὰρ τῇ τύχῃ τούτων παραχωρήσο-

1 σωτηρίας ὁδοὺς] πρβλ. Πράξ. ις', 17 || ποιμὴν-ποιμ. τὸ ποίμ. αὐτοῦ] Ἡσαΐα μ', 11. — 2 λαλῶν καὶ παρακαλῶν] πρβλ. ἐπιστ. πρὸς Τίτον β', 15 καὶ πρὸς Θεσσαλ. 2, β', 17 || καρδίαν λαοῦ] πρβλ. Ἡσαΐα ς', 10. — 5 κῶδ. *καταπολύ*. — 8 θαλάσσαις Ὠκεανίτισιν] Διονυσ. Ἀλικαρν. α', 3, 3 || Ἀτλαντ. πέλαγος] Πλάτωνος Τιμ. 24 Ε.—10 κῶδ. *ἐνδιατρίψαι*. — 14 δοξάζεσθαι τὸ δεδοξασμένον] Κορινθ. 2, γ', 10.

μεν, τῷ Θεῷ δέ, τῷ τὰς ὑπερφυεῖς δωρεὰς ὑπὸ ζυγοῖς τῶν αὐτοῦ κριμάτων ἑκάστῳ προσνέμοντι.

8. Ἀλλὰ περὶ μὲν τούτων ἀρκούντως, μέτειμι δὲ πρὸς οὓς τὸν λόγον ἐνεστησάμεθα. Οὗτοι τοίνυν ὡς ἔτυχον διδασκάλου τοσοῦδε καὶ δεξιᾶς εὐμοίρησαν φύσεως, πλαξὶ δὲ οἷον ταῖς καρδίαις ἐνεκόλαψαν τῶν μαθημάτων τὰ κάλλιστα, ἀδικεῖν ἑαυτοὺς ἐς τὰ μάλιστα εἶπον καὶ περὶ τὰ καιριώτατα βλάπτειν, εἰ μὴ καὶ πρὸς τὸ ὕψος τῆς ἀληθοῦς ὄντως σοφίας κατ' ἴχνος ἔποιντο τῷ διδασκάλῳ καὶ ὡς εἰς ἀρχέτυπον εἰς αὐτὸν ὁρῶντες πᾶσαν ἰδέαν ἀρετῆς ἀπομόρξαιντο. Οὕτως εἶπον καὶ τὸν ἄζυγον καὶ μοναδικὸν ὑπέρχονται βίον, καὶ σταυροῦσιν ὅλως αὐτούς, αἰωνίου δόξης ἀντιποιούμενοι. Ὅθεν οὐ τοῖς ὀφθαλμοῖς ἔδωκαν ὕπνον, κατὰ τὸν θεῖον φάναι Δαυίδ, οὐδὲ τοῖς βλεφάροις αὐτῶν νυσταγμόν, ἀλλὰ τῇ εἰς Θεὸν δεήσει προστετήκασι καὶ τῇ προσευχῇ· τὴν δὲ τοῦ θελήματος ἐκκοπὴν τοσοῦτον ἐξήσκησαν, ὡς καὶ τοὺς ἀγνῶτας ἐγκαλεῖν ἔχειν αὐτοῖς, ὡς ἀθελήτοις οὖσι· τὸ μεῖζον τῶν τοῦ Θεοῦ δωρεῶν ἐν τούτοις μὴ καθορώμενον, ἐκεῖνο ποιεῖν ἐθέλουσι μόνον, ὃ ἂν ὁ πατὴρ ἐπιτάξοι. Οὕτως αὐτοῖς εἰς βάθος τὸ ταπεινὸν ἐξείργαστο τῆς καρδίας· ἐκ τούτου γὰρ πλέον τῶν ἄλλων "ἐκ δόξης εἰς δόξαν" προεβιβάζοντο καὶ εἰς δύναμιν ἐκ δυνάμεως· οὓς εἰ κόσμον ἐρεῖ τις προσεπιτεθῆναι τοῖς ἄλλοις τῷ διδασκάλῳ καλοῖς, εἴη ἂν τῆς ἀληθείας ἐχόμενος. Οὕτω πᾶσαν ἁγιωσύνην ἦσαν πλουτήσαντες, οὕτω δὴ καὶ δογμάτων ἀκρίβειαν, ὡς ὁ τοῦ μαρτυρίου καιρὸς ἀναμφηρίστως τοῖς πᾶσιν ἐγνώρισε· καὶ αὐτοῖς δὲ τούτοις οὐ μικρὰ τῶν ἐγκωμίων ἐπίδοσις τὸ αὐχῆσαι καθηγεμόνα ἐς τοσοῦτον ἐλληλακότα σοφίας τῆς θύραθεν, τοσοῦτον δ' αὖ εὐμοιροῦντα τὴν εἰς Θεὸν οἰκειότητα. Ἐντεῦθεν οὐ "κατὰ πῆχυν", ὃ δὴ λέγε-

1 πρβλ. πρὸς Ἐφεσ. ἐπιστ. δ', 7 «ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ». — 11 κῶδ. *ὅλους αὐτούς* || αἰωνίου δόξης] Τιμοθ. 2, β', 10. Πέτρ. 1, ε', 10. — 13 Δαυίδ] Ψαλμ. ρλα', 4. — 19 Κορινθ. 2, γ', 18. — 20 εἰς δύναμιν ἐκ δυνάμεως] πρβλ. βίον ὁσίας Δομνίκης ἐν τοῖς ἁγιολογ. μνημ. Ἰωάννου Θεοφίλου, σ. 271. — 21 κῶδ. *τίς*. — 22 ἁγιωσύνην] πρβλ. Κορινθ. 2, ζ', 1.

ται, τὴν πνευματικὴν προκόπτουσιν ἡλικίαν, ἀλλὰ κατὰ διάμετρον κυκλικὴν τῶν ὑψωμάτων τοῦ οὐρανοῦ, μέχρις ἂν φθάσωσι τῶν ὀρεκτῶν τὸ ἀκρότατον.

9. Ὁ δέ γε ῥηθεὶς πατριάρχης, χρόνου παραρρυέντος συχνοῦ, μόλις ἔσχε πειθήνιον τὸν ὁσιώτατον Μιχαήλ, ὃν δὴ καὶ προβάλλεται σύγκελλον· τοὺς δὲ περιβοήτους μὲν τῷ λόγῳ, περιβοήτους δὲ τῷ ζήλῳ τῆς εὐσεβείας, οὐχ ἥττους δὲ καὶ τοῖς κατὰ Θεὸν ἀγωνίσμασι, χρίει τῷ "ἐλαίῳ τῆς ἀγαλλιάσεως" καὶ πεπλήρωται τούτοις τὸ τῷ μακαρίῳ Ἀμὼς εἰρημένον· "ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν". Ταύτῃ τοι καὶ τὸ ὄμμα τῆς διανοίας πρὸς θεὸν ἤρειδον ἀτενέστερον, τὴν ἐξ ὕψους ἐπεκαλοῦντο βοήθειαν καὶ πῦρ πυρὶ προσελάμβανον, γλῶσσαν θ' ὁμοῦ τοῖς χείλεσι δεινῶς παρεθήγοντο καὶ οἷα τέττιγες μουσικοὶ τῇ τῶν λόγων αὐτῶν λαμπρότητι πάντας ἦγον πρὸς ἑαυτούς· πρὸς δὲ καὶ τὸ χλοάζον προυβάλλοντο τῶν ἀνθέων, τοὺς οἰκείους δηλαδὴ θησαυρούς, τοῦ θείου πνεύματος τοὺς καρπούς, οἷς πλησμίως ἐνίδρωσαν, καὶ τοῖς σίμβλοις ὡς μέλιτται φιλεργοὶ ταῖς τῶν πιστῶν καρδίαις θείαν ἀμβροσίαν ἐταμιεύοντο. Καὶ ἦν οὐδεὶς τῶν ἁπάντων, ὃς τοῖς θεορρήμοσι τούτοις μὴ προσετετήκει τῷ εὐρύθμῳ τῶν λόγων καὶ τῇ σειρῆνι καὶ ἐθέλγετο τὴν ψυχήν, ναὶ μὴν καὶ ἄμιλλα ἦν ἀλλήλοις οὐκ ἀτερπής. Καὶ μᾶλλον εἰς ἔργον προάξει τὰ εἰσηγούμενα· οὐδὲ γὰρ μόνον οἶδε τὸ ἔαρ λογικοῖς καὶ ἀλόγοις ἐπιτερπέστερον φαίνεσθαι καὶ πρὸς ἐργασίαν αὐτὰ διανιστᾶν καὶ γονιμότητα διδόναι φυτοῖς, ἀλλὰ καὶ κάλλιστος λόγος ψυχάς, πηγνυμένας τῷ κρύει τῆς ἁμαρτίας καὶ πετρωθείσας οἷον τῷ παγετῷ τῶν παθῶν, πρὸς θεῖον ἔρωτα διαθερμαίνειν, ὡς τὸν ἑκατοστεύοντα στάχυν καρποφορεῖν.

10. Ἀλλὰ τῷ θεμένῳ τὸ στόμα εἰς οὐρανὸν καὶ ἀδικίαν λαλήσαντι κατὰ τοῦ Θεοῦ τοῦ ὑψίστου οὐκ ἦν ἀνεκτὸν τὴν ἐκκλη-

8 Ψαλμ. μδ', 7. — 9 Ἀμὼς β', 11. — 11 ὄμμα τῆς διανοίας] πρβλ. πρὸς Ἐφεσ. ἐπιστ. α', 18. — 12 πῦρ πυρὶ] ὅρα Corpus paroem. II, σ. 206. — 27 ἑκατοστεύοντα] κατὰ τὸ *ἑκατοστεύουσαν κριθήν*. Γενέσ. κς', 12. — 28 Ψαλμ. οβ', 8, 9: «ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν· ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν».

σίαν ὁρᾶν ὡσεὶ κέδρον ἐν τῷ Λιβάνῳ πεφυτευμένην καὶ εὐκληματοῦσαν ὡς ἄμπελον, ὡς καὶ τὴν γῆν εὐκόσμως αὐτὴν ἀμφιέννυσθαι, ὄρη δὲ καὶ νάπας ὑπὸ τὴν σκιὰν ταύτης καλύπτεσθαι, ἐκτείνουσάν τε τὰς παραφυάδας ἕως θαλάσσης καὶ ποταμῶν, κατὰ τὸ θεῖον μελῴδημα, καὶ τοὺς στερροὺς ὁπλίτας τῆς ἀληθείας πῇ μὲν ὡς τοῦ θείου ἀμπελῶνος δοκίμους ἐργάτας τοῖς ποτίμοις τῶν λόγων τὴν ἄρουραν τῆς ψυχῆς καταρδεύοντας καὶ ἡσυχῇ πυκνῶς ὑετίζοντας, πῇ δὲ ὡς ζωπύρους ἄνθρακας πάνθ' ὅσα ζιζανιώδη τῇ καλῇ βλάστῃ παραπεφυκότα τοῦ εὐαγγελικοῦ σίτου ἀποτεφροῦντας· οἳ καὶ ὡς ἄλες τῆς γῆς συνεῖχον ὅσα τῇ βασιλικῇ τραπέζῃ ηὐτρέπιστο καὶ τὸ ἄσηπτον τούτοις ἐφύλαττον. Καὶ νῦν μὲν ὡς τὴν γῆν οὐρανώσαντες τῷ παρισοῦσθαι τῇ τῶν ἀγγέλων διαγωγῇ καὶ ἁμιλλᾶσθαι τοὺς ταύτης οἰκήτορας αἰθρίαν τοῖς πᾶσι κατήγγελλον, νῦν δὲ ὡς τῆς γῆς τῶν πραέων ἐπιστήμονες γεωργοὶ τοὺς τῆς ζεύγλης τῆς ὑπακοῆς παροιστρήσαντας τοῦ Χριστοῦ ἐπέστρεφον κραταιῶς καὶ τὸν ζυγὸν ἡπίως αὐτοῖς ἐπηυχένιζον· καὶ νῦν μὲν ὡς ζωτικαὶ νεφέλαι τοῦ θείου λόγου ὄμβρους ὕουν θεολογίας ταῖς τῶν πιστῶν διανοίαις, νῦν δ' ὡς κυπρίζοντες βότρυες τῆς νοητῆς ἀμπέλου οἶνον εὐφροσύνης πνευματικῆς ἡμῖν ἀπεστάλαττον, νῦν δ' ὡς τῆς τοῦ Χριστοῦ ποίμνης τὴν πνευματικὴν ηὔλουν σύριγγα καὶ ἐξεκαλοῦντο τὰ νοητὰ θρέμματα πρὸς νομάς, αἳ ταῖς ἀκτῖσι τοῦ τῆς δικαιοσύνης ἡλίου φαιδρὸν περιλάμπονται. Ἄρτι μὲν ὡς τοῦ μεγάλου βασιλέως ὑπασπισταὶ τὰς ἐναντίας δεινῶς κατέκοπτον φάλαγγας καὶ εἰς γῆν προσήρασσον ἀφειδῶς "πᾶν ὕψωμα κατὰ τῆς γνώσεως ἐπαιρόμενον τοῦ Θεοῦ", νῦν δὲ ὡς ἱερατεύοντες τῷ Θεῷ καὶ τὴν μυστικὴν θυσίαν προσφέροντες, τὰς εὐσήμους τῶν λόγων σάλπιγγας καλῶς ἀνακρούοντες τῇ τῶν θείων

1 κέδρον ἐν τῷ Λιβάνῳ] Ψαλμ. ργ', 16. — 2 εὐκληματοῦσαν ὡς ἄμπελον] Ὡσηὲ ι', 1. Εἶτα ψαλμ. οθ', 9-12. — 6/9 Ματθ. ιγ', 24 - 30. — 10 ἅλες τῆς γῆς] Ματθ. ε', 13— 14 γῆ τῶν πραέων] Ἰὼβ κδ', 7. — 18 κυπρίζοντες βότρυες] Ἆσμα ᾀσμ. α', 14. β' 13. — 19 οἶνον εὐφροσύνης] Ἰουδὶθ ιβ', 13. Σειρὰχ θ', 10. λδ', 28. — 22 δικαιοσύνης ἡλίου] Μαλαχ. δ', 2. — 23 μεγάλου βασιλέως] Ψαλμ. μς', 3. μζ', 2. — 25 Κορινθ. 2, ι', 5.

*

ἀναπτύξει λογίων τὰ δικαιώματα τοῦ Θεοῦ τῷ λαῷ καθυπήχουν διάτορον.

11. Ταῦτα τοίνυν ἐπεὶ οὐκ ἠνείχετο βλέπων ὁ τὸν ἄνθρωπον ἀρχῆθεν βασκήνας καὶ ψιθυρίσας, καὶ τοῦ Παραδείσου καὶ τοῦ Θεοῦ πόρρω ποιήσας, τῷ ἐξ Ἀρμενίων ἐπιπηδᾷ Λέοντι, ᾧ δὴ ἀποχρώντως ὅσα καὶ ὀργάνῳ χρησάμενος, κατὰ τῆς θεανδρικῆς εἰκόνος Χριστοῦ καὶ τῶν ἁγίων λυττῆσαι παρασκευάζει· ὃ δὲ ταῖς ὑποθήκαις αὐτῷ τοῦ πονηροῦ λεγεῶνος ἐνοικισθέντος ἀσμένως ὑπάγεται. Διὸ μετὰ βαρείας χειρὸς καὶ δυνάμεως καθαιρεῖν ἤρξατο τὰ θεῖα μορφώματα, καὶ τὸν ἐν ἁγίοις ὁσιώτατον Νικηφόρον, ἐπίσκοπον ὄντα τῆς Βύζαντος, ἐπειδὴ μηδ' ἄκροις ὠσὶ τῆς μιαρᾶς ἐκείνου γλώττης ἠνείχετο, τῆς πόλεως ἐξωθεῖ καὶ τοῦ θρόνου· μετὰ δὲ τοῦτο ὅσον ἐν ἱερεῦσι καὶ ἄρχουσι, μονάζουσί τε καὶ λαϊκοῖς, μὴ πειθόμενον τῷ θεοστυγεῖ ἐκείνου θεσπίσματι, πρὸς δὲ καὶ γυναικῶν ἔκκριτον ὅσον τῆς ἰδίας ἐκλαθόμενον φύσεως καὶ βλέψαν οἷον ἀρρενωπὸν ἢ γενναῖον, μυρίαις καθυποβάλλει κολάσεσιν· ὧν τοὺς πλείους καὶ αὐτῷ θανάτῳ παρέδωκε ταῖς τῶν ἀλλεπαλλήλων νιφάσιν ἐπιφορῶν. Ἐντεῦθεν ὅσοι τὸ θεῖον πῦρ, ὃ ἐλθὼν ὁ Χριστὸς ἐπὶ τῆς γῆς ἔβαλε ταῖς καρδίαις, μὴ ὑπαναπτόμενον εἶχον, μηδ' ἴσχυον ἀντιβλέψαι πρὸς τὰς ἐπενεχθείσας βασάνους τοῖς μάρτυσιν, ἀλλὰ τῇ ἀναρροιβδήσει τοῦ σφοδροῦ τούτων ῥεύματος κατεκλύζοντο τὰς ψυχάς, ἔπιπτον ὥσπερ φύλλα. Ἀλλὰ καὶ συνόδους ἦν συγκροτῶν μετὰ δώρων ὅτι πολλῶν καὶ δυνάμει πάσῃ τὸ θεοστυγὲς αὐτοῦ δόγμα ἐπιστηρίζων, εἰ τὰ τοῦ πονηροῦ συνέδρια βδελυρὰ χρὴ λέγειν συνόδους καὶ μὴ φοιβάσματ' ἀπὸ κοιλίας φωνοῦντα καὶ γῆς, κατὰ τὴν τοῦ Ἡσαΐου σάλπιγγα τὴν μεγάλην καὶ ἰσχυράν, τὴν ἕως περάτων ἐξικνουμένην, ὡς ἐπ' αὐτοὺς καὶ προφήτην ἕτερον λέγειν "εἰσήλθετε εἰς Βαιθὴλ καὶ ἠνομήσατε εἰς Γάλγαλα καὶ ἐπληθύνετε τοῦ ἀσεβῆσαι". Ὡς ἂν δὲ εἰ μὴ τῆς τόλμης αὐτῶν ἀξίως καθήψατο, ἐπιφέρει καὶ ταῦτα· "ἠνέγκατε εἰς τὸ πρωὶ θυσίας ὑμῶν, εἰς τὴν τριήμε-

21 ἀναρροιβδήσει] λέξις τοῦ Στράβωνος, σ. 75. — 26 Ἡσ. μη', 19. — 28 Ἀμὼς δ', 4 || κῶδ. *βεθηλ*. — 29 κῶδ. *γάλβαλα*. — 31 Ἀμὼς δ', 4-5.

ρίαν τὰ ἐπιδέκατα ὑμῶν καὶ ἀνέγνωτ' ἔξω νόμον καὶ ἐπεκαλέσατε ὁμολογίαν". Καὶ Μιχαίας δὲ ταὐτὰ τούτοις ἐπεγκαλέσει, ἃ πάλαι τῷ Ἰσραήλ, τοὺς ἡγουμένους λέγων οἴκου Ἰακὼβ ὡς βδελυσσομένους κρίματα καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντας, καὶ αὖθις τούτους ἐπιμεμφόμενος ἅμα τοῖς ἱερεῦσι, τοὺς μὲν κρίνοντας μετὰ δώρων, μετὰ μισθοῦ δὲ τοὺς ἱερεῖς ἀποκρινομένους, σὺν αὐτοῖς καὶ τοὺς προφήτας αὐτῶν μαντευομένους μετ' ἀργυρίου.

12. Τῆς βασιλίδος τοίνυν τῶν πόλεων ὅσον συνέβαινε κυβιστᾶν καὶ ταύτῃ κλίμα τῆς οἰκουμένης ὁπόσον συνεκυμαίνετο, δῆλον αὐτόθεν. Ἀλλ' οὐδ' οὕτως ἔλαβε κόρον ὁ κοινὸς τῶν ἀνθρώπων πολέμιος· μεγίστην δὲ ζημίαν ἑαυτῷ ἐκεκρίκει, εἰ μὴ κυκάσει καὶ λυμανεῖται τὴν σύμπασαν, ἵνα καὶ τῶν πιστῶν ἁπάντων κατακαυχήσηται. Ἀμέλει καί τι μέρος τῆς πρεσβυτέρας Ῥώμης ὑπέρχεται—τὸ δὲ ἦν ἱερεῖς καὶ μονάζοντες, ὅσοι τῆς ἐναντίας μοίρας ἑαυτοὺς εἶναι ἠξίωσαν—, τοῦ τρόπου μεθαρμοσθεὶς πρότερον, εἰ καὶ μὴ καθάπαξ, τῆς εἰς τὰς σεπτὰς εἰκόνας ἐμπαροινίας ὡς ἄντικρυς ἀποδεδειγμένου τοῖς πᾶσιν ὀλέθρου προξενεῖν. Ἐντεῦθεν, ὡς ἔφην, ἐν τῇ τῶν ἐκκλησιῶν μεγίστῃ μεθαρμόζεται καὶ πρὸς ἑτέραν μεταβαίνει χορδήν, πεπεικὼς τοὺς ἄνωθεν εἰρημένους τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος κἀκ τοῦ υἱοῦ ἀνομολογεῖν· οἳ καὶ ἀνομολογοῦσι καὶ τοῖς μὴ ταὐτὰ φρονοῦσι καὶ λέγουσιν ὡς ἀλλοτρίοις χρῶνται καὶ πολεμίοις. Οἷα δὴ τολμῶσι καὶ νῦν οἱ τῶν θείων δογμάτων ἀθετηταί· σπεύδουσι καὶ γὰρ ἀναιδῶς μὴ τὰς σφετέρας μόνον ἀπολέσαι ψυχάς, ἀλλὰ καὶ πᾶσιν ἄλλοις τοῦ ψυχικοῦ μεταδοῦναι θανάτου, ὡς ἂν μὴ τῶν πάλαι, περὶ ὧν ὁ λόγος, ἧττον κακοὶ δόξωσιν ἐκ τοῦ μὴ πλείους βιάζεσθαι παρασυρῆναι εἰς ὄλεθρον. Ἀλλὰ ταῦτα μὲν εἴρηται ὡς ἐκείνοις ἐπιεικῶς παρισούμενα, ἡμῖν δὲ καὶ πρὸς τὰ ἑξῆς τὸν λόγον ἰτέον.

13. Καὶ ὁ μὲν τῆς κακίας ἁπάσης σπορεὺς ποικίλον τὸν ὅλι-

2 Μιχ. γ', 9, 11. — 13 κῶδ. *καὶ τὶ.* — 22 οἷα δὴ τολμῶσι κέ] λέγει περὶ τοῦ Μιχαὴλ Παλαιολόγου καὶ τοῦ πατριάρχου Ἰωάννου τοῦ Βέκκου διὰ τὴν παρ' αὐτῶν ἔτει 1277-ῳ γενομένην τῶν ἐκκλησιῶν ἕνωσιν· ἔληξε δὲ αὕτη συνοδικῶς ἔτει 1283-ῳ κατακριθεῖσα.

σθον ἐτεχνάσατο, καὶ τῇ μὲν Κωνσταντίνου τὴν τῶν σεπτῶν εἰκόνων ἀθέτησιν, τῇ Ῥώμῃ δὲ τὴν τοῦ θείου συμβόλου παρατροπὴν ὑποτίθεται, καὶ ταῦθ' οὕτω κακῶς τῷ καλῷ παρεισφθείρουσι τῆς ἐκκλησίας πληρώματι. Ὅθεν μὴ τὴν ἐν τῇ Καινῇ Διαθήκῃ δεσποτικὴν θεολογίαν λαβόντες εἰς νοῦν, μηδὲ τὴν ἐκφωνηθεῖσαν πίστιν παρὰ τῶν σεπτῶν οἰκουμενικῶν συνόδων, ναὶ μὴν καὶ τῶν θείων πατέρων, οἳ δίκην ἀστέρων ἰδίως διέλαμψαν, παρ' οἷς ἐκυρώθη τὸ μέγα κατὰ τῶν ὁπωσοῦν τῷ ἱερῷ συμβόλῳ τι προσθησομένων ἢ καὶ ἀφαιρησόντων κατάκριμα, — ὢ δίκης καὶ ἀνοχῆς κριμάτων Θεοῦ — τῆς ἡμῶν κατωρχήσαντο πίστεως. Τοὺς μὲν δὴ παῖδας Κορέ, Δαθάν τε καὶ Ἀβειρών, γράφουσι Βίβλοι τῶν ἱερῶν ἀνθεστηκότας νομοθετοῦντι τῷ Μωϋσῇ· τοὺς δέ γε δευτέρους πυρεῖα προσαγηοχέναι Θεῷ κατωφρυωμένους τοῦ Ἀαρών. Ἵν' ἄρα τοῦ τολμήματος θάνατον ἀνταλλάξωνται, τούτων τοὺς μὲν ζῶντας εἰς Ἅδου κατήνεγκε χανοῦσα ἡ γῆ, οἳ δὲ διὰ τῶν παρ' αὐτοῖς ἐκείνοις προσαγομένων ἀνθρώπων ὁλοκαυτώματα μωμητὰ ἐγεγόνεισαν, καθὰ δὴ καὶ οὗτοι. Εἰ καὶ τῷ σβεννυμένῳ πυρὶ μὴ ἐφλέχθησαν, τὸ ἄσβεστον πάντως οὐ διαφεύξονται, ὡς τοῖς ῥηθεῖσι πατράσιν ἀναιδῶς ἀντιβαίνοντες, πρὸς δὲ καὶ αὐτὸν Χριστὸν παρατρέχοντες· ἀλλὰ τῆς ἀρχῆθεν ὁρμῆς ὁ λόγος ἐχέσθω.

14. Ὁ οὖν τὸν ἀποστολικὸν θρόνον τῆς Ῥώμης κοσμῶν, τῆς προσθήκης οὐκ ἀνασχόμενος, ἐπεὶ τούτοις παρηγγυᾶτο καὶ χεῖρα παρεῖχε τοῦ τῆς ἀσεβείας ἀνελκύσαι κρημνοῦ, οἳ δὲ πρὸς τὸ μὴ θελῆσαι μηδὲ βραχὺ ἀπόνασθαι τῆς αὐτοῦ διδαχῆς καὶ ἐχεμύθουν τουτὶ τὸ σκαιώρημα καὶ ἐστοίχουν οἷς εἰπεῖν ἔφθασαν, ὡς καὶ τοῖς ὀρθῶς ἔχουσι κοινοῦσθαι τὸ δόξαν αὐτοῖς μελετᾶν, ἔγνω δῆλα ταῦτα θέσθαι καὶ τοῖς ἀπανταχῇ ἐπισκόποις διαγωνιουμένοις αὐτῷ τοῦ ἱεροῦ συμβόλου τὸ καινοφανὲς ἀποξέσαι τοῦ δόγματος· διὰ τοῦτο πρέσβεις ἀπεστάλκει τῷ τῆς ἐκκλησίας Σιὼν ἐγκεχειρισμένῳ τοὺς οἴακας, δι' ὧν τὴν ἰδίαν ἀπεκλαίετο ποίμνην καὶ τὸ ἤδη περικλύσαν ἐξετραγῴδει τὴν ἐκκλησίαν ναυάγιον. Ὡς οὖν εἰς γνῶσιν ἦκε ταῦτα τῷ προεδρεύοντι, μηδοπωσοῦν μέλησιν δοὺς τῷ

8 κῶδ. *ὁποσοῦν*. — 11 Κορέ κέ] Ἀριθ. ις', 27 - 40.

μεγάλῳ τῆς ἐκκλησίας κλύδωνι, τοὺς ἄνδρας τούτους ἀπολεξάμενος, οἳ τῶν ἄλλων προεῖχον λόγῳ καὶ ἀρετῇ, ὅσον τῆς γῆς οὐρανός, ἱκέτευεν, ἠντιβόλει, "πάντα"—τὸ τοῦ λόγου—"κάλων ἐκίνει" πεῖσαι πρὸς Ῥώμην ἐκπλεῦσαι· ᾤετο γάρ, καὶ ἀληθῶς ᾤετο, ὡς εἰ γένοιτ' αὐτοῖς ἐκεῖσ' ἐπιχωριάσαι, αἱρετικῶν ἅπαν φρόνημα ἴσα καὶ λεπτῇ κόνει τῷ πτύῳ τῶν λόγων αὐτῶν λικμηθήσεται. Διὰ τοῦτο πολὺς ἦν ὁ πατριάρχης τῶν μεγάλων δεόμενος· οἳ δέ, ὡς ὁ παρὰ τῷ ποιητῇ Τεῦκρος, σπεύδοντες παρωτρύνοντο. Πῶς γὰρ οὐκ ἂν καὶ μακρὰς ὁδοὺς στείλασθαι προῃροῦντο καὶ μακροῖς πελάγεσι διαπεραιοῦσθαι, οἷς ἦν ἔφεσις ὅτι πολλὴ καὶ ψυχὰς προέσθαι τὰς σφῶν ὑπὲρ ἐκκλησίας τῆς τοῦ Θεοῦ; ἔνθεν τοι, καιροῦ καλέσαντος, πόνοις μυρίοις ἐνεκαρτέρησαν, καὶ αὐτοῦ θανάτου καταφρονήσαντες. Τί πρὸς τὸ τούτων ὁ τοῦ Κρέοντος Μενοικεὺς καὶ ὁ Ἰφίκλου Πρωτισίλεως ἐποιησάτην, ὧν ὁ μὲν ἰδίῳ θανάτῳ τὰς Θήβας ἀπορθήτους ἐποίησε, τῷ δ' ἐξεγένετο δι' αὐτοῦ πορθηθῆναι τὴν Ἴλιον; οἳ δὲ ἀλλ' οὐχ ὑπὲρ πόλεως τοιαύτης πρὸς βραχὺ μενούσης καὶ ἱσταμένης, τάχιον δὲ λυομένης ὡς σκηνικῆς πανηγύρεως, ἀλλ' ὑπὲρ ἐκκλησίας, ὡς ἔφην, τῆς τοῦ Θεοῦ, δι' ἧς ἄνθρωποι ἀθανασίας τετυχηκότες εἰσὶ καὶ τοῖς ἀγγέλοις συναμιλλώμενοι. Καὶ γοῦν ὁ πρὸς ἀκρίβειαν ταῦτ' εἰδέναι βουλόμενος, πρὸς αὐτὸν βλεπέτω τὸν βίον τοῦ θαυμαστοῦ Μιχαήλ.

15 Ἐπεὶ δ' ὥσπερ ἀχλὺς βαθεῖα ἡ τῶν θεομάχων εἰκονομάχων τὴν Κωνσταντινούπολιν περιεκέχυτο, δέον ᾠήθη καὶ τῷ Ἀρμενίων Λέοντι ἐπιστεῖλαι, ἐπιστεῖλαι δὲ καὶ Θεοδότῳ κατ' ἐκεῖνο πατριαρχοῦντι καιρῷ· ὡς δὲ τὴν Βύζαντος τάχιστα ἐπεφθάκεισαν, πρῶτα μὲν ἐντυχάνουσι τῷ τὴν ἐκκλησίαν πικρῶς οἰακίζοντι, αὐτάνδρῳ τε ναυαγίῳ παραδιδόντι, καὶ διδόασι λιβέλλους τοὺς πρὸς αὐτόν, καὶ αὐτοὶ δὲ ὡς ἀληθῶς ἐξ οὐρανοῦ καθιέμενα βέλη τῇ ἑαυτοῦ καρδίᾳ ἐμπήγνυνται (οἷον περὶ τῶν Ἀθηναϊκῶν τριήρεων ἔφησέ τις, κατὰ Περσῶν καὶ Μήδων ἐκπλεουσῶν), «ἵνα τί» λέγοντες, «εἰ τοῦ θεοῦ ἱερεὺς εἶναι καὶ ὀνομάζεσθαι βούλοιο,

3 πάντα κάλων ἐκίνει] Corpus paroem. graec. II, σ. 104, 287. — 8 Τεῦκρος] Ἰλιάδ. ο 442 κέ. — 13 κῶδ. *μενικεὺς*. — 14 κῶδ. *προτεσίλεως*.

ποίμνης τε ποιμὴν τῆς αὐτοῦ, ὑπὲρ ἧς ὁ μονογενὴς αὐτοῦ παῖς προήκατο τὴν ψυχήν, τὰ τῶν λύκων τεχνάζῃ, μὴ ὀκλάζων ἐκ τοῦ ὀρθοῦ, καὶ τῷ συριγμῷ τῶν σαθρῶν σου λόγων δίκην ἑρπετῶν ἰοβόλων φαρμάττῃς τὸ ποίμνιον; Ἀλλ' ἡμῖν, εἴ τι γε ποίθοιο, τὰ λυσιτελῆ συμβουλεύουσι, τῶν τοιούτων ἀπόστηθι· εἰ δ' οὖν, ἀλλ' ὁ πνεύματι φθεγγόμενος Ὡσηὲ φθέγξεται καὶ πρὸς σέ, "σὺ" λέγων "ἐπίγνωσιν ἀπώσω, ἀπώσόμαί σε κἀγὼ τοῦ μὴ ἱερατεύειν μοι· τὴν δόξαν σου θήσομαι εἰς ἀτιμίαν καὶ ἔσται καθὼς ὁ λαός, οὕτως καὶ ὁ ἱερεύς". Καὶ χελιδὼν πρὸς τούτοις ἡ μουσική τε καὶ εὔφθογγος τὸν δεσποτικὸν ἀμπελῶνα διεφθαρμένον ἰδοῦσα, (Ἡσαΐαν τὸν μέγαν ὁ λόγος παρίστησι), καὶ τὴν μερίδα τὴν ἐπιθυμητὴν εἰς ὀνειδισμὸν ἀπωλείας πλεῖστα καταβοήσει σου· καὶ ἕτερος καθίκοιτό σου προφήτης καὶ ἐρεῖ οὕτωσί· "Ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολερὰν καὶ μεθύσκων, ποτήριον ὁρῶ δεξιᾶς Κυρίου κυκλοῦν ἐπὶ σὲ καὶ ἀτιμίαν συναθροιζομένην ἐπὶ τὴν δόξαν σου, οὐ μὴν ἀλλὰ καὶ τὴν ἀσέβειαν τοῦ Λιβάνου καλύπτουσαν, τὴν δὲ ταλαιπωρίαν περικτυποῦσάν σε τῶν ἐθνῶν". Συνῳδὰ τούτοις καὶ Ἱερεμίας ὁ μέγας· "Οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔλεγον· οὐκ ἐλάλησα αὐτοῖς, καὶ αὐτοὶ προεφήτευον". Διὸ ἐπάγει τὴν ἀπειλὴν λέγων· "καὶ ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς ἐκβάλλοντας προφητείας γλώσσης καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν τὸν λαόν μου πλανῶντας". Ἀλλ' ὡς παρὰ τὴν ῥηθεῖσαν μείζονος ἀπειλῆς τῇ ψυχῇ σου προσδεῖν, ὥστ' αὐτῆς ἰσχυρῶς καθικέσθαι, ἐπιφέρει καὶ ταῦτα· "Ἰδοὺ ἐγὼ κύριος ὁ Θεὸς λαμβάνω καὶ ῥάσσω ὑμᾶς καὶ τὴν πόλιν, ἣν ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν, καὶ δώσω ἐφ' ὑμᾶς ὀνειδισμὸν αἰώνιον καὶ ἀτιμίαν, ἥτις οὐκ ἐπιλησθήσεται". Δεῖ δὴ μὴ θελῆσαί σε προφητῶν ὄγκον ἔξειν κατήγορον, μηδὲ τῶν ἐπαπειλουμένων σοι κακῶν πειραθῆναι, μηδὲ τῆς ὑψηλῆς χειρὸς τοῦ Θεοῦ».

7 Ὡσηὲ δ', 6 - 9. — 11 Ἡσαΐαν] γράφε *Ἱερεμίαν*, ιβ', 10. — 13 προφήτης] Ἀμβακ. β', 16 - 17. — 14 γράφε *ἀνατροπῇ θολερᾷ*. — 18 Ἱερεμ. κγ', 21. — 19 ἔλεγον] γρ. *ἔτρεχον*. — 20 Ἱερεμ. κγ', 31, 32. — 24 Ἱερεμ. κγ, 39, 40.

16. Ἀλλ' οὐκ ἦν οὐδ' ὅλως ὁ συνιῶν, οὐδ' ὁ τὸν Θεὸν ἐκζητῶν—καὶ τὸ αἴτιον ἐφεξῆς—, τῷ πάντας ἐκκλῖναι καὶ ἅμα ἀχρειωθῆναι· κἀκείνου γὰρ ἐνθεμένου τὸ τοῦ λόγου τὰ ὦτα κηρῷ παρὰ κωφῷ ἐώκεισαν ψάλλειν, καὶ ἀτεχνῶς ὄνος ἦν λύρᾳ κατεπᾳδόμενος. Ἤκουσιν οὗτοι καὶ πρὸς τὸν ἄνακτα κἀκείνῳ τὴν καινοτομίαν δεινῶς ἐγκαλοῦσι τοῦ δόγματος, τὸ φρικῶδές τε οἱ τοῦ τολμήματος ἐπισείουσι φοβερόν· ἀλλὰ καὶ λόγων ἅπτονται παραινετικῶν, οὕτω μὲν ἡδίων, οὕτω δὲ πιθανῶν, τοσούτων δὲ θελκτικῶν καὶ χάριτος θείας πεπληρωμένων, ὡς πρὸς τούτους καὶ τοὺς μυθευομένους φθόγγους Ὀρφαϊκοὺς καὶ τὰ Σειρήνων μέλη χαρίεντα μηδὲν εἶναι πρὸς ἡδονῆς λόγον. Ὁ βασιλεὺς τοίνυν τῷ καιρίῳ τῶν λόγων καταπλαγεὶς καὶ ὡς ἐκ νεφῶν οἷον βροντῆς ἐκραγείσης ἀμφοτέρας περικτυπηθεὶς ἀκοάς, οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν ψυχὴν ἔπειτα λίαν ἡσθεὶς ὡς "ἀπὸ γλώσσης" εἰπεῖν, ἢ "γλυκίῳ μέλιτος ῥέεν αὐδήν", οὐκ εἶχεν ὅτι καὶ γένοιτο, καὶ δεινῶν ἁπάντων τὸ μέγιστον ἐπιεικῶς ἐλογίζετο, εἰ τοιούτων ἀνδρῶν στερηθείη πάσης σοφίας ἀνάπλεων, οὐκ ἐκ τῆς ὄψεως μόνης παραγυμνούντων τὸ χάριεν αὐτῶν τῆς ψυχῆς, ἀλλὰ πολλῷ πλέον τῆς διαλέξεως· οὐδὲ γὰρ τοσοῦτον τὰ λαμπρὰ τῶν σωμάτων καὶ τὰ μὴ οὕτως ἔχοντα πάντῃ παρεμφαίνει τῆς ψυχῆς τὴν κατάστασιν, ὡς λελευκασμένην ταύτην ὁ λόγος παρίστησι, τοῦ διαφανοῦς διαυγάζων ἠρέμα πως μέρους αὐτῆς τὰ κινήματα, ὥσθ' οἷον ἔχειν τὸν τρόπον, τοιοῦτον δὴ καὶ τὸν λόγον· ὁμοῦ τε φιλόσοφος λόγος καὶ παροιμία βεβαιοῦσί μοι τὸ λεγόμενον· ὃς ἀμέσως ἀποφαινόμενος σύμβολα τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ, ἡ δὲ τοῖς τρόποις τοὺς λόγους συνείρουσα παροιμία φησί. Διὰ ταῦτα παντοῖος ἐδείκνυτο· δευτέρου λόγου τὸ ἐπὶ τῆς κεφαλῆς ἠγεῖτο διάδημα· περὶ ἐλαχίστου τὴν πορφύραν ἐτίθετο καὶ πάνθ' ἁπλῶς ἐνόμιζε δεύτερα, τοῦ ἐφελκύσαι τούτους πρὸς ἑαυτόν. Καὶ νῦν μὲν καταψᾶν ἐπεχείρει καὶ μειλιχίοις ῥήμασιν ὑποσαίνει, νῦν δ' ὑπισχνεῖτο τῶν ἀξιωμάτων τὰ μείζω, νῦν πληθυσμὸν βίου καὶ θάλασσαν αὐτοὺς

1 συνιῶν - - τὸν Θεὸν ἐκζητῶν κέ] Ψαλμ. νβ', 3, 4. — 3 πρβλ. Corpus paroem. II, σ. 478 — 4 αὐτόθι σ. 125, 563. — 14 Ἰλιάδ. α 249.

ἔφασκε πλουτῆσαι τῶν ἀγαθῶν· νῦν μέσῃ περιφέρειν αὐτοὺς τῇ καρδίᾳ, πρὸς δὲ καὶ τὴν τῶν Ῥωμαίων πᾶσαν ἀρχὴν διιθύνεσθαι ὑπ' αὐτῶν, εἰ ὁμόφρονας λάβοι καὶ μηδαμῶς ἀντιβαίνοντας.

17. Καὶ διετέλει οὕτως ἐπὶ πολύ, παντὶ τρόπῳ τὸν τῆς ψυχῆς τῶν μεγάλων πύργον κατασεῖσαι φιλονεικῶν. Νήπιος ἀληθῶς, ὅτι χρυσῶν ἀνταλλάττεσθαι χάλκεα τοὺς σοφοὺς ἐπειρᾶτο· ᾤετο γὰρ τὴν εἰς αὐτὸν εὔνοιαν τοῦ Θεοῦ μᾶλλον ἀσπάσασθαι· ἀλλ' ἡττήθη διανοίᾳ πεπυκνωμένῃ περιπεσών· ὡς γὰρ μόνον τοὺς λόγους προήνεγκεν, ἐμβριθέστερον ἐπιβαλόντες τὰς ὄψεις αὐτῷ, "ὦ ἀναιδείην" κατὰ τὸν Μέλητος εἶπον "ἐπιειμένε, κερδαλεόφρον, πῶς δὴ τοῖς θεοσεβεῖν αἱρουμένοις σοὶ γένοιτο πειθαρχεῖν; οὔκουν ἡμεῖς τὰ τῶν πολυπόδων πεισόμεθα, οὐδέ γε μὴν τοὺς χαμαιλέοντας ἀνασχοίμεθα, μὴ τὰς κεφαλὰς ταῖς πτέρναις ἐπισυρόμενοι ἐκμιμήσασθαι, συμμεταβάλλοντες ἡμῶν τοῖς καιροῖς τὴν εὐσέβειαν, ὡς ἐκεῖνοι τὰ χρώματα· τάχα γὰρ ὁ Πρωτεὺς καλῶς ἂν ὑπηρέτει σοι, ταῖς μεταβολαῖς τῆς ψυχῆς σου μεθαρμοζόμενος· τάχα καὶ Θηραμένης καὶ Μελάμπους, εἴπερ ὑπῆρχεν ἐκείνοις συμβιοτεῦσαί σοι· εἰ δὲ καὶ τὸν Γύγην εἴποι τις, οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος· ὅς, τῆς ἰδίας περιστρεφομένης σφενδόνης, συνεστρέφετο· καὶ ὡς ἂν ἐκείνην εἶχεν ὁ χρόνος, κἀκεῖνον ὁμοίως εἶχε· συνεκρύπτετο γὰρ καὶ συνανεφαίνετο, ὅθ' ὁποτέρως ἐκείνη τοῦτον ἐτύγχανεν. Εὖ γάρ, ὦ βασιλεῦ, ἴσθι ῥᾴδιον εἶναί σοι θάλασσαν ὅλην γεῶσαι καὶ γῆς ἕδρας μετασαλεῦσαι, ὄρη τε καὶ νάπας μετακινῆσαι, ἢ τῆς ἐπὶ πέτρας ἐκκλησίας οἰκοδομηθείσης Χριστοῦ τοῦ Θεοῦ μετακινῆσαι ἡμᾶς· αὐτῆς ὁλοψύχως ἐξόμεθα, ἣν ὁ Χριστὸς ἐδομήσατο, ὁ ἀκρογωνιαῖος λίθος καὶ ἔντιμος, εἰς ὃν σὺ μυωπάζων προσκόπτεις, ὅς σε καὶ λεπτυνεῖ καὶ ὡς χοῦν καὶ ἄχυρον τῷ λαίλαπι τῆς σῆς κακονοίας λικμήσει. "Ἵνα τί μαίνῃς τὴν γῆν"; ἐπιστὰς ἔροιτο ἄν σε προφήτης, ὡς ἐκ προσώπου Θεοῦ· "ἵνα τί καὶ τὴν κληρονομίαν Θεοῦ εἰς βδέλυγμα ἔθου"; Καὶ ἐτέρωθεν

4 κῶδ. ἐπιπολὺ. — 10 Ἰλιάδ. α 149. — 26 ἀκρογ. λίθος] Ἡσαΐα κή, 16. Ἐφεσ. β', 20. — 28 μαίνῃς τὴν γῆν] πρβλ. Ἱερεμ. β', 7. γ', 2. — 30 βδέλ. ἔθου] πρβλ. Ψαλμ. πζ', 9.

ἄλλος ἀναφωνήσει σοι ἃ πάλαι τῷ Ἰσραὴλ, ὅσα καὶ τῷ Θεῷ προσανέχοντι τοῖς εἰδώλοις· "Καὶ τὴν δόξαν ἀλλαξαμένου τοῦ πάντα πεποιηκότος Θεοῦ, ὄψεται Ἀσκάλων καὶ φοβηθήσεται, καὶ Γάζα καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ἀκκαρών, ὅτι κατῃσχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βασιλεὺς Γάζης καὶ Ἀσκαλὼν οὐ μὴ κατοικηθῇ, καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτῳ". Πρὸς τούτοις καὶ τῷ ἐκ μάρτυρος μάρτυρι καὶ προφήτου προφήτῃ, τῷ τοῦ Ἀμὼς Ἡσαΐᾳ, πείσθητι λέγοντι· "Ἰδοὺ Κύριος ἀπὸ τοῦ ἁγίου τόπου ἐπάγει τὴν ὀργὴν αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, καὶ ἀνακαλύψει ἡ γῆ τὸ στόμα αὐτῆς καὶ οὐ καλύψει τοὺς ἀνῃρημένους αὐτῆς. Ἔτι τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν αὐτοῦ τὴν ἁγίαν, καὶ τὴν μεγάλην καὶ τὴν ἰσχυράν, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν τὸν φεύγοντα, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν τὸν σκολιόν, καὶ ἀνελεῖ τὸν δράκοντα τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῇ θαλάσσῃ". Ταῦτά σοι, βασιλεῦ, ἐπὶ καιρὸν οἱ προφῆται προανακρούσουσιν· εἰ δ' ἄλλως οἴει τοῖς προφήταις εἰρῆσθαι τοὺς λόγους, ἀλλὰ πειθέτω σε καταποντούμενος Φαραώ· πειθέτω σε καὶ Σενναχηρείμ, νυκτὶ μιᾷ τὰ πλήθη τῶν Ἀσσυρίων ὑποστρωννύμενα βλέπων, θείου ἀγγέλου τὰς μυριάδας ἐκείνας πατάξαντος, ἐπειδὴ στόμα εἶχε μεγάλα λαλοῦν· θήσειν γὰρ εἶπε τὴν οἰκουμένην ὡς νοσσιὰν καὶ ὡς ἐγκαταλελειμμένην ᾠά, καὶ μὴ εἶναι μηδένα τὸν αὐτὴν ἐξαιρούμενον. Πρὸς τούτοις μνημόνευε καὶ τῆς χοιρείας τοῦ Ναβουχοδονόσορ μορφῆς, καὶ εὑρήσεις ἐν οὐδενὶ σωτηρίαν αἴροντι χεῖρα κατὰ Θεοῦ, ἐπεὶ ταπεινοῦν οἶδε τοὺς ὑπερφιάλους καὶ ἀλαζόνας».

18. Καὶ οἱ μὲν ὑπὸ τῆς ἐνοικούσης αὐτοῖς θείας χάριτος ταῖς τῶν θεηγόρων φωναῖς τὸ ἀνοιγὲν στόμα κατὰ τῆς ἐκκλησίας ἐμφράττουσι τοῦ Θεοῦ· ὁ δ', ὡς ἐν στενῷ κομιδῇ τὰ τῆς ἐπιθυμίας αὐτῷ περιέστηκε,—τὸ γὰρ μεταπείσειν αὐτοὺς ἴσον ἀτεχνῶς μεμαθήκει τῷ πρὸς κέντρα λακτίζειν καὶ παίειν ἀέρα καὶ

2 δόξαν ἀλλαξαμένου] πρβλ. Ψαλμ. ρε', 20. — 3 Ζαχαρ. θ', 5 - 6. — 8 Ἡσ. κς', 21. κζ', 1 - 2. — 18 Βασιλ. 4, ιθ', 35. Ἡσαΐα λζ', 36. — 20 θήσειν] οὕτως ὁ κῶδιξ Πρβλ. Ἡσαΐα ι', 14. —30 Corp. paroem. II, σ. 118 || ἀέρα] κῶδ. ἔρα.

τὸν ἀδάμαντα μαλάξαι φιλονεικεῖν—, ἐπῇδε συχνῶς τὸ ὁμήρειον "τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην", ἀκαιρίαν ὥσπερ κατηγορῶν ἑαυτοῦ, ὅτι μὴ ἀρχῆθεν ὡμῶς προσέβαλε τοῖς ἀνδράσιν, ἀλλ' ἠπίων λόγων ὅλως ἠξίωσε. Διὸ τὰς διὰ λόγων πρὸς αὐτοὺς συμπλοκὰς ὡς αὐτῷ μηδὲν οὔσας εἰς ὄνησιν ἀπογνοὺς ἐφ' ἕτερα τρέπεται, καὶ τίς ἄρα σύμψυχος αὐτοῖς καὶ ταῦτα φρονῶν ἐζήτει μαθεῖν, οὐ μὴν δὲ ἀλλὰ καὶ χρήματα, εἰ παρ' αὐτοῖς προσέταττεν ἀνιχνεύεσθαι καὶ ἀνιχνεύοντο. Ἐπεὶ δ' εὕρηται τοιοῦτον οὐδέν, ὧν ὁ λαμπρὸς ὑπετόπασεν ὑψιμέδων, — τίς γὰρ ἐγγωνιάζων δίκαιος ἂν εἴη σύμψυχος τούτοις ἀκούειν, παρὰ τὸ μὴ τῇ σκέπῃ θαρρεῖν τοῦ Θεοῦ ὑπὸ πέτραν συσκιαζόμενος, αὐτοὺς ἐμφανισθέντας τῷ βασιλεῖ ὑπεραποθανουμένους τῶν θείων δογμάτων ὁρῶν; χρήματα δὲ πῶς ἂν εἶχον οἱ ὅλῳ ποδὶ τὸ μηδὲν ἔχειν μεταδιώξαντες; — ἐπεὶ δ' ἐσφάλη κἀν τούτῳ τῆς προσδοκίας, τὰ περιβλήματα αὐτῶν ὁ παντὶ πάθει δεδουλωμένην ἔχων ψυχὴν βασιλεύς, ὁ τὴν χεῖρα προτείνων οὐκ εἰς τὸ πλουτίζειν ἑτέρους, ὅσα βασιλεῦσι νόμος, ἀλλ' εἰς τὸ κόλπους πενήτων ἀναδιφᾶν, εἶπου καὶ μιᾶς δραχμῆς εὐμοιρήσειε, καὶ ταῦτα δὴ κατὰ τάχος ἀφείλετο ὁ ὅσον οὔπω καὶ τὰ οἰκεῖα πάντα δεινῶς ἀφαιρεθησόμενος. Καὶ μάλα εἰκότως· ψυχὴ γὰρ φειδωλίᾳ συνισχημένη καὶ ἀγεννῶς προσηλωμένη τοῖς χρήμασι, τῷ μὴ δύνασθαι τὰ μὴ προσήκοντα συλλέγειν αὐτῇ, καὶ ἅπερ ἀσφαλῶς κατέχειν δοκεῖ, προσαπόλλυσιν.

19. Ὡς οὖν ἠρκεῖτο τούτοις οὐδόλως, ἀλλὰ καὶ ἕτερα ζητῶν ἦν, ἅττ' ἂν ἀποχρώντως αὐτῷ παραμυθήσαιτο τὸν θυμόν, τῇ μὲν τῆς Φιάλης φρουρᾷ τὸν ὁσιώτατον καθειργνυσι Μιχαήλ, τῶν δὲ αὐταδέλφων ὑπεροριαν καταψηφίζεται. Ὅτε τοίνυν αὐτοὺς καὶ πολλοὺς ἄλλους τῶν ἀπὸ Χριστοῦ καλῶς κεκλημένων ἀπελήλακει τῆς πόλεως, εἰρήνη τε καὶ ἀσφάλεια, μετὰ τῆς ἐπηρμένης ὀφρύος σοβαρῶς ἐπεφώνησε, πρὸς δὲ καὶ τοῦτ' εἴρηκεν· "Οὐκ ἔσται, ὃς διαφεύξεται καὶ ἀντείποι μοι· τῇ γὰρ ἰσχύι τῆς χειρός μου ὅρια ἐθνῶν ἀφελῶ καὶ σείσω πόλεις κατοικουμένας". Τότε δὴ τότε

1 ὁμήρειον] Ἡσιόδ. θεογον. 35. — 32 πρβλ. Ἡσαΐα ι', 13.

καὶ ὁ τῶν κακῶν αὐτῷ κολοφὼν ἐφειστήκει καὶ ἠγρεύετο εἰς σφαγήν, καὶ πρὸς "χάλκεον ὕπνον", εἴ γε δεῖ οὕτως εἰπεῖν, κατεφέρετο, καὶ ἀτεχνῶς ἦν ἰδεῖν ἐπ' αὐτὸν τὸ προφητικὸν ἐκεῖνο, τὸ λέγον· "Καὶ ἐγέγραπτο ἐπ' αὐτὸν θρῆνος καὶ μέλος καὶ οὐαί". Καὶ ἐγνώκεισαν ἀληθῶς ὁ παραπικραίνων οἶκος τοῦ Λέοντος προφητικοὺς εἶναι τοὺς ἄνδρας, οὐχ ὡς εὐγνωμονήσαντες, οὐδ' εἰς νοῦν βάψαντες, ὅτε ταῦτα ἐλέγετο, ἀλλ' ὅτε ἡ κεφαλὴ τοῦ Λέοντος, ὡς πάλαι τῶν δυναστῶν, διεκόπτετο, δυνάστου γε καὶ αὐτοῦ γεγονότος, ἵνα ἅμα Δαυὶδ καὶ Ἰεζεκιὴλ ἐπὶ τὸ αὐτὸ συνεισέλθωσιν, οὐκ ἐπαναστάντος ἐκείνῳ τῶν εὐσεβούντων τινός—ποῦ γὰρ ἐφεῖται τοῖς εὐσεβέσι τοιαῦτα διανοεῖσθαι, μήτοι γε καὶ εἰς ἔργα χωρεῖν;—, τῶν δὲ λίαν μυσαττομένων τὰ θεῖα μορφώματα.

20. Ἀλλ' οὕτω μὲν ὁ Ἀρμένιος ὑπὸ τῶν οἰκείων ἐπιβουλεύεται καὶ τοῦ θυσιαστηρίου ἐντὸς δυσκλεῶς ἀφαιρεῖται τὸ ζῆν, καὶ ὡς "ἀρνειὸς εἰς σφαγήν, εἰς ᾅδου κατεβιβάζετο", τὸ τῆς θείας φάναι Γραφῆς, "καὶ ὡς κριὸς μετ' ἐρίφων"· τὰς θείας γὰρ ὑποφωνοῦντος ᾠδὰς ἡ κάρα μίγνυται καὶ τοῦδε τῇ κόνει· διάδοχος δὲ γίνεται καὶ τοῦ τρόπου καὶ τῆς ἀρχῆς ὁ τὸν οἰκεῖον δεσπότην τῆς ζωῆς ὑπεξαγαγών, ὁ τὸ φρονεῖν μὲν ἀφῃρημένος, ἀφῃρημένος δὲ μικροῦ καὶ τὴν γλῶτταν εἰπεῖν. Οὗτος ὁ λοξὸς μὲν τὸ λέγειν, λοξὸς δὲ καὶ τὸ πράττειν, οὐχ ἥκιστα δὲ καὶ τὰς φρένας διεφθορώς, μετακαλεῖται τοὺς ἀθλητάς· καὶ πρῶτα μὲν αὐτοὺς ὑπέρχεται προσηνῶς, τί μὲν οὐ λέγων, τί δὲ μὴ ποιῶν, τί δὲ τῶν δοκούντων ἡδέων οὐχ ὑπισχνούμενος; ἤδει γάρ, ὡς εἰ τούτους αἱρήσει, πολλοῦ μέρους τῶν εὐσεβούντων ἐσεῖται κεκρατηκώς, τῶν προμαχῶν τῆς ἀληθείας τῆς αὐτοῦ γλώττης ἀγεννῶς ἡττηθέντων. Ταῦτα ὁ παρ' ἡμῖν ἄλλος Θερσίτης ὑπετόπαζέ τε καὶ ἔσπευδεν· ἀλλ' οἱ τοῦ στερεώματος διαφανεῖς φωστῆρες τῆς ἐκκλησίας τὸν πολὺν ὕθλον τοῦ Μιχαὴλ ὡς διερχόμενον πνεῦμα τὸ οὗς αὐτῶν ἐλογίζοντο. Ἐπεὶ δὲ πάντοθεν ἐξηπορεῖτο τῇ διαμαρτίᾳ τοῦ ἐφετοῦ, ἀλύσεις βαρείας ἀμφοῖν περιθέμενος τῷ τρα-

2 Ἰλιάδ. λ 241. — 4 Ἰεζεκ. β', 10. — 5 *παραπικραίνων* ἐκ τοῦ οζ' ψαλμοῦ, στίχ. 8 καὶ 17. — 9 κῶδ. *τοαυτὸ*. — 15 Ἱερεμ. κή, 40.

χήλῳ, τῇ νήσῳ Ἀφουσίᾳ τούτους ὑπερορίζει. Ταῦτα δὲ καὶ περὶ τοῦ μεγάλου Μιχαὴλ καὶ τοῦ μαθητεύσαντος αὐτῷ βουλεύεται Ἰακώβου· κλοιοῖς γὰρ αὐτοὺς περισφίγξας, τῇ φρουρᾷ, ἣ τοῦ Πραιτωρίου ἐπεφημίζετο, ἠσφαλίσατο.

11. Ἐπεὶ δὲ καὶ τοῦτον ἡ τοῦ θανάτου τομὴ πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια παρεπέμπετο, ὁ θεομισὴς Θεόφιλος τῶν σκήπτρων ἐπιλαμβάνεται. Ὡς οὖν τοῖς ζυγοῖς ἐπεκάθισε τῆς ἀρχῆς, οὐδὲν ἧττον διαζωσάμενος μανίαν κατὰ Χριστοῦ, ἢ τὴν αὐτοκράτορα Ῥωμαίων ἀρχήν, δεῖν ἔκρινεν ὑπερβαλέσθαι κακίᾳ πάσῃ τοὺς πρὸ αὐτοῦ ἐν ταῖς τῶν εὐσεβούντων αἰκίαις· μῶμον γὰρ ὑπελάμβανεν αὐτῷ προσεπιτριβῆναι, εἰ μὴ πάντας εἰκονομάχους ὑπερενέγκῃ, τοὺς ὁσοιδήποτε καὶ ἐγένοντο τῇ πρὸς τοὺς εὐσεβοῦντας ὠμότητι. Ταῦτ' ἀνελίττων ἐν ἑαυτῷ τὸ ἱερὸν μεταστέλλεται ζεῦγος, οὓς ἀδελφοὺς ἡ φύσις ἐγνώρισεν, ἐγνώρισε δὲ πολλῷ πλέον τὰ ὑπὲρ Χριστοῦ σκάμματα· ἐκείνη γὰρ πολλάκις καὶ ἐψεύσατο ἑαυτὴν καὶ τὸ οἰκεῖον ἀπείπατο, τὸ γνήσιον τῆς ἀγάπης διωσαμένη, ὥσπερ ἀνώνητον· τὰ δὲ τοὺς ἀλλήλοις μηδοπωσοῦν κατὰ γένος προσήκοντας τοσοῦτον εἰς ἓν συνηρμόσατο, ὡς καὶ τῶν συναθλούντων ὑπεραποθνήσκειν ἔχειν εὐψύχως. Μεταστέλλεται τοίνυν, ὡς ἔφην, αὐτούς, ἐφ' ᾧ βασάνοις συχναῖς κατεργάσασθαι· οὐδὲ γὰρ ἦν ἐπάξαι ταύτας τῷ Μιχαήλ, τὴν ὁλομέλειαν παρειμένῳ τοῦ σώματος καὶ οἷον ἐκλελοιπότι, ὑγρᾶς οὔσης καὶ κρυμμώδους καὶ ζοφερᾶς καὶ ἀκριβῶς τῷ Ἅιδῃ παρισουμένης τῆς εἱρκτῆς, ᾗ καθείργνυτο. Ἃ μὲν οὖν πεποίηκε τὸν Θεόφιλον ἀχθῆναι οἱ κελεῦσαι τοὺς ἀθλητάς, ὁ λόγος ἐδήλωσεν· ὃ δὲ μᾶλλον ἠρέθισε καὶ ὃ πλέον τῶν ἄλλων ἐξέκαυσεν εἰς ὀργήν, ἐξὸν ἑαυτοῖς ἐπηρτημένον τὸν κίνδυνον ἔχουσι περισκοπεῖν, ὅπως ἔσται μετὰ τὸ τῆς αἱρέσεως βρόχους διαφυγεῖν καὶ τῶν κυμάτων δίκην ἐπεγειρομένων ὑπερεκπλεῦσαι βασάνων, ἀλλὰ τοῦ οἰκείου μόνου φροντίζειν, οὐ τῶν μεγάλων, οὐδὲ τοῦ εἰς Θεὸν αὐτῶν ἔρωτος ἔκρινον. Διὸ τὸν πρωτασηκρῆτις Στέφανον καὶ τὸν σπαθάριον Καλωνᾶν πείθουσι κατολιγωρῆσαι μὲν τοῦ κατὰ τῶν ὀρθῶν δογμάτων νεανιεύεσθαι, κατολιγωρῆσαι δὲ καὶ αὐτοῦ βασιλέως καὶ τῆς ὡς αὐ-

τὸν οἰκειώσεως· τὼ γὰρ ἄνδρε τούτω τῇ τῶν μεγάλων ἐνισχημένω Σειρῆνι τῶν λόγων θανεῖν ἑτοίμως ὑπὲρ τῆς εἰκόνος προείλοντο τοῦ Χριστοῦ· οἷς ἀφορήτους κολάσεις ἐπαγαγὼν ὁ Θεόφιλος, τὸν μὲν ὑπερόριον ἔθετο, χρημάτων ἀποστερήσας, ἃ πολλὰ τῷ πρωτασηκρῆτις προσῆν, τὸν δὲ τῇ τῶν μαρτύρων χορείᾳ κατέλεξεν. Οὕτως οἱ ξένοι τε καὶ ἐπήλυδες ἐν ἀλλοδαπῇ τληπαθοῦντες καὶ φυλακῇ καὶ μυρίοις ἑτέροις ἐναπειλημμένοι κινδύνοις ἐκαρποφόρουν Θεῷ.

22. Τὸ οὖν Βυζάντιον οὗτοι τάχιστα φθάσαντες καὶ τῷ κρατοῦντι καταστάντες εἰς διαλέξεις τὴν πίστιν τῶν εὐσεβῶν ὑποδεικνύουσιν ἄμαχον, ὡς θαλαττίους δ' ἀφροὺς πᾶσαν αἵρεσιν διαλύουσι. Τῶν ῥημάτων τοίνυν τῶν ἀθλητῶν ὁ εὔζωνος καὶ ἀνδρεῖος κατὰ μόνων τῶν ἀπὸ Χριστοῦ καὶ ὄντων καὶ λεγομένων ἐνηχηθείς, καὶ ὅλος ἔμπληκτος γεγονώς, καὶ ὅ φασι "βοῦν" θέμενος "ἐπὶ γλώττης" καὶ "λίθον ἐπὶ τοῦ στόματος", κατ' οὐδὲν ἀπεοικὼς τῇ ἀψύχῳ κλίνῃ, ἧς μετὰ τῆς ἐπηρμένης ὀφρύος σοβαρῶς ἐκάθητο, οὐδεμίαν ἀνθυποφορὰν "οὐδὲ γρῦ"—τὸ τοῦ λόγου—πρὸς τοὺς βροντῆς ἰσχυρότερον τὰς ἀποστολικὰς παραδόσεις διάτορον ῥητορεύσαντας, ἠδυνήθη προενεγκεῖν· ὀψὲ δὲ καὶ μόλις ἀνενεγκὼν καὶ ἀσχολίαν τινὰ τῶν κοσμικῶν πραγμάτων προφασισάμενος, ἐν τούτῳ οἰόμενος τὴν αἰσχύνην ἀπονίψασθαι τοῦ προσώπου, τῆς κλίνης ἐξαναστάς, ὥσπερ τισὶ κόλποις τῆς γῆς τοῖς βασιλικοῖς θαλάμοις ἐγκαταδύεται, τὰ κατ' αὐτοὺς εἰς δευτέραν ἀπάντησιν ὑπερθέμενος· προσεδόκα γὰρ αὐτῶν καταγωνιεῖσθαι, εἴ τι καὶ προσηνὲς ὑπούλως παρενείρει ταῖς διαλέξεσι. Καὶ γὰρ εἴθισται τοῖς ἄφροσι, μὴ τὴν θέλησιν τῇ φύσει τῶν πραγμάτων παρεξετάζειν, ἀλλ' ἐκεῖνο, οἷον καὶ δοκεῖν μόνον ἀνύεσθαι εὐπετῶς, ὅπερ ἂν αὐτοῖς γένοιτο κατὰ νοῦν. Ἐξήεσαν οὖν οἱ τρισαριστεῖς τῶν ἀνακτορικῶν προαυλίων, ὥσπερ τινὲς Ὀλυμπιονῖκαι, τὸν πύργον τῆς ψυχῆς ἀπερικτύπητον διασῴζοντες.

23. Τίνα τὰ ἐφεξῆς; Ἡμέραι παρῆλθον οὐχὶ συχναὶ καὶ ὁ ἔπαρχος ἅμα τῶν ἐν τέλει τινὶ παρ' αὐτοὺς ἀποστέλλεται, τὰ

14 βοῦν ἐπὶ γλώττης] Διογεν. II, 2.

μείζω τῶν ἀγαθῶν ὑπισχνούμενος, εἰ φανεῖεν εὐνοϊκοὶ καὶ μὴ λόγου δεύτερα θεῖεν τὰ τῷ αὐτοκράτορι δόξαντα. Ἀλλ' ἡ τῶν μαρτύρων δυὰς λῆρον αὐτὰ λογισαμένη σαφῆ, "Ὦ βέλτιστοι", τὸ τῆς ῥαψῳδίας ἔφησαν, "μὴ τρύζετε παρήμενοι ἄλλοθεν ἄλλος. Ἐχρῆν πρὸς ταῦτα μηδοπωσοῦν ἀποκρίνασθαι, ὅτι συλῆσαι θωπευτικοῖς ἠλπίσατε λόγοις· ἐπεὶ δὲ προσταττόμεθα μηδενὸς τῶν μικροτέρων καὶ τῶν ἐλαχίστων καταφρονεῖν, ἀλλὰ καὶ "ἑτοίμους εἶναι παντὶ τῷ λόγον αἰτοῦντι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος" ὁ Χριστὸς διὰ τοῦ Παύλου παρακελεύεται, λέγομεν ἃ μηδὲ πάλαι σιωπῇς ἐκρίνομεν ἄξια, μὴ στρέφοντες ἐπὶ νοῦν τί χρὴ πρότερον ἢ τί τελευταῖον εἰπεῖν, ἵνα νικῶντες φανοίμεθα, φαιδροτέρας ἡλιακοῦ σώματος οὔσης τῆς ἀληθείας καὶ ἡμᾶς ὡς ἐκεῖνο τὰς ὄψεις ἀμέσως ἐφελκούσης πρὸς ἑαυτὴν πάλαι καλῶς μυηθέντας τί δεῖ φρονεῖν, τί δεῖ λέγειν καὶ ὑπὲρ τίνων ἐνίστασθαι δεῖ. Πέπεισθε τοιγαροῦν καὶ τῷ βασιλεῖ φράζετε, ὡς τῆς ἀμωμήτου πίστεως οὔποτ' ἂν κατολιγωρήσαιμεν, οὐ κατεπτηχότες φανούμεθα πῦρ καὶ ξίφος καὶ μάχαιραν. Ἐπ' αὐτῷ θανάτῳ γάννυται ἡμῶν ἡ ψυχή· εἰ τῇ ἀνθρωπίνει φύσει ἐξῆν μυρίους ὑποστῆναι θανάτους, μυριάκις ἂν καὶ ἡμῖν αὐτοῖς διὰ Χριστὸν θανεῖν ἐξεγένετο· δωρεὰς δ' ὑπισχνεῖσθε τοῖς πάλαι κόσμῳ θανοῦσι καὶ πάντα ἡγησαμένοις ὡς σκύβαλα, ἵνα Χριστὸν κερδήσωμεν μόνον· ἑνὸς ἐχόμεθα, τῆς δόξης αὐτοῦ καὶ τοῦ χαρακτῆρος, τῶν δὲ παρὰ τοῦ κρατοῦντος οὐχ ἡγησάμεθα δεῖν ἐπιστρέφεσθαι προτεινομένων ἡδέων· "ἐχθρὰ" γὰρ "τοῦ δῶρα" φαίημεν ἐπικαίρως, ἢ Ἀχιλλεὺς πρὸς εἰρηνικὰς σπονδὰς ἐκκαλούμενος. Καὶ ἐχθρὸς ἀληθῶς ὁμῶς Ἀΐδαο πύλῃσιν, ὃς ἡμῖν ἐστι προτρεπόμενος τὴν τῆς ψυχῆς ἀπώλειαν ἰσχυρῶς πραγματεύσασθαι. Καὶ ἵν' αὖθις τοῖς τοῦ ποιητοῦ ἔπεσι χρησαίμεθα, ὁμηρικοῖς, "οὐδ' εἰ δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη, ὅσα τέ οἱ νῦν ἐστι καὶ εἴ ποθεν ἄλλα γένοιτο, οὐδ' ὅσα ψάμαθός τε κόνις τε". Ἅπιτε τοίνυν ἀναγγελοῦντες ταῦτα τῷ βασιλεῖ». Οἳ δὴ πρὸς

4 Ἰλιάδ. ι 311. — 8 Ματθ. ιή, 10. — 9 Παύλου] γράφε Πέτρου 1, γ', 15. — 20 ἡγησαμένοις - κερδήσωμεν] Φιλιππησ. γ', 8. — 24 Ἰλιάδ. ι 378. — 28 Ἰλιάδ. ι 379 - 385.

τὸ διατρανῶσαι πάντα τῷ πέμψαντι καὶ τάδ' εἶπον· "Κρείττους εἶναι τοὺς ἄνδρας ἴσθι πάσης ἐπαγωγῆς, ὦ βασιλεῦ· ἀνωτέρους εἴδομεν αὐτοὺς πάσης θωπείας, πάσης ἀπειλῆς· σὺ πρότερον ἰλιγγιάσαις κολάζων, ἢ οὗτοι τοῖς σφῶν αὐτῶν σώμασιν ὕβρεσι πάσαις ἐγκαρτεροῦντες, ἐφ' αἷς καὶ μέγα φρονοῦσι, καὶ ὥσπερ τινὰ κόσμον βασιλικὸν καὶ κλῆρον πατρῷον βασάνων πᾶσαν ἰδέαν ἐκδέχονται. Θέλησον οὖν θάτερον ἑλέσθαι τῶν δύο, ἢ μὴ βιάζεσθαι αὐτοὺς ἐπὶ πλέον, ἀλλ' ἔχεσθαι τῆς ἰδίας δόξης ἐᾶν, ἢ τάχιστα μόρον τούτοις ἐπενεγκεῖν, ὡς ἂν σὺ μὲν πραγμάτων, κἀκεῖνοι δ' ἀπαλλαγεῖεν τοῦ ζῆν".

24. Πρὸς ταῦτα δὴ ὁ Θεόφιλος, ἡ ἀκαμπὴς ψυχὴ καὶ ἀμείλικτος, ὁ ζῶντος ὕδατος καταλιμπάνων πηγήν, λάκκους δ' αὐτῷ συντετριμμένους ὀρύσσων, οἳ συνέχειν ὕδωρ οὐκ ἴσχυον,—ὃ ἀνδρειοῦμαι λέγειν τῇ ἀπονοίᾳ μου—, αὐτίκα τῷ θυμῷ χαριζόμενος μάστιξιν ἐτασθῆναι κελεύει τοὺς ἀθλητάς· ὃ καὶ θᾶττον ἢ περ ἐλέχθη προέβαινεν. Ἀνηρτῶντο τοιγαροῦν καὶ ἠκίζοντο, καὶ οὕτω συνεκόπτοντο ταῖς πληγαῖς, ὡς τῷ καταρρέοντι αἵματι φοινιχθῆναι ἅπαν τὸ ἔδαφος. Ἀλλὰ καὶ τόδε κοῦφον ὁ Θεόφιλος ἐλογίσατο· διὸ καὶ κατ' ὄψιν τοὺς μάρτυρας παραστῆναι κελεύει· οἳ δὲ κατάδικοι ἔστησαν, ὡς ὁ ἐμὸς Ἰησοῦς ἐπὶ Πιλάτου κρινόμενος· καὶ ὅς, εἰ καταδέχοιντο οἱ κοινωνεῖν τοῦ δόγματος, ἐπυνθάνετο. Ἀλλ' οἱ τῆς εὐσεβείας ὑπασπισταὶ θυμοῦ πλησθέντες ἤρωσι πρέποντος ὅλῳ μένει τὸν ἀνταγωνιστὴν ἤραττον καὶ ἔπαιον μᾶλλον ταῖς ἄρκυσι τῶν λόγων αὐτῶν καὶ ταῖς συλλογιστικαῖς ἀνάγκαις, ἢ αὐτὸς μαστίζων ἐκείνους ἐφαίνετο. Τίνες δὲ καὶ οἱ λόγοι; καὶ γὰρ κἀκείνων ἐπιμνησθῆναι χρεών. "Φεῦ, ὅτι καταλιπεῖν ἡμᾶς" ἔφησαν "ζῶντα συμβουλεύῃ Θεόν, σοὶ δὲ ἀκολουθῆσαι δίκην Ἅδου τὸ στόμα κεχηνότι καὶ τοῦ μυθευομένου Κερβέρου τρόπον καθυλακτοῦντι τῶν αἱρουμένων θεοσεβεῖν! ἢ οὐκ ἀσέβημά σοι δοκεῖ καὶ τῶν ἀσεβημάτων τὸ μέγιστον; Εἰ γὰρ ὁ φαυλίσας εἰκόνα βασιλικὴν ἐκτιννύων ἐστὶ δίκην τὴν τῶν μεγίστων, ὁ εἰς αὐτὴν τὴν δε-

8 κῶδ. *ἐπιπλέον*. — 12 ζῶντος ὕδατος] Ἰωάν. εὐαγγ. ζ', 38 || Ἱερεμ. β', 13.

σποτικὴν εἰκόνα ἐμπαροινῶν ποίαν ἂν οὐκ ἀποτίσῃ τιμωριῶν; Ἀλλὰ ταῦτα μέν, εἰ μὴ ὑπῆρξεν ἡμῖν συνιέναι τοῦ πρέποντος, εἰ μὴ παραδεδομένον ἦν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ ἐκ τοῦ πεμφθέντος πρὸς Αὔγαρον ἱεροῦ ἐκτυπώματος· ὅτε δὲ τοσαύτης οὔσης ἀναμφιλέκτου τῆς ἀποδείξεως κατατολμᾶτε τῶν σεβασμίων εἰκόνων καὶ χεῖρα πάντολμον αἴρετε κατ' αὐτοῦ, ποίας ἄρα συγγνώμης ἔσεσθε ἄξιοι; τίσι δὲ κολάσεσιν οὐχ ὑπόδικοι; Ἀλλὰ μὴ γένοιτό σοι κατιδεῖν ἡμᾶς τῆς ὁμολογίας ταύτης ἐξάρνους γενέσθαι. Πράττε τοίνυν τὰ τοῦ Θεοῦ μου· ὁρᾷς γὰρ ἑαυτούς σοι ὑποτίθεμεν ὡς ἄκμονας ἀνηλάτους· οὐ τὸ προσέρπον πᾶν ἡμῖν, ὦ βασιλεῦ, φοβερόν, φοβερὸν δὲ τὸ χωρισθῆναι Θεοῦ καὶ τῶν ἀβουλήτων αὐτῷ τι διανοήσασθαι".

25. Ἤκουσεν ὁ Θεόφιλος καὶ τῇ μηδέποτε ἀήθει θηριωδίᾳ καὶ αὖθις προχείρως ἐχρήσατο· διὸ τοῖς παρεστῶσι βλοσυρώτερον ἐνητένιζε καὶ ἄγριόν τι καὶ μανικὸν ἐπεβόα κατὰ κόρρης παίειν· οἳ δ' ὡς κύνες λυττῶντες ἐπεισπηδήσαντες, τοσοῦτον συνέκοψαν ταῖς πληγαῖς, ὡς ἐξηπορῆσθαι αὐτοῖς καὶ τὸ ζῆν. Ἀλλ' οὕτως ἐμφορηθεὶς ὁ Θεόφιλος, μόλις ἀνεθῆναι τῶν μαστίγων διεκελεύετο, καὶ ἀνεῖντο. Μετὰ δὲ πλεῖστον ἀνενεγκόντων, πάλιν ὁ λῆρος ἐκεῖνος καὶ ἀναιδὴς δογματικὰς προέτεινε συζητήσεις, καὶ ἐπειρᾶτο τούτους μεταβαλεῖν· ἀλλ' οἱ τὰς ψυχὰς ἀδαμάντινοι καὶ τὴν διαρτίαν τοῦ σώματος δεῖξαι βουλόμενοι οὐ σαρκὸς καὶ ὀστῶν πεπηγυῖαν, ἀλλ' ἄντικρυς χαλκοῦ καὶ σιδήρου καὶ εἴ που τούτων ἔστι τι καὶ στερρότερον, τῷ τμητικῷ λόγῳ τῆς χάριτος πᾶσαν διέρρηξαν αὐτοῦ τὴν ἰσχύν, καὶ ἐξεφαύλισαν τὰς μωρὰς αὐτοῦ συζητήσεις ὡς νηπίων ψελλίσματα· οὐδὲ γὰρ ἦν τούτοις ἀντοφθαλμεῖν, βαρβάρῳ γε ὄντι, σκότους τε καὶ ἀπωλείας υἱῷ, συκίνην ἐπικουρίαν ἔχοντι καὶ καλαμίνην—ὅ φασι—ῥάβδον, ἐφ' οἷς τῷ ψεύδει ἐπερειδόμενος ἦν. Ὅθεν, ἐπείπερ οὐχ οἷός τ' ἦν τοὺς ἀκροβολισμοὺς τῶν θεολόγων γλωσσῶν ἐπὶ πλέον ὑπενεγκεῖν, ἰαμβείους κολάψαι ταῖς τιμίαις αὐτῶν ὄψεσι τῷ ἐπάρχῳ προστάττει, ποινὴν

27 ἀπωλείας υἱῷ] Ἰωάνν. εὐαγγ. ιζ', 12. Θεσσαλον. 2, β', 3 || συκίνην ἐπικουρίαν] Corpus paroem. II, σ. 210-211. — 30 κῶδ. *ἐπιπλέον*.

τολμήσας ἀπ' αἰῶνος τολμηθεῖσαν μηδέποτε, μηδὲ τοῖς ὅσα καὶ θεοῖς προσανέχουσι τοῖς εἰδώλοις. Τῆς ἀναιδοῦς ταύτης γνώμης ἐκ προσώπου τοῦ βασιλέως ἐξενεχθείσης, κόσμιοί τε καὶ εὐσταλεῖς ἐπορεύοντο, ταῦτα δὴ τὰ τοῦ προφήτου ὑπᾴδοντες· "Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην" καὶ τὰ ἑξῆς. Καὶ ὁ βασιλεὺς παλιννοστεῖν αὐτοὺς ὡς αὐτὸν ἐπιτάττει· ἔχειν γὰρ ἔφασκέ τι πυθέσθαι τῶν οὐχ οἷον καὶ παρορᾶσθαι ἀξίων. Ἐπεὶ δὲ ὑπέστρεφον, ἐκεῖνος ἐπὶ μετεώρου καθῆστο θρόνου· ἠβούλετο γὰρ ἐξ ἀπόπτου τὴν ἀφροσύνην αὐτοῦ ταῖς πάντων ἐνηχεῖν ἀκοαῖς· ἄμαχον δῆθεν λόγον εὑρὼν πρὸ τοῦ ἐκείνους εἴσω γενέσθαι τῶν ἀνακτόρων, τὸν λογοθέτην ἐξαποστείλας τοῦ δρόμου — ἐπτόητο γάρ, ὡς ἔοικε, μὴ ὡσπερεὶ φάσμα νυκτερινὸν τὸ δυσαντίβλεπτον πρόβλημα τοῦ ἰδίου νοὸς ἀποπτῇ, κἀκείνων παραγεγονότων αὐτὸς ἄναυδος ἐσεῖται καὶ ἄφωνος—, τῷ ἄνωθεν δηλωθέντι μετὰ κραυγῆς φησιν ἰσχυρᾶς· "Πυθέσθαι σε δεῖ τούτων τίνος χάριν ἐπικαγχάσαντες ὤφθησαν τῷ θανάτῳ τοῦ Λέοντος"· ἦδει γὰρ καὶ αὐτός, ὡς τὸ ἔπος "ἔπεα ταῖς ἰδίαις φρεσὶν ἄκοσμά τε πολλά τε". Τῶν οὖν παραβόλων τούτων ὁ παρεστηκὼς ὡς ἀκήκοεν ὄχλος, εἰς ἄσβεστον διεγείροντο γέλωτα. Προσφόρως αὖθις εἶπεν ἄν τις ὁμηρικός, ὅτι "οἱ εἴσαιτο γελοῖον" ἅπαντα "ἔμμεναι".

26. Ἀλλ' ἡ μὲν πρὸς βασιλέως πεῦσις τοιάδε τις ἦν· ὁποίαν δ' εἶχε καὶ τὴν ἀπόκρισιν; ὡς θαυμαστὴν καὶ γενναίαν. "Ἡμεῖς" ἀντέφησαν "μαθηταὶ τοῦ εἰρηνικοῦ Χριστοῦ καὶ ὄντες δὴ καὶ ἀκούοντες οὐκ ἴσμεν ἐπ' ἀπωλείᾳ χαίρειν ἀνθρώπου, θρηνεῖν δέ, οὕτω τῆς ἐντολῆς κελευούσης: χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων· σὺ δ' ἵνα τί οὐκ ἐγκαλύπτῃ, δίκας, αἷς δικαίως ἐνέχῃ, τοῖς ἀνευθύνοις προσάπτων ἡμῖν; σὺ τῷ σῷ πατρὶ συστράτηγος ὤν, ὅτ' ἐπιτιθέμενον ἦν τοῖς ἐν Θράκῃ τὸ Σκυθικόν, τῶν στρατευμάτων αὐτοῦ κατὰ φάλαγγας τεταγμένων, τῆς συρράξεως ἤσθεσθε τοῦ πολέμου καὶ ἠριστεύσατε κατὰ τῶν Βαρβάρων μηδοπωσοῦν, ἀλλ' αὐτοῖς ἀγεννῶς ἠθελήσατε νῶτα δοῦ-

4 Ψαλμ. ριη', 14. — 7 κῶδ. *ἐπείδε*. — 9 κῶδ. *ἐξαπόπτου*. — 17 Ἰλιάδ. β 213. — 20 Ἰλιάδ. β 215. — 25 Ῥωμ. ιβ', 15.

*

ναι, ὡς καὶ ποσὶν ἱππικοῖς τὴν σωτηρίαν ὑμῶν πραγματεύσασθαι. Πάσης δὲ χώρας καὶ πόλεως τῶν Θρᾳκῶν λῃσθείσης τοῖς πολεμίοις καὶ τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἀφειδῶς ἐκείνοις καταρραγέντος, μετ' αἰσχύνης πάντα χαλάσαντες χαλινά, ἀστράσι τὴν ὁδὸν διαγράφοντες καὶ πλεῖστα τῆς ἡμέρας τὴν νύκτα ποθεινὴν ἄγοντες, μέτριοι ἐκ πολλῶν καὶ πολλοὶ κατ' ὀλίγους καὶ ὑμεῖς ὤφθητε τὴν Βύζαντος εἰσελαύνοντες· τοῦ δὲ κρατοῦντος συνήθως μακροθυμήσαντος ἐφ' ὑμῖν, καίπερ τιννύναι δίκην ἐσχάτην ὀφείλουσιν, αὐτοῦ κατεστρατηγήσατε, μὴ τὴν γενέθλιον τοῦ σωτῆρος ἡμέραν, εἰ μή τι ἄλλο, καταιδεσθέντες, μὴ τὸν ναὸν τοῦ Θεοῦ, ὃς ἐκείνου τὸ αἷμα ἐδέξατο, ἀντὶ τοῦ τὰς ὑμῶν κεφαλὰς ἐνδίκως ἀποτμηθῆναι, καίτοι οὐκ ἀναλογοῦσα εἴσπραξις τοῦ τολμήματος ἦν· ποῦ γὰρ ἐξισοῦται βασιλέως αἷμα καὶ δούλου, καὶ ταῦτα πονηροῦ καὶ ἀγνώμονος καὶ πλείστων ἀγαθῶν ἀπολελαυκότος καὶ τῷ οἰκείῳ δεσπότῃ θάνατον σκαιωρήσαντος; Τὰς δεξιὰς ἔχοντες ἔτι σταζούσας τοῦ αἵματος — ὦ δίκης καὶ ἀνοχῆς κριμάτων Θεοῦ — τὰς ἀτίμους ὑμῶν κεφαλὰς στεφάνῳ κατεκοσμήθητε καὶ βασιλικῷ ἑαυτοὺς περιέθεσθε διαδήματι. Τί οὖν; οὐχ ὁ τῆς ὀργῆς τρυγίας ἐκεῖνος τῇ μεγάλῃ ἡμέρᾳ καὶ ἐπιφανεῖ, ἐν ᾗ πᾶν τὸ ἐξανάστημα τῶν ἀνθρώπων ἀπολαβὸν ἔσται τὰ πεπραγμένα, ὑπερεκβλύζων σοι τεταμίευται; παντί που δῆλον".

27. Οὕτω μὲν κατερρητόρευσαν τοῦ τυράννου οἱ μάρτυρες, οὕτω λαμπρὸν γέλωτα καὶ φαιδρὸν τῆς αὐτοῦ κατέχεον ὄψεως· ὁ δὲ λιπαρᾷ τῇ ἀχλύι περικεκαλυμμένος Θεόφιλος συνῆκεν ἄρα τῶν λαληθέντων; αἰδοῦς ἐρύθημα τὰς αὐτοῦ κατεπέχρωσε παρειάς; τὸ τοῦ Θεοῦ ὑπέτρεσε δικαστήριον; Οὔμενουν οὐδαμῶς, ἀλλ' ὁ αὐτὸς ἦν Θεόφιλος, τῇ αὐτοῦ ἀφροσύνῃ ἐπιγαννύμενος, ὡς καὶ τὸν Ἱερεμίαν προφήτην ἄνωθεν ἐφαρμόσασθαι τούτῳ τοὺς λόγους ἐκείνους, λέγοντας οὑτωσί· " Ἆρον τοὺς ὀφθαλμούς σου καὶ ἴδε ποῦ οὐχὶ ἐξεφύρθης· ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς, ὡσεὶ κορώνη ἠρημωμένη, καὶ ἐμάρανας τὴν γῆν ἐν ταῖς κακίαις σου· ὄψις πόρνης

4 κῶδ. *ἄστρασι*. — 6 κῶδ. *κατολίγους*. — 29 Ἱερεμ. γ', 2-3.

ἐγένετό σοι· ἀπηναισχύντησας πρὸς πάντας· κατῃσχύνθης, ὅτι ἐξέλιπες, καὶ οὐδ' ὡς κατῃσχυμμένος κατῃσχύνθης, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἐπέγνως· διὰ τοῦτο πεσῇ ἐν τῇ πτώσει αὐτῶν καὶ ἐν καιρῷ ἐπισκοπῆς ἀπολῇ". Ταύτῃ τοι μηδοπωσοῦν ὑπενδοὺς τῇ κακίᾳ, ἀνερυθριάστως καὶ ἀναιδῶς "'Αλλὰ σοὶ τῷ ἐπάρχῳ" φησὶ "τοῦ λοιποῦ μελέτω, ὡς ἂν τοῖς σφῶν αὐτῶν χαρακτῆρσιν οἱ ἴαμβοι καλῶς ἐγγραφεῖεν". Παρεδίδοντο γοῦν ταῖς χερσὶ τῶν δημίων, διετείνοντο ταῖς σανίσι, στερρῶς προσεδέδεντο (ὡς ἐν ἀρρήκτοις πέτραις ἀδαμαντίναις, φαίη ἂν ποιητής), καὶ οὕτω διόλου τὰ πρόσωπα, ἀληθῶς δὲ ὅτι μὴ μυθικῶς, προσεπατταλεύοντο τοῖς χαλκεύμασι. Καὶ παρέλιπον τὰς ἐν τῷ πραιτωρίῳ κακουχίας ἑτέρας εἰπεῖν τῶν μαρτύρων, παρέλιπον δὲ καὶ τὰς μεγάλας ἀποδείξεις καὶ συλλογιστικὰς ἀνάγκας τῶν λόγων, ἃς τῷ ἐπάρχῳ προέτεινον ἐφ ὅλαις τῶν ἡμερῶν τέσσαρσιν, ὁτὲ μὲν ἀπειλοῦντος, ὁτὲ δὲ καὶ περισαίνοντος, ὥσθ' ὑποσύραι καὶ πρὸς τοὔσχατον τῆς κακίας ἑλκύσαι. 'Αλλ' ὁ ταῦθ' ὁμοῦ εἰδέναι βουλόμενος, τὴν πρὸς τὸν Κυζίκου Ἰωάννην ἐπιστολὴν μὴ κατοκνείτω ζητεῖν· ἡμῖν δὲ ὅπως εἶχε τὰ τῶν ἰάμβων ῥητέον, οἳ ταῖς αὐτῶν ἐγκεκολάπτοντο ὄψεσιν· ἔχει δὲ οὕτως.

Πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
ὅπου πάναγνοι τοῦ Θεοῦ Λόγου πόδες
ἔστησαν πρὸς σύστασιν τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
σκεύη πονηρὰ δεισιδαίμονος πλάνης·
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρὰ δεινὰ εὐσεβοφρόνοις,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται·
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες
οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας.
Ὅθεν, γραφέντες ὡς κακοῦργοι τὴν θέαν,
κατακρίνονται καὶ διώκονται πάλιν.

1 Ἱερεμ. ς', 15.

28. Ἀλλ' οὕτω μὲν οἱ ἅγιοι κεκολάφατο διόλου τὰ πρόσωπα· τὰ δ' ἐντεῦθεν ὁποῖα; τῶν στολῶν αὐτῶν τῷ λύθρῳ πεφοινιγμένων καταρρέοντι καὶ ἀτμίζοντι φρουραὶ καὶ πάλιν τοὺς τὰς οὐρανίους ἐπαύλεις ἀξίους περιπολεῖν ἐξ ἀμοιβῆς διαδέχονται, καὶ ἡ ἐν Βιθυνίᾳ Ἀπάμεια καθειργμένους κεκλήρωτο ταῖς ὑποθήκαις Ἰωάννου, τῆς ἐκκλησίας ἐξάρχοντος. Καὶ ἦν οὗτος ἠγαπημένος τῷ βασιλεῖ, ὡς τῆς κακοδοξίας αὐτοῦ σφοδρῶς -

29. - - - - - [μαρ]τύρων χορείαις συναρμοσθῆναί τε τῇ κεφαλῇ πάντων Χριστῷ. Ὡς οὖν τὰ κατὰ Θεὸν διαβήματα τούτῳ διήνυστο, τῆς ὥρας ἤδη καταλαβούσης εἰρήνην τῇ ἐκκλησίᾳ σταθηρὰν ἐπευξάμενος, πάντων τε πρὸς ἀνθρώπων καρποφορεῖσθαι Θεῷ πίστιν ἀμώμητον, ἔργ' ἀκηλίδωτα καὶ πᾶσι τῶν λυπούντων ὑπάλυξιν, τῷ Θεῷ τὴν ψυχὴν παρατίθησιν, ἑβδόμην τῷ τότε τοῦ δεκεμβρίου ἄγοντος καὶ εἰκάδα, καὶ νῦν ἀμέσως τῇ σεπτῇ τριάδι παρεστηκὼς αὐτὴν ἡμῖν εὐμενίζεται.

30. Ὁ δὲ σύναθλος Θεοφάνης πολλοῖς ὕμνοις καὶ ᾄσμασι καὶ πλέον τοῖς ἐγκωμίοις τιμήσας τὸν οὐχ ἧττον ἀδελφὸν τὴν ψυχὴν ἢ τὸ σῶμα, ἐν οἷς λαμπρῶς ἐξυφαίνει καὶ οἵαν ὑπέστη τὴν ἄθλησιν, συχνοῖς τε δάκρυσι περιρραντίσας τὸ σῶμα σὺν αὐτῷ κατεῖχεν αὐτό· οὐδὲ γὰρ συνεχωρεῖτο τοῦτο παραδοῦναι τῇ γῇ, τοῦ βασιλέως οὕτω προστάξαντος. Ἐπεὶ δ' ὡς ἐπὶ πολὺ διέμενε πάσης βλάβης ἐκφεῦγον ἐπήρειαν καὶ μὴ τετελευτηκότος φαινόμενον, ζῶντος δὲ μᾶλλον καὶ βραχὺ πρὸς ὕπνον τραπέντος πιστούμενον, τῆς εἰς Θεὸν θαυμάσαντες τοῦ ἀνδρὸς οἱ φύλακες παρρησίας καὶ τῆς εἰς αὐτὸν ἐκείνου περιφρουρήσεως, μόλις ἐν θήκῃ ξυλίνῃ τὸ καρτερικὸν καὶ πολύαθλον σῶμα τοῦ μάρτυρος ἐν αὐτῇ τῇ φρουρᾷ τεθῆναι προτρέπουσιν, ἐξ ἧς τοῖς πίστει προσερχομένοις ἐπλημμύρει τὰ τῆς χάριτος νάματα, σωμάτων μὲν πᾶσαν νόσον ἀποδιῶκον, ἀποδιῶκον δὲ καὶ πᾶσαν Δαιμόνων ἐπίθεσιν, ὡς ἐντεῦθεν μὴ ῥώννυσθαι μόνα τὰ σώματα, ἀλλά τοι μείζω πολλῷ

7 Μετὰ τὸ σφοδρῶς ἀπεκόπη νεωστί, καθὰ φαίνεται, τοῦ κώδικος φύλλον ἕν.

τὰ τῶν ψυχῶν πάθη καθαρῶς ἀποσκορακίζεσθαι καὶ οὕτω Θεῷ τὴν αἴνεσιν ἀναπέμπεσθαι. Πάντας δὲ οἶδα συγγνώμονας ἔσεσθαι τοὺς ἀκούοντας, εἰ, ὅπερ μικροῦ με παρέδραμε, πάλιν ἐπαναλήψομαι καὶ ἀκοαῖς φιλοθέων παραπέμψω ἐντρύφημα, εἰ καὶ πρὸ ἡμῶν ἑτέροις πεφιλοσόφηται μεγαλοπρεπῶς καὶ ἄγαν ἠκριβωμένως. Ἔχει δὲ οὕτως.

31. Λέγεται κατ' ἐκεῖνο καιροῦ, ἡνίκ' ἀνίπτατο ὁ μακάριος πρὸς Θεόν, τὸ δὲ σκῆνος τῇ γῇ κατελέλειπτο, τῆς φήμης κύκλῳ πανταχόσε διαθεούσης τῶν πιστῶν, ὅσοι τὸν τοῦ Θεοῦ φόβον περὶ πλείονος ἔθεντο, μὴ τῆς βασιλικῆς ἀπειλῆς ἀμελήσαντες ὁπωσοῦν ἑαυτοὺς ὤτρυνον τὰς ἐσχάτας τοῦ μάρτυρος κομιούμενοι εὐλογίας καὶ τὰ τελευταῖα τοῦτον κατασπασόμενοι· μεθ' ὧν ἔσπευδε καί τις ἀνήρ, τὴν τρίχα μὲν πολιός, πολιὸς δὲ μᾶλλον τὴν σύνεσιν καὶ τῶν θείας ἐμφάσεις ἐνηχεῖσθαι εἷς ὑπάρχων ἠξιωμένων. Ὡς οὖν εἷς καὶ αὐτὸς ἐγεγόνει τῶν συνελθόντων καὶ τὸν ἐξόδιον ὕμνον διατελῶν ἦν, διεμαρτύρετο λέγων, ἐς ὕστερον ὅρκῳ τὸν λόγον πιστούμενος, ὡς ἠκηκόει φωνῆς ἄνωθεν καὶ ᾀσμάτων ἀτεχνῶς ἐξαισίων καὶ τοιούτων, ὡς μὴ ἂν ἄλλοτέ ποτε τὴν ψυχὴν τοῦ σεμνοῦ γέροντος ἐκείνου τοσοῦτον θελχθῆναι, ὅσον ταῖς ἀγγελικαῖς ᾠδαῖς τῷ τότε καὶ τοῖς προπεμπτηρίοις ὕμνοις αὐτῶν. Εὖγέ σου τῶν ἀπὸ τοῦ Θεοῦ, Θεόδωρε, γερῶν, τῶν ἀκηράτων στεφάνων, τῆς μετὰ τῶν ἁγίων Ἀγγέλων ἐν ἀφθεγξίᾳ λαμπρᾷ καὶ μακαρίᾳ σιγῇ ἀλήκτου δοξολογίας! Τούτων τί ἂν γένοιτο σεμνότερον καὶ τὴν εἰς Θεὸν παρρησίαν τοῦ ἀνδρὸς ἐπιμαρτυροῦν; εἰπέ, πρὸς τῆς ἀληθείας αὐτῆς, ὅστις ἂν εἴης ὁ ταῦτα ἀκηκοώς. Καὶ τούτων μὲν ἅλις. Καιρὸς δὲ ἤδη λοιπὸν ἡμῖν ἐφειστήκει εὐλογῆσαι τὸν Κύριον, ὡς Ἡσαΐας ποτέ· εἰ γὰρ καὶ ὠργίσθη, ἀλλὰ καὶ ἀφ' ἡμῶν ἀπέστρεψε τὸν θυμὸν αὐτοῦ καὶ ἠλέησεν, ὅτι αὐτός ἐστι δόξα καὶ αἴνεσις ἡμῶν καὶ σωτήρ. Χρεὼν τοίνυν ἐστὶ κηρύξαι τὰ εἰς ἡμᾶς μεγαλεῖα τοῦ Θεοῦ, τοῦ ἐξαίροντος ἡμᾶς ἐξ Ἅδου καὶ σώσαντος ἐκ θανάτου χειρός, καμίνου τε ῥυσαμένου καὶ φλογὸς

8 κῶδ. *καταλέλειπτο*.—9 κῶδ. *ὅσῳ - - περιπλείονος*.—18 κῶδ. *ποτὲ*. — 27 Ἡσ. ιβ', 1-3. — 31 Προσευχῆς Ἀζαρίου κτλ. 65.

καιομένης, τοῦ τὴν σκηνὴν ἀναστήσαντος τὴν πεπτωκυῖαν Δαυίδ, εἰς ὕψος κρῖμα ποιοῦντος καὶ δικαιοσύνην θεμένου εἰς γῆν, τοῦ πάντα τῷ νεύματι τῆς δυνάμεως αὐτοῦ μετασκευάζοντος καὶ ποιοῦντος, εἰς τὸ πρωὶ σκιὰν θανάτου ἐκτρέποντος καὶ συσκοτάζοντος εἰς νύκτα ἡμέραν, προσκαλουμένου τε τῆς θαλάσσης τὸ ὕδωρ καὶ ἐκχέοντος αὐτὸ ἐπὶ προσώπου τῆς γῆς, τοῦ ὄνομα κεκτημένου Θεὸς παντοκράτωρ, τοῦ παραδόντος εἰς μάχαιραν καὶ ἀκοντίζοντος εἰς σφαγὴν τοὺς τῇ τύχῃ τράπεζαν ἑτοιμάζοντας καὶ πληροῦντας τῷ Δαίμονι κέρασμα, τοῦ ἀπόλλοντος τοὺς παρ' ἑαυτοὺς νομιζομένους εἶναι σοφούς, ἢ κυριώτερον εἰπεῖν ὀλοθρεύσαντος τοῦ δεσποτικοῦ χαρακτῆρος τοὺς πολεμίους, τοῦ θεμένου τὸν οἶκον τοῦ Λέοντος εἰς φλόγα πυρός, τὸν δὲ οἶκον τοῦ θεοστυγοῦς Θεοφίλου ὡς στυπεῖον καὶ καλάμην εἰς καῦσιν ἀίδιον· οὕτω γάρ με διδάσκει Δανιήλ, Ἀμώς, Ἡσαΐας καὶ Αὐδιού. Ὄντως γάρ, ὄντως ἐποίησε κράτος ὁ Κύριος ἐν βραχίονι αὐτοῦ, τὰς ὑπερηφάνων καρδίας διασκορπίσας σὺν ταῖς αὐτῶν διανοίαις, ὡς ἡ προφῆτις ἐν ᾠδαῖς ἀνεκρούετο.

32. Ἐπεὶ γὰρ ἐξ ἀνθρώπων ἐγεγόνει Θεόφιλος,—ὁ τῷ πλήθει τῶν ἁρμάτων αὐτοῦ λέγων "εἰς ὕψος ἀνῆλθον ὀρέων", καὶ μὴ τοῦ Λιβάνου τὰ ἔσχατα καὶ τὸ ὕψος τῆς κέδρου καὶ κυπαρίσσου τὸ κάλλος συγκόψας, τὰ εὐπρεπῆ δὲ κάλλη καταχρειώσας τῆς ἐκκλησίας καὶ ἐνεβλήθη φιμὸς εἰς τὴν ῥῖνα αὐτοῦ καὶ τοῖς χείλεσι χαλινός, ὥς φησι Κύριος περὶ Σεναχηρεὶμ Ἡσαΐᾳ, καὶ ὁ "βροῦχος ὥρμησε καὶ ἐξεπετάσθη καὶ ἐξήλατο ὡς ἀττέλεβος σύμμικτος", καὶ ἡ σμῖλαξ ἀπετεφρώθη καὶ συντετέλεσται καὶ ἐξῆρται ἐκ μέσου, ὡς οὕτω πάλιν φησὶ δι' Ἑλκεσαίου τοῦ καὶ Ναοὺμ ὁ Θεός· ἀλλὰ καὶ ἡ ῥᾶξ μὴ λυμανθεῖσα ἐσῴζετο ἐν τῷ βότρυϊ· ἦν γὰρ εὐλογία Κυρίου ἐν τούτῳ· τὴν τῶν θείων ἐπώνυμον δωρεὰν ὁ λόγος ὑπέφηνε, τὴν Θεοδώραν βασίλισσαν, — πτωχός τις ἅπας πλουτισμὸν εὐσεβείας εὐηγγελίζετο καὶ συντετριμμένος ἰᾶτο, καὶ αἱ

1 Ἀμὼς θ', 11. Πράξ. Ἀποσ. ιε', 16. — 2/6 Ἀμὼς ε', 7, 8. — 7/9 Ἡσαΐα ξε', 11-12. — 9 Κορινθ. 1, α', 19. — 11/13 12 οἶκον - - φλόγα πυρός - - καλάμην] Ὀβδιοὺ στίχ. 8. — 15/17 Λουκᾶ α', 51.—23 Ἡσαΐα λζ', 24-29. — 24 Ναοὺμ γ', 16, 17 || κῶδ. *ἀτέλεβος*. — 25 κῶδ. *σμίλαξ*. Ναοὺμ α', 10. β', 2.

φρουραὶ ἀνεῴγνυντο καὶ τὰ μνημεῖα ἀνεκαλύπτετο καὶ οἱ κατάκλειστοι ἐν αὐτοῖς ὑπὲρ τῆς δόξης Χριστοῦ ἀγαλλομένῳ ποδὶ σκιρτῶντες ἐξῄεσαν· μεθ' ὧν καὶ Μιχαὴλ ὁ θειότατος καὶ ὁ πολύαθλος Θεοφάνης τῆς ὑπερορίας ἀνεκαλοῦντο καὶ τῆς φρουρᾶς, ἀλλὰ καὶ ὁ καρτερικὸς καὶ πολύτλας Μεθόδιος, τοῦ τάφου ἀνεῳγότος κἀν τούτῳ καταλειφθέντος τοῦ σὺν αὐτῷ νεκροῦ ὁδωδότος καὶ ὄζοντος, τῆς εὐαγοῦς βασιλίδος κατὰ τάχος οὕτω διακελευσαμένης, πρὸς τὴν Βύζαντος ἤκουσιν. Ἐντεῦθεν ἡ θεοστεφὴς ἄνασσα, ἡ τὴν ἀποστολικὴν καὶ αὐτὴ πεπιστευμένη διακονίαν, ὡς περίπου τῆς ἐνθέου Ἑλένης καὶ τῆς πρωτομάρτυρος Θέκλης πάλαι καλῶς ἀκηκόαμεν, ἡ ὡς σφραγὶς ληφθεῖσα καὶ τεθειμένη, διότι αὐτὴν ᾑρετίσατο Κύριος, ἡ ἐξεγηγερμένον ἀπὸ Κυρίου ἔχουσα πνεῦμα, ὡς τοῦ Ζοροβάβελ ποτὲ τοῦ Σαλαθιὴλ καὶ τοῦ μεγάλου ἱερέως Ἰησοῦ τοῦ Ἰωσεδέκ, οὐ δεῖν ᾠήθη ποιμένος ἄνευ ἐπὶ πολὺ διαμένειν τὸ ποίμνιον· ἀλλ' ὥσπερ πᾶσαν ἦγε σπουδὴν τὸ ἐπὶ τῆς κεφαλῆς διάδημα περιθέσθαι, τὸν δεσποτικὸν φημὶ χαρακτῆρα καὶ τῶν αὐτοῦ θεραπόντων τῇ ἐκκλησίᾳ, οὕτω καὶ τὸν περιτραχήλιον αὐτῇ κόσμον ἐπαυχενίσαι, τὸν ποιμένα τῶν λογικῶν δηλαδὴ θρεμμάτων, καὶ στιμμίσαι ταύτην ὡς ἄσπιλον νύμφην καὶ λαμπρῶς ἐμφανισθῆναι τῷ καθαρῷ νυμφίῳ Χριστῷ. Τῷ τοι καὶ ὁ τῆς αὐλῆς προστησόμενος τοῦ Χριστοῦ ἐζητεῖτο, καὶ ὁ δίκην φωτὸς ἐπὶ τῆς ὑψηλῆς λυχνίας τεθησόμενος ἀνηρευνᾶτο σφοδρῶς. Ὅθεν καὶ πάντες τὸν θεῖον Μιχαήλ, ἐπήρατον λαχόντα δόξαν ἐν ἀρετῇ, ὡς ἐξ ἑνὸς συνθήματος ἐξελέγοντο· ἀλλ' ὁ πρὸς πάντας μειλίχιος ἐν τούτοις ἄτεγκτος ἦν τὸ παράπαν καὶ ἀνομίλητος, τὴν ἥλικα καταπαζόμενος μετριότητα.

33. Οὕτως ἡ βασιλὶς ἰδοῦσα τὸν Μιχαὴλ γνώμης ἔχοντα καὶ προθέσεως ἐπὶ "δεύτερον"—ὅ φασι—μεταβέβηκε "πλοῦν" καὶ συμβούλῳ κέχρηται τῷ μεγάλῳ, τί ἂν αὐτὴ διαπράξοιτο· καὶ ὃς πρῶτα μὲν τὸν δεύτερον Ἰαννὴν, τὸν ἀνθεστηκότα Θεῷ, τὸν τῆς αἱρέσεως προεξάρχοντα, ἀποδιοπομπῆσαι τέλεον εἰσηγεῖται τῆς ἐκκλησίας· ἔπειτα τὸν ἱερὸν ἠβούλετο Θεοφάνην τὴν τῆς οἰκουμένης

12/14 Ἀγγαίου α' 12-14. — 28 Corp. paroem. II, σ. 24.

ἁπάσης ἀναδέξασθαι προστασίαν· ἀλλὰ τὴν φίλην αὐτῷ γινώσκων ἡσυχίαν εἰσάπαν καὶ τὸ πρὸς ταῦτα ἐνστατικὸν τοῦ ἀνδρός, οὐ προήρητο κινῆσαι λόγους περὶ αὐτοῦ, εἰ καὶ παντάπασιν οὗτος ὑπεκστῆναι τῆς προεδρίας οὐχ οἷός τε γέγονεν· ἡττήθη γὰρ τῆς πολλῆς παρακλήσεως ὕστερον τοῦ θαυμαστοῦ Μεθοδίου καὶ τὴν προκαθημένην τῶν Βιθυνῶν ἐκληρώσατο πόλιν· ἀλλ' ὁ μὲν τῆς προεδρίας τούτου λόγος ἀναμεινάτω μικρόν. Ὡς οὖν ἡ βασιλὶς Θεοδώρα τὸν τῆς ἐκκλησίας καλῶς προστησόμενον ἐξητεῖτο μαθεῖν, ὁ Μιχαὴλ τὸν στερρὸν ὁπλίτην, τὸν γενναῖον ὑπέρμαχον τῆς ἡμῶν πίστεως, τὸν καρτερὸν Μεθόδιον λαμπρῶς ὑποδείκνυσιν, "Οὗτος" λέγων "ἐστὶν ὁ τὴν ποιμαντικὴν εὐτέχνως αὐλησόμενος σύριγγα, ὁ τὸ ποίμνιον ἄξων ἐπὶ νομὰς τὰς ἀγήρω καὶ δροσερὰς καὶ καλῶς ἐκθρέψων τὴν ἐπὶ χλόην θείας σκηνώσεως· οὗτός ἐστιν ὁ τοῦ ζῶντος ὕδατος εἰς κόρον ἐκπεποκώς, ὁ τοὺς ἀκενώτους ποταμοὺς ἀμειώτους ἐκ τῆς κοιλίας αὐτοῦ ῥέοντας ἔχων, ὡς τὰ θεῖα διδάσκουσιν εὐαγγέλια, ὁ κεκτημένος "τὸ φῶς τῆς ζωῆς". Οὕτω τοῦ Μιχαὴλ τῇ βασιλίσσῃ διομιλήσαντος καὶ τοιαῦτα τῷ μεγάλῳ μαρτυρήσαντος Μεθοδίῳ, καὶ ὥσπερ τινὰ κατορωρυγμένον χρυσὸν ποιήσαντος τοῦτον κατάδηλον, ναὶ μὴν καὶ τοῦ μεγάλου Ἰωαννικίου—ἐπέλαμπε γὰρ καὶ οὗτος ὁ σελασφόρος ἀστὴρ ἐν τῇ τῶν εἰκονομάχων ἐπικρατείᾳ, τοῖς αὐτοῦ φαιδροῖς ἀμαρύγμασι λύων τὴν ἐκείνων σκοτόμαιναν — τῇ βασιλίδι ταὐτὰ ἐπισκήψαντος, πάντων τὰ ὄμματα ἠτένισαν εἰς αὐτόν, πᾶσαι καρδίαι ἠγάλλοντο ἐπ' αὐτῷ. Οὐ μεθήσειν αὐτὸν ἔλεγον, εἴ τι καὶ γένοιτο, οὐδ' ἂν αὐτοῦ ἀποσταῖεν, μέχρις ἂν τῷ μύρῳ χρισθέντα τῆς ἀγαλλιάσεως τῷ ἱερῷ ἐνιδρύσειαν θρόνῳ, παντὶ τῷ λαῷ τὴν εἰρήνην ἐπιβραβεύσοντα. Οὕτως ἡ βασιλὶς ὁμοῦ τῇ συγκλήτῳ, ναὶ μὴν καὶ τοῖς καταληφθεῖσιν ἁγίοις, ὁροθετήσασα, τοὺς τῆς ἐκκλησίας πέπεικεν οἴακας ἐγχειρισθῆναι καὶ ἄκοντα, ὡς τὸ τῆς ἐκκλησίας καταστορέσαι ναυάγιον, ἐγκαθορμίσαι τε αὐτὴν τῷ ἀκλύστῳ λιμένι Χριστῷ.

16 εὐαγγέλια] Ἰωανν. ζ', 37 || φῶς τῆς ζωῆς] Ἰωάνν. η', 12. — 18 κῶδ. *ὅσπ'ρ τινα*. — 25 μύρῳ ἀγαλλιάσεως] πρβλ. ψαλμ. μδ', 7.

34. Ἀλλ' οὗτος μὲν ὅπως διέπρεψεν, ὅπως καλῶς ἐπεσκόπευσε τοῦ λαοῦ καὶ τῆς οἰκουμένης ἁπάσης σχεδόν, τοὺς θῆρας τε τῆς αὐλῆς ἀπήλασε τῆς δεσποτικῆς καὶ τοὺς γρήγορον ἔχοντας ὄμμα καὶ ἄγρυπνον καὶ τὰ στίγματα πλέον τοῖς σφῶν σώμασι περιφέροντας τοῦ Χριστοῦ φύλακας αὐτῇ κατεστήσατο, καὶ πᾶσαν ἄθεον αἵρεσιν ψυχῆς ἀνθρώπου παντὸς ἀποσκορακίσας Ταρτάρῳ παρέπεμψε καὶ ἀειζώῳ πυρί, μακρότερον ἂν εἴη λέγειν ἢ κατὰ ταῦτα. Ἐκείνων δ' ἡμῖν ὁ λόγος ἐχέσθω καὶ νῦν, εἰς ἃ μοι ἀρχῆθεν ὥρμηται λέγειν. Ὡς οὖν ἡ βασιλὶς Θεοδώρα τὰ τῆς ἐκκλησίας εἶδεν οἰκοδομηθέντα καλῶς, προτεθύμητο καὶ τὸν ἅγιον Μιχαὴλ ὅσον τὸ ἐπ' αὐτῇ τῶν μακρῶν ἀναπαῦσαι καμάτων· διὸ καὶ τὸν περικαλλῆ τῆς Θεοτόκου σηκόν, τὸν Χώραν αὐχοῦντα τὴν κλῆσιν, αὐτῷ δίδωσι καὶ θερμότατα λιπαρεῖ φοιτᾶν ὡς αὐτήν, πρὸς δὲ καὶ πρὸς τοῦ μεγάλου Μεθοδίου σύγκελλος ἀκούειν βιάζεται. Ἀλλ' ὁ μὲν μετὰ βραχὺ τὴν ἀπὸ τοῦ σώματος ἐκδημίαν ἐκ θειοτέρας προμηνύεται ὄψεως· ἐντεῦθεν προσφθέγγεται πᾶσι τὰ ἐξιτήρια· εἰρήνην ἄνωθεν ἐξαιτεῖται τῇ ἐκκλησίᾳ καὶ τὸ αὐτοῦ πνεῦμα εἰς χεῖρας Θεοῦ παρατίθησιν, ὀγδόην διιππεύοντος τοῦ δεκεμβρίου πρὸς τῇ δεκάτῃ. Ὁ οὖν ἱεράρχης Μεθόδιος τῷ ὀπτικῷ τῆς ψυχῆς πάντα περισκοπῶν, καὶ συμποίμενας αὐτῷ καὶ συνεπισκόπους ταῖς ἐκκλησίαις ἀποδοῦναι βουλόμενος, κατ' οὐδὲν αὐτοῦ ἀποδέοντας, ἔγνω καὶ τῷ τῆς οἰκουμένης λαμπτῆρι, τῷ σεπτῷ δηλαδὴ Θεοφάνει, τὴν τῶν Νικαέων ἐγχειρίσαι μητρόπολιν· ἀλλ' ὁ μειλίχιος πάντῃ καὶ προσηνής, ὁ καὶ τοῖς πλεῖστ' ἀποδέουσι τούτου πειθήνιος, τῆς τοιαύτης ὑπακοῆς ἀηδῶς εἶχε καὶ ἀπεχθῶς καὶ τοῦ μεγάλου παρήκουεν ἱερέως. Ὡς δ' οὖν ἐν ἰσορρόπῳ πλάστιγγι τοῦ μὲν ἡ παράκλησις προεχώρει, τοῦ δὲ ἡ ἐπαινουμένη δειλία καὶ ἡ τοῦ χρίσματος ὑποχώρησις, ἴσχυέ τε τὸ παράπαν οὐδεὶς πρὸς ἑαυτὸν ἑλκύσαι τὸν ἕτερον, συνέριθον ὁ πατριάρχης ἑαυτῷ προσλαμβάνει καὶ τὴν βασίλισσαν· καὶ ἣ σθένει παντὶ τοῦτον ἐξελιπάρει καὶ τὸν ἄνακτα Μιχαὴλ τούτου προκαλινδεῖσθαι τοῖς ποσὶ

3 αὐλῆς] Ἰωάνν. εὐαγγ. ι', 1-5. — 4 στίγματα] Γαλατ. ς', 17. — 8 κῶδ. *καταταῦτα*. — 10 κῶδ. *ᾠκοδομηθέντα*. — 15 κῶδ. *μεταβραχὺ*. — 23 κῶδ. *Θεοφάνη*.

παρεσκεύασε καὶ ὑποψελλιζούσῃ φωνῇ—ἦν γὰρ ὁ Μιχαὴλ νήπιος ἔτι—τῷ μητρὶ τὰ ἴσα παρεγγυώμενον. Ἀλλὰ καὶ οὕτως ἠνύετο τῷ πατριάρχῃ μηδὲν· διὸ προσεπικτήσασθαι καὶ ἕτερον ἔγνω συνασπισμόν. Καὶ γοῦν τὸν σοφὸν μεταστέλλεται Μιχαὴλ—περιῆν γὰρ ἔτι τῷ βίῳ—καὶ κοινοῦται αὐτῷ τὰ βεβουλευμένα καὶ ἰσχυρῶς δυσωπεῖ, μὴ ἐμποδὼν αὐτῷ καταστῆναι, ὁρμῇ δὲ πάσῃ καὶ συνεργόν· καὶ ὃς ἕρμαιον ὥσπερ τὸν λόγον εὑρὼν—ἐδεδίει γάρ, ὡς εἴρηται, μὴ τὸ πλήρωμα τῶν εὐσεβῶν στερηθείη τοσοῦδε ποιμένος—σπεύδει καὶ χερσίν, εἰ δεῖ οὕτως ἐρεῖν, καὶ κόμαις καὶ βάσει ποδῶν, καὶ τοιοῖσδε ῥήμασι προσλαλεῖ· "Οὐ κλινῶ γόνυ, οὐ μετάσχω τροφῆς, οὐχ ὕπνου σοι θεαθῶ γευσάμενος ὀπωσοῦν, μέχρις ἂν τὸ ἐμὸν γῆρας κατοικτειρήσας τῷ τοῦ πατριάρχου θελήματι κατανεύσῃς".

35. Τοῦ Μιχαὴλ τοίνυν οὕτωσὶ λέγοντος καὶ ποιοῦντος, ὁ Θεοφάνης πρὸς ταῦτα μὴ ἔχων ὅ τι καὶ δράσειε, μόλις τὴν κεφαλὴν ὑποκλίνει τῷ ἱεράρχῃ καὶ τὴν ἄνωθεν καταπτᾶσαν μέχρις αὐτοῦ χάριν εἰσδέχεται καὶ γίνεται φωτοειδὴς ὅλος, ὅλος λελαμπρυσμένος, ταῖς τοῦ Κυρίου πνεύματος ἀστράπτων φωτοχυσίαις ὁ ταύταις ἀεὶ ἐντρυφῶν, καὶ τοῦτο βρεφόθεν ἔχων ἐφιζάνον ἐν τῇ ψυχῇ, καὶ δίδοται τοῖς λαοῖς "εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν", τοῦ εἶναι εἰς σωτηρίαν· πρὶν γὰρ ἐν κοιλίᾳ πλασθῆναι, ἠπίστατο καὶ τοῦτον Θεός, καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ μήτρας ἡγίακεν· ὃς τὴν ὀσφὺν περιζωσάμενος ἀνδρικῶς, ὅσα ἐξ ὕψους ἀκήκοε, σαφῶς διετράνωσεν. Οὕτως αὐτὸν ὁ τῶν Νικαέων περίοπτον εἰσδέχεται θρόνος· οὕτω τοῖς ὑπὲρ Χριστοῦ τραύμασι καλλυνόμενος τῶν τετραυματισμένων κατ' ἄμφω τὴν ἐπιμέλειαν ἐγχειρίζεται· οὕτω τοῖς ἀσκητικοῖς ἱδρῶσι καὶ δάκρυσι τὴν ψυχὴν φαιδροτέραν ἡλίου ἀπεργασάμενος, τοῖς βορβόρῳ καλινδουμένοις τῶν ἔργων πιστοῦται τὴν κάθαρσιν· οὕτω τῷ μύρῳ τοῦ χρίσματος κοσμηθεὶς τὰς τῷ καύσωνι τῆς κακίας ἐκτεφρωθείσας πιαίνει ψυχάς· οὕτως ὁ τοῦ ἀμνοῦ τοῦ μεγάλου θαύματος ἱερεύς, τοῦ Θεοῦ τοῦ αἴροντος πάντων τὰς ἁμαρτίας, τοῦ οὐρανίου ἄρτου, τοῦ ζῶντος ὕδατος, τοῦ

1 κῶδ. *ὑπο ψελλιζούσῃ*. — 9 κῶδ. *κόμεσι*. — 19 Ἡσαΐα μβ', 6. — 30 Ἰωαν. εὐαγγ. α', 29. — 31 οὐρανίου ἄρτου] Ἰωάνν. ς', 31-35.

πολυτίμου μαργάρου, πλουτισθῆναι τούτοις καθίστησιν. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

36. Ὀπηνίκα δὲ τῆς πόλεως ὁ ἐμὸς ἐπιβέβηκε στεφανίτης, ὡς ἀπό τινος σκοπιᾶς ἄρδην πάντα περιαθρήσας καὶ πολλοῖς δεόμενα κατανοήσας τῆς ἐπισκέψεως, ἅτε δὴ τὸ φθάσαν κακὸν ὡς ἔξιν λαβὸν εἰς βάθος ὤπται τὸ βρότειον ἅπαν νεμόμενον, ᾧ τινι εὐπετῶς οὐκ ἔστι τούτου μεθίεσθαι· ψυχὴ γὰρ ἐφ' οἱῳδήποτε ποιωθεῖσα καὶ ἀγαθὸν ἐκεῖνο λογισαμένη εὐχερῶς αὐτοῦ οὐκ ἀφίσταται, εἰ μή τις ταύτην ἀνθέλξει βίᾳ καὶ ἐπικλινεῖ πρὸς τὸ ἕτερον· ὅτε δ' ἐκεῖσε χρονοτριβήσει, τότε καθαρῶς αὐτῇ τὸ κρεῖττον ἔστιν ἐκλέγεσθαι· ὁ δὲ μέγας, ἐπεὶ βίαν τοῖς ἀνθρώποις οὐκ εἶχεν ἐπάγειν, οὐδὲ γὰρ οὕτω τοῖς ἀποστόλοις ὁ Κύριος ἐνετείλατο, τί ποιεῖ; Ἄλλοις μὲν διὰ τὴν εἰσρέουσαν τοῖς ὀφθαλμοῖς τῶν χρημάτων ἡδύτητα καὶ πρόσαντες ὑπάρχει καὶ δυσαχθές, ἐκείνῳ δὲ καὶ προσφιλὲς ἄγαν· συχνοῖς ἐπισκόποις πυκάζει τοὺς κύκλῳ τῆς σφετέρας ἐπαρχίας οἰκήτορας. Καὶ αὐτὸς δὲ νύκτωρ καὶ μεθ' ἡμέραν μὴ δοὺς ἑαυτὸν ὅλως ἀνέσει, ἀλλὰ τοῖς θείοις ἐντρυφᾶν δόγμασι παρασκευάζων τοὺς ὑπ' αὐτόν, ὅσα τε τὰ θεῖα ὑπαγορεύουσιν εὐαγγέλια, καὶ ταῦτα πυκνῶς ὑπανακρουόμενος, ἔσπευδε, μὴ ἁγιασθέντες τὴν πίστιν κατὰ τὰς ἐντολὰς ὑποσκάζοντες φαίνοιντο, κἀκ τούτου δοκοῖεν τὸ πᾶν ἀθεράπευτον· τῷ τοι συντόνως κατέτεινεν ἑαυτὸν καὶ δάκρυσιν ἁπλέτοις ἐξελιπάρει τὸ θεῖον, ἕως τὰς ἐν βάθει ῥυτίδας ἅπαντες τοῖς τῆς μετανοίας ὕδασιν ἀποσμηξάμενοι ἑαυτοὺς ὡς ἀρτιγενεῖς ἔφθησαν ἀναδύντες ἐκεῖθεν, μηδὲν ἕτερον ἐπιζητοῦντες, ἢ τὸ γάλα, ὃ ὁ κοινὸς πατήρ, ὁ τοῦ Θεοῦ ἱερεὺς τῆς μητρὸς ἐκμυζῶν ἐκκλησίας, τοῖς χείλεσιν αὐτῶν ἐπιδαψιλεύσαι· καὶ οὕτω, κατὰ τὸν ἀπόστολον, ἐβλέποντο φθάνοντες "εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ."

37. Οὕτως ἰθύνας ὁ ἀγαθὸς κυβερνήτης τὴν ναῦν, οὕτω γαληνῶς τοῖς ἀκυμάντοις λιμέσι ταύτην ἐγκαθορμίσας ἐπὶ χρόνοις

1 πολυτίμου μαργάρου] Ματθ. ιγ', 46.—4 κῶδ. *περιαθροίσας*.—7 κῶδ. *ἐφοιωδήποτε*. — 16 κῶδ. *μεθημέραν*. — 28 Ἐφεσ. δ', 13. —15.

ὅλοις ὀκτώ, μήπω φθάσας εἰς γῆρας, ἀλλὰ τὴν τρίχαν ὑπαργυρίσας ὀλίγον, τὸν τῆς ἀναλύσεως ἐπεφθάκει καιρόν· ἡ γὰρ τῆς ἄνω Σιὼν αὐτὸν ἐκάλει μητρόπολις, ὡς ὑπ' ἀθλοθέτῃ Θεῷ τριπλῷ στεφάνῳ ταινιωθῆναι. Ἐπεὶ δὲ καὶ ἡ κυρία παρῆν, παρῆν καὶ ἡ αἰδέσιμος ἱερατικὴ πολιὰ καὶ ὁ τῶν μοναχῶν τίμιος θίασος, καὶ τῆς συγκλήτου μέρος ῥᾳδίως οὐ μετρητόν· τῆς πολιτείας δ' ἐφιλονείκει τὰ πλήθη τοῖς φύλλοις ἰσωθῆναι τῶν δένδρων, τῶν ὀρνέων τοῖς πτίλοις, ὄμβρων σταγόσι, θαλαττίοις κύμασι, ψαμάθοις αἰγιαλοῦ καὶ ἀστράσιν οὐρανοῦ· πρὸς τούτοις οὐδ' ὅμιλος τῶν παρθένων ἠνέσχετο τῆς τοιαύτης θεωρίας ἀπεῖναι, ἀλλ' ἐφίπταντο καὶ αὗται πανταχόθεν ἀγεληδόν· εἶπεν ἄν τις προσφόρως ἐκεῖνο· "τίνες οὗτοι ὡσεὶ νεφέλαι πετόμεναι καὶ ὡσεὶ περιστεραὶ μετὰ νεοσσῶν"; Οὐδεὶς δὲ πάντως διοίσει καὶ τῶν στρατιωτῶν εἵνεκα τῶν Ἀγγέλων, μὴ τῇ τοῦ δεσπότου προστάξει ὡς αὐτοῦ λειτουργοὺς τῇ καινοφανεῖ τοῦ συνδούλου πορείᾳ παραγενέσθαι, ἐκείνου θέλγοντας τὴν ψυχὴν καὶ τὴν ἄνοδον ὁμαλίζοντας καὶ φωτὸς ἡλίου λαμπρότερον ἐμφανίζοντας· ἀλλὰ καὶ τῶν ἁγίων πᾶς τις τοὺς δήμους πρὸς αὐτὸν ἀφικέσθαι καὶ τῶν ὕμνων προεξάρχειν ὁμολογήσειεν ἄν· καὶ ἁπλῶς εἰπεῖν πάντες ἔτρεχον συναρίθμιον αὐτὸν προσλαβεῖν, ὡς ἀριπρεπέστατα ταῖς διαφόροις αὐτῶν εὐδοκιμήσαντα τάξεσιν. Ὡς οὖν οὕτω πάντες παρεγεγόνεισαν, ὡς μεγάλων ποταμῶν προχοὰς εἰς θάλασσαν ὥσπερ τὴν οἰκίαν αὐτοῦ εἰσρευσάσας ἰδὼν καὶ τοῖς μὲν θρηνοῦσιν ἑαυτοὺς τῆς τοῦ πατρὸς διαζεύξεως εἰρήνην βαθεῖαν ἅμα τῇ ἐκκλησίᾳ παρὰ Θεοῦ ἐξῃτήσατο, τοῖς δὲ θέλουσι τὴν ἀνάλυσιν καὶ αὐτὸς μειδιῶντι προσώπῳ καὶ γαληνῷ συναπελθεῖν ἔσπευδε, τῷ τοι τὸ ὄμμα διάρας εἰς οὐρανὸν καὶ ὑπεξάρας τοὺς πόδας, πόδας ἐκείνους τοὺς εὐαγγελιζομένους εἰρήνην εἰπεῖν ἀποστολικῶς, καὶ ὅλον ἑαυτὸν τῷ τύπῳ κατασφραγισάμενος τοῦ σταυροῦ, τὴν ποίμνην αὐτοῦ πᾶσαν παραθεὶς τῷ Θεῷ ταῖς φίλαις τῶν ἁγίων Ἀγγέλων χορείαις ἡδέως τὴν ψυχὴν παρατίθησι, καὶ ἄπεισι σὺν αὐτοῖς ὁ τὸν βίον αὐτῶν ἐζηλωκὼς μετὰ

9 κῶδ. *ἄστρασιν.* — 12 κῶδ. Ἡσαΐα ξ', 8. — 22 κῶδ. *εἰσρεύσας.* — 28 ἀποστολικῶς] Ῥωμ. ι', 15.

σώματος, τοῖς ὁσίοις ὁ ἀσκητής, τοῖς μάρτυσιν ὁ πολύαθλος, τοῖς πρωτοθύταις ὁ ἱεράρχης, τὴν μακαρίαν καὶ ζωαρχικὴν πρόσκυνήσων Τριάδα· τὸ δὲ τίμιον αὐτοῦ θάπτεται σῶμα παλάμαις ὁσίων καὶ ἱεραρχῶν τὰ πρὸς ταφὴν ἐξυπηρετούμενον, τοῦ ὀκτωβρίου πρώτην πρὸς τῇ δεκάτῃ διερχομένου.

38. Καὶ νῦν ἔστιν ἐν οὐρανοῖς αὐλιζόμενος, τὸν θεῖον γνόφον εἰσδὺς τῆς κρυφιομύστου θεότητος, ἧς τῇ ἀστραπῇ φωτισθεὶς ἄνθραξ ὅλος ἀπεπληρώθη, θεὸς καὶ αὐτὸς κατὰ μέθεξιν καὶ δεύτερον φῶς γεγονὼς καὶ ἔσοπτρον τοῦ πρώτου φωτὸς ἡμῶν διαπορθμεῦον μέχρι τὴν θείαν λαμπρότητα, κύκλῳ περὶ τὸν θρόνον χορεύων Χριστοῦ τοῦ Θεοῦ, τὰς ὑπὲρ ἡμῶν ὁμοῦ ταῖς ἄνω δυνάμεσιν ἱλαστηρίους εὐχὰς προσφέρων αὐτῷ, ὁμίχλην πᾶσαν διασκεδάζων ψυχῆς καὶ Δαιμόνων ἐπήρειαν. Ταῦτά σοι πρὸς ἐμοῦ, πατέρων ὑπέρτατε, καὶ τῷ σῷ πατρὶ καὶ ὁμαίμονι· εἰ μέντοι τῇ ἀξίᾳ σοι τῶν ἐπαίνων βραχύ τι προσέσχομεν, τῷ σῷ Θεῷ χάρις· αὐτῷ γὰρ θαρρήσασα καὶ ταῖς μητρικαῖς ἐντολαῖς πειθαρχήσασα καὶ τῇ σῇ ἀρωγῇ τὸν παρόντα λόγον ἐνεστησάμην· εἰ δέ γε πλεῖστα ἢ παντελῶς εἰπεῖν ἀπελίπομεν, ἀλλά γε τοῦ πόθου κατ' οὐδὲν ἐκπεπτώκαμεν. Σὺ δὲ ἄνωθεν ἡμᾶς ἐποπτεύοις, ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος παρεχόμενος, καὶ τὴν δυσχέρειαν κατευμερήσαις τοῦ βίου, τὴν θύελλαν δὲ διασκεδάσαις τῷ ζεφύρῳ τῆς τοῦ πνεύματος χάριτος. Ἡνίκα δ' ἂν τοῦ βίου ἐκσταίημεν, ταῖς θείαις σκηναῖς ὁ τοῦ Θεοῦ ἱερεὺς ἡμᾶς δέξαιο, ὡς τῇ ζωαρχικῇ τριάδι καὶ παντουργῷ σὺν σοὶ παρασταίημεν καὶ τὸν ἄληκτον ὕμνον συνηχοίημέν σοι διηνεκῶς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

10 κῶδ. *διαπορθμεύων*. — 18 κῶδ. *κατυδὲν*.

X.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΔΕΚΑ ΜΑΡΤΥΡΩΝ

μαρτυρησάντων ἐν Κρήτῃ, μητροπόλει Γορτύνης.

ΘΕΟΔΟΥΛΟΣ, ΣΑΤΟΥΡΝΙΛΟΣ, ΕΥΠΟΡΟΣ, ΓΕΛΑΣΙΟΣ, ΕΥΝΙΚΙΑΝΟΣ

καὶ οἱ λοιποί.

(Cod. Sab. 181 f. 354β-361).

1. Ἐχρῆν μὲν ἥ τῶν πράξεων τῶν ἀγαθῶν ἀνδρῶν ἔργῳ γινομένων ἔργῳ καὶ τὰς τιμὰς δηλοῦσθαι, μὴ λόγῳ βραχεῖ τὴν ἀρετὴν κινδυνεύειν καὶ τὸν τοσοῦτον ἀγῶνα τῇ τοῦ λέγοντος ἀσθενείᾳ ἐσθ' ὅτε καὶ ἐλαττοῦσθαι, ἀξίαν εἰπεῖν δυσέφικτον, καὶ τὸ λεγόμενον ἐν τῇ τῶν ἀκουόντων κινδυνεύειν γνώμῃ (ὅ τε γὰρ πίστει κεκοσμημένος τὴν ψυχὴν ἐλάττον' ἂν νομίσῃ λέγειν τὸν διηγούμενον, ὡς πεπονθέναι τοὺς ἁγίους πιστεύειν· ὃς δὲ ἐλαφρὸς τὴν ψυχὴν καὶ τὴν πρὸς τὸ θεῖον προαίρεσιν ἀσθενής, μικρὰ πράγματα λόγοις ἐξευρεῖν νομίσει τῶν διηγουμένων), ὡς εἶναι πανταχοῦ χαλεπὸν τῷ περὶ τοιούτων ἐγχειρεῖν μέλλοντι· ἀλλὰ μὴν οὐκ ὀκνητέος ὁ κίνδυνος· πιστεύσας δὲ τῷ δεσπότῃ Χριστῷ καὶ αὐτοῖς

2 κῶδ. *κρήτι* || κῶδ. *γορτοίνης*.—6 κῶδ. *Ἐχρὴν μὲν ἡ*.—7 κῶδ. *τιμᾶς* || κῶδ. *μὴ λ. βραχεὶ*. — 8 κῶδ. *κινδυνεύην - - τοσούτον ἀγώνα - - - λέγωντος ἀσθενία ἐσθ'ὅτε καὶ ἐλαττούσθαι*.— 9 κῶδ. *δυσέφηκτον, καὶ τολεγ*.—10 κῶδ. *ἀκουώντων κινδυνεύην γν. ὅτε* — 11 κῶδ. *καὶ κοσμημένος τ. ψ. ἐλάττονὰν* || διηγούμενον] κῶδ. *διμηούργούμενον*. — 12 κῶδ. *ἁγίους πιστεύην ὡς*.—13 κῶδ. *θείον προΐρεσιν ἀσθενῆς μηκρὰ*.—14 κῶδ. *νομήσει τ. διήγουμένων εἶναι*.—15 κῶδ. *χαλαὶπὸν τὸ περιτοιοὖτων* || κῶδ. *μῖνοὐκόκνητέως*. — 16 κῶδ. *κίνδοινος* || κῶδ. *δεσπότι*.

τοῖς ἁγίοις τοῖς ἀθλήσασιν, ὡς ἂν οἷός τε ὦ, διηγήσομαι τὸ μαρτύριον τῶν ἐν τῇ μητροπόλει Κρητῶν Γορτύνῃ ἁγίων.

2. Τῇ πρὸ δέκα καλανδῶν ἰαννουαρίων ἐξεκαίετο μὲν τὰ τῶν εἰδώλων καὶ κατὰ πᾶσαν πόλιν οἱ τοῦ Θεοῦ δοῦλοι κατεπονοῦντο, διωκόμενοι παρὰ ἀθέων ὑπηρετῶν τοῦ διώκοντος· ἦν δὲ τοῦτο προστάττων καὶ διατάγματα πέμπων Δέκιος, τὸ τηνικαῦτα τῆς Ῥωμανίας βασιλεύων, ὥστε ἐν πάσῃ τῇ ὑπ' αὐτὸν βασιλείᾳ ⟨πᾶσα τύχη⟩ εἴ τις μὴ βούλοιτο τῇ θεραπείᾳ τῶν θεῶν κατὰ τὴν αὐτῶν θρησκείαν προσάγεσθαι καὶ ἐν τῇ εὐωχίᾳ καὶ τέρψει τῶν κτιζομένων * μὴ εὑρίσκεσθαι, τοῦτον ἀπαραιτήτως πάσῃ τιμωρίᾳ ὑποβαλλόμενον ἀπόλλυσθαι. Κλατήμεος τοίνυν τοὔνομα λαβὼν τὴν τῆς ὑπατικῆς ἀρχῆς τῶν Κρητῶν ἐξουσίαν καὶ τὸ παράνομον πρόσταγμα, μέλλων ἀφιεροῦν τὸ τῆς Τύχης τέμενος ἐπὶ ἱερέως τῶν εἰδώλων Μαρανφηρίστου προσεκαλεῖτο ἐγγράφως πάντας τοὺς οἰκοῦντας τὴν χώραν παραγενομένους τὴν εὐωχίαν ἐπιτελέσαι τοῦ εἰρημένου οἴκου, εἰδότας τοὺς παρακούοντας κεφαλικὴν τιμωρίαν ἔξειν καὶ τὰ προσόντα αὐτοῖς τῷ ταμείῳ προσοικειοῦσθαι.

3. Συνελθόντων τοίνυν σχεδὸν πάντων τῶν οἰκούντων τὴν νῆσον, καὶ ἐπιτελουμένης πανδημικῆς ἑορτῆς, οἱ ἅγιοι μάρτυρες ἐκ μέσου τοῦ πλήθους ἀνέκραγον λέγοντες· "Τί πλανᾶσθε, ὦ ἄνθρωποι, πρὸς ὀλίγων ἀπατώμενοι; ὑπομείνατε τὸν καιρὸν τοῦτον, ὅτι Χριστός ἐστιν βασιλεύων [εἰς] τὸν αἰῶνα, καὶ ὄψεσθε τὴν δόξαν αὐτοῦ μετ' ὀλίγον στρεφομένην. Ἀνανήψωμεν οὖν καὶ στῶ-

2 κῶδ. *τημητρ. κριτῶν γ. ἁγίων.* — 3 κῶδ. *προδέκα κ. ἰαννουάριων.* — 4 κῶδ. *εἰδόλων - - πάσαν πόλην* || κῶδ. *κατεπονούντο.* — 5 κῶδ. *ἦν.* — 6 κῶδ. *πρὸστάττον* || κῶδ. *πέμπον* || κῶδ. *τηνικαίτα.* — 7 κῶδ. *ὥστε - - ἐιπαὐτον β. πάσα.* — 8 κῶδ. *ἤτις.* — 9 κῶδ. *θρεισκίαν πρὸσἄγεσθαι κ. ἐντιεὐωχία* || κῶδ. *κτηζωμένων* — 10 κῶδ. *εὑρίσκεσθαι τ. ἀπαρετήτως π. τῇ μωρία ὑπὸ.* — 11 κῶδ. *τούνομα, λαβῶν.* — 12 κῶδ. *ὑπατικῆς* || κῶδ. *κριτῶν - - καὶ το.* — 13 κῶδ. *μέλλον* || κῶδ. *τύχεως τ. ἐπιὲρ.* — 14 κῶδ. *εἰδόλων μαρανφηρίστον πρὸσεκαλεῖτο.* — 15 κῶδ. *οἰκοῦντας τ. χῶραν π. εὐὠχίαν ἐπιτέλεσαι.* — 16 κῶδ. *εἰρημένου οἴκ. εἰδότας* || κῶδ. *τιμωρείαν.* — 17 κῶδ. *ἔξειν κ. τ. πρὸσὅντα α. τ. ταμίειπρὸς οἰκειούσθαι.* — 18 κῶδ. *σχεδῶν π. τ. οἰκούντων τ. νήσσων.* — 19 κῶδ. *ἐὠρτῆς οἱ ἅγ.* — 20 κῶδ. *ἀνέκραγων* || κῶδ. *πλανάσθαι.* — 21 κῶδ. *ὀλίγων ἀπατόμενοι· ὑπομείναται τ. κ. τούτον.* — 22 κῶδ. *ὅτι χ ἐστὶν β. τῶν αἰὼνα κ. ὄψεσθαι.* — 23 κῶδ. *μετολίγον* || κῶδ. *ἀνανίψωμεν.*

μεν καὶ δείξωμεν διὰ τῆς ἡμῶν ἀνδρείας τὴν τῶν μὴ ὄντων θεῶν ἀσθένειαν". Ὁ δὲ ἀνθύπατος Κλατήμεος ἀπηνὴς μὲν τὸν τρόπον, ἀμείλικτος δὲ τὴν προαίρεσιν, ὡς αὐτῷ τῷ πράγματι διέξεισιν, ἀκούσας ἐκέλευσεν αὐτοὺς ἐκ τοῦ δήμου ἁρπαγέντας ἐν τῷ μέσῳ στῆναι· καὶ προσάγονται οἱ προρρηθέντες ἅγιοι συλληφθέντες, πέντε μὲν ἐξ αὐτῆς τῆς μητροπόλεως Γορτύνης, οἵ εἰσιν Θεόδουλος, Σατορνῖλος, Εὔπορος, Γελάσιος, Εὐνικιανός, ἐκ τοῦ μέρους τῆς αὐτῆς πόλεως, τοῦ γένους Ἑρμέου· ἀπὸ δὲ Κνωσσοῦ Ζωτικός, ἀπὸ δὲ Ὀβίνης Πόντιος, ἀπὸ δὲ τοῦ Πανόρμου Ἀγαθόπους, ἐκ δὲ τῆς Κυδωνίας Βασιλείδης, καὶ ἀπὸ τοῦ Ἡρακλείου Εὐάρεστος· οὓς τινας θεασάμενος οὐκ εἰς κολακείαν οὐδὲ φιλάνθρωπον γνώμην ἐτράπη, οὐδὲ τὸ κοινὸν τοῦτο προετρέψατο, καθάπερ οἱ λοιποὶ πάντες, εἰς τὸ μιαροφαγῆσαι· ἀλλ' ἐποίει μὲν αὐτοὺς ἀντὶ τῆς ἐκκλησίας οἰκῆσαι ἐν τῷ δεσμωτηρίῳ, πᾶσαν δὲ μηχανὴν καὶ πᾶσαν βασανιστήριον ὀργάνωσιν εἰς τὴν ὑστέραν ἐκέλευσεν παρασκευάζεσθαι, ἀπειλῇ ἐλπίσας ταράξαι τὰς τῶν ἁγίων ψυχάς. Καὶ ἐπὶ πλείστας ἡμέρας παριστάμενοι τῷ βήματι τοῦ ἀνθυπάτου ἀνεκρίνοντο καὶ διαφόροις αἰκισμοῖς [ἦσαν] στρεβλούμενοι· σπουδῇ δὲ τῶν κατ' ἐκεῖνον τὸν καιρὸν ἀκμαζόντων Ἑλλήνων καὶ [διὰ] συγχωρήσεως τοῦ δικαστοῦ περιήγοντο μὲν κακουχούμενοι καθ' ἕκαστον τῶν ἐν τῇ πόλει ἱερῶν, ἑλκόμενοι βίᾳ ἐπὶ τοὺς βωμοὺς σπένδειν τε καὶ μιαροφαγεῖν, ἔφερον δὲ ἐπὶ ἡμέρας ὅλας τὸν ἀριθμὸν τριάκοντα καὶ πλείω τῶν τε νεωκόρων [καὶ] τοὺς

1 κῶδ. *δείξομεν διατῆσ ἡμῶνανδρέιας* || κῶδ. *ὀντων.*—2 κῶδ. *ἀσθένιαν. ὁδὲανθ. κλατήμεως* || κῶδ. *ἀπηνῆς.* — 3 κῶδ. *προαῖρεσιν· ὡς αὐτῶ τὸ πράγματι δειἔξεισιν.* — 4 κῶδ. *ἁρπαγέντας.* — 5 κῶδ. *πρὸσἄγονται οἱ προρρηθὲνἅγιοι.* — 6 κῶδ. *γορτοίνης.* — 7 κῶδ. *σατορνείλος* || κῶδ. *εὐνικηἀνός.* — 8 κῶδ. *γένου ἑρμέου· ἀποδὲ κνόσου.* — 9 κῶδ. *ζοτικός* || *Ὀβίνης*] οὕτως ὁ κῶδιξ. — 10 κῶδ. *κυδονίας - - ἡρακλήου.* — 11 *ἐυἄρεστος· οὓς τινὰς θεὰσ. οὐκειεκολακίαν.* — 12 κῶδ. *ἐτράπει* || κῶδ. *τούτο πρὸετρ.* — 13 κῶδ. *καθάπὲρ οἱ λυποὶ π. εἰστομηαροφαγείσαι, ἀλλεποίεἰ.* — 14 κῶδ. *οἰκίσαι - - πάσαν.* — 15 κῶδ. *πάσαν β. ὀργάνων.* — 16 κῶδ. *ἀπηλὴ.* — 17 κῶδ. *ἁγίων - - ἐπιπλείστας.* — 18 κῶδ. *διἀφόροις.* — 19 κῶδ. *τονκατεκείνον - - ’λλήνων.* — 20 κῶδ. *καὶ συγχωρίσεως - - περιήγων.* — 21 κῶδ. *καθέκαστον - - ἱερῶν ἑλκ. - - βομους.* — 22 κῶδ. *ταὶ καὶ μηἀροφ., ἔφ. δὲ επιήμέρας ὅλας.* — 23 κῶδ. *τῶν ἀριθμῶν - - πλείω. τῶν τεναὸν τοὺς ἀποτοῦ.*

ἀπὸ τοῦ δημώδους ὄχλου ἐμπαιγμούς. Τυπτόμενοι, ἐμπτυόμενοι, κοπρίαις περιπαττόμενοι καὶ τὰ τοιαῦτα πάσχοντες ὑπέμενον.

4. Τῇ δὲ πρὸ δέκα καλανδῶν ἰαννουαρίων προκαθεσθεὶς ὁ ὠμότατος ἄρχων, πλήρης ὢν θυμοῦ καὶ πικρίας, ἐκέλευσεν παραστῆναι τοὺς ἁγίους ἐν τῷ βήματι· καὶ δὴ προάγονται τῆς φυλακῆς οἱ δεσμῶται, κάμνοντες μέν, ὡς ἐκεῖνος ἐδόκει, λευχειμονοῦντες [δὲ] καὶ ταῖς ψυχαῖς ἀγαλλόμενοι, φαιδρῷ τε τῷ προσώπῳ μόνην ὁρῶντες τὴν πρὸς τὸ θεῖον ἐλπίδα· καὶ γὰρ ὀπτασία τις αὐτοῖς ἐγεγόνει καλοῦσα πρὸς σωτηρίαν· ᾧ δὴ καὶ πλέον πεπιστευκότες, θαρσαλέοι τε καὶ χαίροντες κατειλήφασιν τὸ δικαστήριον· πληρωσάντων γὰρ αὐτῶν ἐν τῷ δεσμωτηρίῳ τὰς συνήθεις εὐχάς, καὶ μικρὸν τοὺς ὀφθαλμοὺς ἐπιμυσάντων εἰς ὕπνον, παραστὰς αὐτοῖς νεανίσκος λευχείμων ἐβόησεν· "Ἐγγὺς τὸ στάδιον· στέφανος ἀφθαρσίας [ὑμῖν] ἕτοιμος". Ἑσπέρας δὲ βαθείας γενομένης εὐξάμενοι τῷ Θεῷ διόλου κρατύναι τούτοις τὸν ἐπὶ τῇ θεοσεβείᾳ λογισμὸν ἡσύχασαν ἡδέως· ὁ δὲ τῶν ὅλων ἔφορος Ἰησοῦς Χριστὸς μίαν γνώμην τούτοις ἔχουσιν, μίαν ὄψιν τούτοις εἰς εἰκασίαν τοῦ μέλλοντος ἐξαπέστειλεν· ἐδόκουν γὰρ κατὰ ταὐτὸ ἀμφότεροι ἐπιβεβηκέναι νηὸς ὑπὸ πνευμάτων ἀτάκτων ἐν μέσῳ πελάγους χειμαζομένης συνεχῶς κατὰ τῶν πλευρῶν ἐκ τῆς τῶν ἀνέμων βίας, προσρηγνυμένου τοῦ κύματος εἴς τε τὴν τρόπιν καὶ ὅσα συνέχειν τὴν ὁλκάδα πέφυκεν· καὶ ἄλλων τε ἀλλαχοῦ προσρηγνυμένων, καὶ τῶν μὲν εἰς τὸ κλυδώνιον καταδυομένων, ἑτέρων δὲ πρὸς τοῖς σκοπέλοις δίκην ἰχθύων περιπειρωμένων, μόνους ἑαυτοὺς ἐθεώρουν ὑπὸ τῆς τοῦ κυβερνήτου

1 κῶδ. *ἐμπεγμούς.* — 2 κῶδ. *τοιαῦτα π. ὑπέμενον.* — 3 κῶδ. *προδέκα κ. ἰαννουάρίων προκαθεσθῆς ὁ ὠμ.* — 4 κῶδ. *θοιμοῦ.* — 5 κῶδ. *παραστίναι τ. ἁγ. ἐν τῶβίματι. καὶ δὴ προάγωντε.* — 6 κῶδ. *φοιλακῆς* || κῶδ. *μενῶσὲκήνος ἐδώκει, λευσχημονούντες.* — 7 κῶδ. *ἀγαλλώμενοι φαιδρώτε.* — 8 κῶδ. *ὁρώντες τ. προστοθείον - - ὀπτασία.* — 9 κῶδ. *ἐγεγώνι καλούσα - - ὧ δῆ.* — 10 κῶδ. *πεπιστευκώτες.* — 12 κῶδ. *ὀφθαλμοὺς.* — 13 κῶδ. *νεἀνίσκοσ. λευσχήμων ἐ. ἐγγοῖς.* — 14 κῶδ. *ἔτοιμος. ἐσπέρας.* — 15 κῶδ. *διὄλου κρατοίναι - - θεὸσεβεία.* — 16 κῶδ. *ἠδέως - - - ὅλων.* — 17 κῶδ. *μήαν - - μήαν ὅψιν τ. εἶς εἰκεσίαν.* — 18 κῶδ. *καταὐτῶν.* — 19 κῶδ. *νιὸσϋποπν.* || κῶδ. *χημαζομένης* — 20 κῶδ. *πρὸσρηγ. τουκύματος.* — 21 κῶδ. *τρόπην.* — 22 κῶδ. *πρὸσρηγ.* — 23 κῶδ. *καταδυόμένων, ἕτερον δὲ προστοῖς.* — 24 κῶδ. *ἐαὐτοὺς ἐθεόρουν ὑπὸ τ. τ. κυβερνίτου.*

*

τέχνης σῳζομένους, ἐσθῆτα λαμπρὰν περιβεβλημένους καὶ προσβάντας ὄρει, καλῶς τε καὶ πρὸς τὸν οὐρανὸν ἀνατεινομένους. Τοῦτο γοῦν κατὰ ταὐτὸ θεασάμενοι τῆς νυκτὸς ἄφνω διηγέρθησαν, θάτερος θατέρου ἀγνοοῦντος τὴν ὀπτασίαν διηγήσασθαι βουλόμενος· ὡς δὲ τὴν τοῦ Θεοῦ χάριν ἴσην ἐπ' ἀμφοτέροις φανεῖσαν ἤσθοντο, χρηστὰς ἔχοντες τὰς περὶ τοῦ μέλλοντος ἐλπίδας, ἐπὶ πρόσωπον πεσόντες ὕμνον τινὰ τῷ Χριστῷ ἀνέπεμπον· τοιαῦτα δὲ προσευχομένων αὐτῶν ἴσως παρῆσαν οἱ τὴν φρουρὰν διὰ φροντίδος ἔχοντες, φάσκοντες ἐπιζητεῖν τὸν ἀνθύπατον τοὺς ἐν τῇ φυλακῇ.

5. Κελεύσαντος δὲ τοῦ ἀνθυπάτου περιδυθῆναι μὲν αὐτῶν τοὺς χιτωνίσκους κελεύει, ἥκειν δὲ γυμνοὺς ἐπὶ τὸ βῆμα, τὴν αἰδῶ μόνην μικροῖς ῥάκεσιν καλύπτοντας· πολλοῦ τε θορύβου παρὰ τῶν Ἑλλήνων γενομένου πρὸς τὸ ὡς πονηρὰν καταλύεσθαι θρησκείαν, οὐκ ἐταράχθη μὲν οὐδεὶς τῶν εὐλαβῶν ἐκείνων καὶ θεοφιλῶν ἀνδρῶν, εἱστήκεισαν δὲ πρὸς τὸ κρεῖττον ἀφορῶντες καὶ τὴν ἐλπίδα περιμένοντες μόνην, ὀλίγα πεφροντικότες τῆς ἐν ἀνθρώποις σωτηρίας. Στενῆς δὲ λοιπὸν ἐνταῦθα τῆς ἐρωτήσεως, πότερον βούλονται μιαροφαγεῖν καὶ εἰδώλοις θύειν πειθόμενοι τοῖς βασιλικοῖς προστάγμασιν, ἢ παραυτὰ κολάσει καὶ τιμωρίαις ὑποβαλέσθαι, ὡς οὐκ οὔσης περὶ τούτου οὐδεμιᾶς ἀναβολῆς, ἐνταῦθα λοιπὸν ὁ φερώνυμος ὄντως Θεόδουλος, καὶ γὰρ ἦν αὐτὸς πρεσβύτης καὶ τιμῆς προήκων, ἀνατείνας μετὰ παρρησίας τὴν χεῖρα καὶ κατασείσας τὸν ὄχλον παῦσαι τὸν θόρυβον, ἤτησεν βραχὺ λόγον τὸν ἄρχοντα. Τοῦ δὲ μόλις ἐνδόντος ἔφη ὁ Θεόδουλος· "Μηδείς,

1 κῶδ. *ἐσθήτα λ. π. καὶ προσβάντας.* — 2 κῶδ. *τούτο γ. καταὐτό.* — 4 κῶδ. *ἀγνωούντες τ. ὀπτ. διηγήσ.* — 5 κῶδ. *ἐπαμφοτέροις φανίσαν εἴσθοντο.* — 6 κῶδ. *χριστᾶς ἔχ. τασπερὶ* || κῶδ. *βουλόμενοι.* — 7 κῶδ. *ὕμνον - - τοιαῦτα δὲ προσεύχ. α. ἴσως παρήσαν.* — 9 κῶδ. *επηζητὴν τ. ἀ τ. ἐντιφυλ.* — 10 κῶδ. *περιδυθήναι.* 11 κῶδ. *εἴκην - - βήμα.* — 12 κῶδ. *ἐδῶ.* — 13 κῶδ. *ἑλλήνων* || κῶδ. *θρεισκείαν.* — 14 κῶδ. *οὐκεταράχθημεν οὐδεῖς* || κῶδ. *θεόφιλῶν.* — 15 κῶδ. *εἰστήκεισαν - - κρίττον ἀφορώντες.* — 16 κῶδ. *ὁλίγα - - τῆς ἐνανοις.* — 17 κῶδ. *δελυπὸν ἐνταύθα.* — 18 κῶδ. *βούλοντε μιάροφ. κ. εἰδόλοις θ. πηθόμ.* — 19 κῶδ. *βασιλεικοῖς πρὸστάγμ. ἢ πάραυτὰ* || κῶδ. *τημωρίαις ὑποβαλλ.* — 20 κῶδ. *οὐκούσης περιτούτου οὐδεμίας ἀ. ἐνταύθα.* — 21 κῶδ. *λυπὸν ὁ φερόνυμοζὄντος - - ἦν.* — 22 κῶδ. *προεῖκον, ἀνατήνας - - χείραν.* — 23 κῶδ. *κατὰσίσας τ. ὄ παύσαι.* — 24 κῶδ. *μηδεῖς.*

ὦ οἱ παρόντες, εἰς δειλίαν ἡμᾶς ἐλπίσοι καταστῆσαι θορύβου καὶ ταραχῆς ἐμπλήσασθαι τὸ δικαστήριον, μηδὲ τὸ πολύτροπον τῶν δικαστηρίων ὀργάνων πλῆθος καθαίρειν νομιζέτω τις τὸ πρὸς τὸ θεῖον ἡμῶν φρόνημα, μηδὲ τοσοῦτον ἀσθενήσοιμεν τὰς ψυχάς, μηδὲ πάθοιμεν τοῖς περιεστῶσιν ἔθνεσιν τὰ παραπλήσια, οἳ παριδόντες τὸν τῶν ὅλων δημιουργόν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸν διακοσμήσαντα τοῖς στοιχείοις τὰ σύμπαντα, τὸν ἐπιθέντα τάξιν τοῖς ἀτάκτοις, τὸν τῇ χορείᾳ τῶν ἄστρων ποικίλαντα τὸν οὐρανόν, τὸν τὸν ἥλιον καὶ τὴν σελήνην ἐγκαταστήσαντα τοῖς ὅλοις, ἐπὶ λίθους καὶ ξύλα καὶ τὰς τοιαύτας ὕλας καταφεύγειν τολμᾶτε, ὧν ὁρᾶτε καὶ δημιουργοὺς οὐ θαυμαστούς τινας καὶ λογάδας, ἀλλὰ τοὺς εὐτελεῖς τῶν ἀνθρώπων καὶ χειροτέχνας. Ἡμεῖς δέ, οἷς λιτότης βίου, οἷς ἀρετὴ σύντροφος, οἷς ἐγκράτεια διὰ σπουδῆς, καταφρονήσομεν τῶν εὐτελῶν ἐκείνων καὶ γηίνων, εἰδότες ἀνθρώπων ταῦτα παίγνια. Χριστὸν δὲ καταγγέλλομεν καὶ τοῖς οὖσιν ἀξίοις τοῦτον εὐαγγελιζόμεθα".

6. Ταῦτα ἀκούσας ἐταράχθη ὁ δῆμος ἅπας, ἐξεκαίετο δὲ ὁ ἀνθύπατος πικρῶς· καὶ τὰ μὲν πρῶτα κατὰ τοῦ σώματος κελεύει μαστίζεσθαι τοὺς ἁγίους, τῶν δὲ λεγόντων μίαν καὶ τὴν αὐτὴν ἔχειν Θεοδούλῳ πίστιν καὶ κοινὸν εἶναι τὸν εἰρημένον παρ' αὐτοῦ λόγον, καὶ πάντων ὡς ἐξ ἑνὸς στόματος ὑμνολογούντων τὸν Θεόν, πῦρ αὐτοῖς ἀναρτήσας κατὰ τῶν πλευρῶν κελεύει προσάγεσθαι· καὶ οὐ τοῦτο [μόνον] δεινόν, καίπερ ὂν δεινόν, ἀλλὰ καὶ τριχῶν ὑφάσμασιν μετὰ πλείστου ἁλὸς προστρίβεσθαι κελεύει τῷ σώματι·

1 κῶδ. *διλίαν ἡμᾶς ἐ. καταστήσαι.*— 2 κῶδ. *ἐμπλήσαστὸ δ., μὴδὲ το.*—3 κῶδ. *ὀργάνων πλήθος - - τίς.* — 4 κῶδ. *θεῖον ἡμῶν φρόνιμα, μὴδὲ τὸ σούτον ἀσθενισοι μὲν τὰς ψυχᾶς.* — 5 κῶδ. *μὴδὲ πάθημεν τ. περιὲστώσιν ἔ. τ. παρὰ πλήσια, οἳ παρὶδόντες.* — 5 κῶδ. *ὅλον δημιοὐργὸν.* — 7 κῶδ. *γὴν τ. διὰκοσμ. τ. στυχίοις.*— 8 κῶδ. *τηχωρία.* — 9 κῶδ. *οὖνὸν, τ. ἥλιον.* — 10 κῶδ. *ὅλοις, ἐπὶ λήθους - - - τοιαῦτας ὕλας.*—11 κῶδ. *τολμᾶται. ὧν ὁρακαιδημιοὐργοὺς.* — 12 κῶδ. *χειρωτέχνας.*—13 κῶδ. *δὲ οὐ λιτ. βίου: οἷς ἀρετῆ - - ἐγκρατεία διάσπουδῆς καταφρονίσωμεν.* — 15 κῶδ. *εἰδώτες - - πέγνια - - κατὰγγέλομεν.* — 16 κώδ. *τοῖσούσιν ἀξίοις τούτον.*—17 κῶδ. *ταύτα - - δήμος ἅπαν.* — 18 κῶδ. *πρότα.*—19 κῶδ. *μαστήζεσθετοὺς ἁγίους.*—20 κῶδ. *θεόδούλου πίστην - - εἶναι τ. εἰριμένον παραὐτοῦ.* — 21 κῶδ. *ἐξενῶς στ. ὑμνολ.*— 22 κῶδ. *ἀναρτίσας - - προσἄγεσθαι.* — 23 κῶδ. *τούτο δινόν, κ. ὂν δινόν.*—24 κῶδ. *πλήστου ἁλὸς πρὸστρίβ.*

οἳ δὲ τοσοῦτον ἀπέσχοντο τοῦ κολακεύειν, ἢ νομίζειν δεινὰ πεπονθέναι, ὥστε καὶ ψαλμοῖς καὶ ᾠδαῖς ταῖς πρὸς τὸ θεῖον ἑνὸς ἀρχομένου, Θεοδούλου, πάντες ὑπήκουον· ἦν δὲ οὐδὲν ἄλλο τὸ παρ' αὐτῶν λεγόμενον, ἢ τοῦτο· "Μακάριοι οἱ ὑπομείναντες πάντα· ἡτοίμασται γὰρ αὐτοῖς παράδεισος ἀφθαρσίας· μακρὰν ἀσεβῶν οἰκισθήσονται. Θεάσασθε τοὺς παρεστῶτας ἡμῖν, ἄπιστοι, καταφρονεῖν μὲν τῶν οἰκτρῶν τούτων βασανιστηρίων κελεύοντας, ἀκολουθεῖν δὲ πρὸς ἀγαθὴν ἐλπίδα καὶ βίον εὐδαίμονα [τὸν] καὶ ζωὴν ἀφθαρσίας ἔχοντα". Καὶ ταῦτα τῶν ἁγίων εἰπόντων ὁ ἀνθύπατος Κλατήμεος ἔφη· "Ἀνόσιοι, οὐδέπω ἥσθεσθε τῶν βασάνων"; Οἱ ἅγιοι μάρτυρες εἶπον· "Αἱ παρὰ σοῦ βάσανοι καὶ αἱ παρὰ τοῦ συμπεπλανημένου σοι ὄχλου ἡμῖν χαρὰ καὶ ἀγαλλίασις γέγονεν, τοσαύταις ἡμέραις εὐωχουμένοις ἐν αὐταῖς". Ὁ ἀνθύπατος εἶπεν· "Αἱ μὲν πρότερον ἡμέραι ἔδοξαν ὑμῖν, ὡς φατέ, εὐωχία· νῦν δὲ ὄψεσθε δύναμιν ὧν ἐλοιδορήσατε θεῶν". Οἱ μάρτυρες εἶπον· "Οὐκ εἰσὶν λίθινοι καὶ ξύλινοι καὶ χρυσῷ καὶ ἀργύρῳ τούτους περιχρίετε; ἀλλὰ Δαίμονές εἰσιν οἱ ἐμπαίζοντες ὑμῖν ὕλῃ νεκρᾷ καὶ ἀψύχῳ". Ὁ ἀνθύπατος ἔφη· "Οὐκ ἔστιν ὕλη νεκρά· ἢ οὐχ ὁρᾶτε τοὺς παρεστῶτας σοφούς, οἵτινες πεπεισμένοι εἰσίν; τὴν τοῦ μεγάλου Διὸς δύναμιν καὶ πάντα τὰ ἐν αὐτῇ [τῇ πόλει] ἱερά; ὡς καὶ αὐτοὶ ἐθεάσασθε, οἵαις θυσίαις καὶ οἵοις ἀναθήμασιν [οἱ θεοὶ] κοσμοῦνται ὑπὸ τοσούτων γεραιρόμενοι"! Οἱ μάρτυρες εἶπον· "Καλῶς εἶπας μέγαν θεὸν τὸν Δία. Οὗτοι οἱ παρ-

1 κῶδ. *εἰ δὲ τοσούτον ἀ τὸ κολακεύην- - δινὰ.*—2 κῶδ. *ὥστε - - προστοθείον ἑνὸς.*—3 κῶδ. *θεόδούλου π. ὑπήκ. ἦν - - παραὐτῶν.*—4 κῶδ. *μακ. οἱπομείναντες.*—5 κῶδ. *ἡτοίμαστε.*—6 κῶδ. *θεάσασθαι παρεστώτας ἡμῖν α. κατὰφρωνὴνδὲ.*—7 κῶδ. *οἰκτρῶν τοὕτων.*—9 κῶδ. *ταύτα τ. ἁγίων εἶπ. δανθ.* — 10 κῶδ. *ἡσθεσθαι.* — 11 κῶδ. *οἱάγιοι μ. εἶπων· αἱπαρασοῦ β. κ. ἐπαρατουσυμπεπλανιμένου.* — 12 κῶδ. *ἡμῖν χ. κ. ἀγαλλήασης.* — 13 κῶδ. *τὸσαύταις ἡμ. εὐωχουμένων - - - εἶπεν.* — 14 κῶδ. *αἱ - - ἔδοξαν ὑμὴν ὡσφαταὶ.* — 15 κῶδ. *ὤψεσθαι δύναμην ὤνελυδωρήσαται θ. οἱ μάρτοιρες εἶπων.* — 16 κῶδ. *οὐκεισὶν λίθεινοι - - καὶαργύρω.* — 17 κῶδ. *περὶ χρήεται - - οἱεμπεζ. ὑμῖν.* — 18 κῶδ. *νεκρὰ - - ἔφη οὐκέστιν ὕλη.* — 19 κῶδ. *οὐχοράται τ. παρεστώτας σωφούς, οἵτινες πεπισμένοι.* — 20 κῶδ. *δοίναμην - - τὰεναυτῇ ἱερὰ.* — 21 κῶδ. *οἵαῖς θ. κ. οἱοὶς.* — 22 κῶδ. *ἀναθ. κωσμούντε ὑπο.* — 23 κῶδ. *τῶν δίαν . οὗτοι.*

εστῶτες, οἱ λογάδες τῶν Ἑλλήνων, οὓς σὺ μαρτυρεῖς ὡς σοφούς, ἀπόγονοι τυγχάνουσι τοῦ Διός, ἀνθρώπου γενομένου θνητοῦ καὶ ἀσελγεστάτου, κατὰ Μίνωα καὶ Ῥαδάμανθυν, καὶ αὐτοὶ δὲ τοῦ Κρητῶν ἔθνους τυγχάνοντες, οὓς ἔδωκεν ὁ Ζεὺς βασιλεύειν. Ἴσμεν αὐτοῦ τὰς πράξεις καὶ τὰς πανουργίας· διὸ μεταμορφούμενος πολλὰς γυναῖκας ἠχρείωσεν, θυγατέρας ἀλλοτρίας διέφθειρεν, τὰ παρὰ φύσιν ἄρρενα ἐπαιδομάνησεν καὶ τὰ τούτων χείρονα ἐτυράννησεν. Τούτου τὰς πράξεις ζηλώσαντες οὗτοι καὶ τοῖς ὁμοίοις ἡττημένοι, οὗ καὶ τὸν τάφον ἴσμεν ἐν τῷ πλησίον ἡμῶν ὄρει, ἡδέως καὶ εἰκότως τὸν Δία πρὸς τὰς ἑαυτῶν ἡδονὰς μέγαν θεὸν ἀναγορεύουσιν".

7. Ταῦτα ἀκούσαντες οἱ τῶν Ἑλλήνων σοφοὶ σὺν τῷ δήμῳ ἀθρόως ὥρμησαν κράζοντες· "Ἀνθύπατε, δὸς ἡμῖν ἐξουσίαν αὐτοχειρίᾳ χρήσασθαι τοῖς ἀσεβέσιν τούτοις τοῖς οὕτως βλασφημήσασιν εἰς τὸν μέγαν θεὸν Δία". Ὁ δὲ ἀνθύπατος κατασείσας τὴν χεῖρα ἔφη· "Ὡς ἀτονούσης τῆς ἀνθυπατικῆς τάξεως οἱ ὄχλοι ἐγχειροῦσιν κατὰ τῶν ἀνδραποδεστάτων τούτων"· ὁ δὲ θυμοῦ πλησθεὶς καὶ ὥσπερ ἄγριος θὴρ κατὰ τῶν τοῦ Θεοῦ μαρτύρων ὁρμήσας ἐκέλευσεν τοῖς δορυφόροις ὑφ' ἓν τοὺς δέκα παρασκευάσαι· καὶ ὃς μὲν ἀναρτηθεὶς τοῖς ὄνυξιν τὰς σάρκας σὺν τοῖς νεύροις διεσχίζετο, ὁ δὲ ξύλοις καὶ λίθοις τὰς πλευρὰς σὺν τοῖς ὀστέοις διετιτρώσκετο, ὁ δὲ ῥάβδοις μαστιζόμενος κατεξαίνετο· ἕτερος δὲ ὑπὸ δύο κεντυριώνων τοίχῳ καὶ στύλοις προσρηγνύμενος ἐκαρτέρει, καὶ ἦν ἰδεῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὴν Γορτυναίων πόλιν συστρεφομέ-

1 κῶδ. *ἑλλήνων - - σοφοῖς.* — 2 κῶδ. *τουδιὸς.* — 3 κῶδ. *μίνωἀκαιραδάμανθον.* — 4 κῶδ. *κρίτων - - οὓς ἐδώκει - - ἦσμεν.* — 5 κῶδ. *πράξης - - διὼ μετἀμορφ.* — 6 κῶδ. *γοιναίκας ἠχρείωσεν.* — 7 κῶδ. *παραφύσινἀρισταεπεδωμάνισεν κ. τατούτων χείρωνα ἐτυράννισεν.* — 8 κῶδ. *οὗτοι - - ἠττημ.* — 9 κῶδ. *οὗ, καὶ τ. τάφονείσμαι ἐντοπλησίων ἡ. ὄ. εἰδέως.* — 10 κῶδ. *εἰκώτος - - εἀυτὸν εἰδωνὰς.* — 12 κῶδ. *ταύτα - - ἑλλήνων.* — 13 κῶδ. *ἀθρόος ὥρμησαν - - ἡμὴν.* — 14 κῶδ. *χρείσασθοι τοῖς οὕτως βλασβημήσαντας.* — 15 κῶδ. *κατἀσίσας τὴν χείρα.* — 16 κῶδ. *ἔφει - - ἐγχειρούσιν.* — 17 κῶδ. *πλησθῆς καὶ ὥσπερ.* — 19 κῶδ. *ὑφὲν.* — 20 κῶδ. *ἀναρτιθῆς.* — 21 κῶδ. *ὠστέοις διετιπρόσκετο.* — 22 κῶδ. *ῥαύδοις - - ἕτερος.* — 23 κῶδ. *τύχω - - πρὸσρηγ.* — 24 κῶδ. *ἠϊδεὶν ἐνεκείνητηἡμέρα τὴνγαρτυναίον πόλιν.*

νην ἐπὶ τὸ αὐτό, δέκα ἀθλητῶν διαφόρους ἀγῶνας θεωρούντων καὶ ἐπὶ τούτοις γεγηθότων, ὅτι οἱ διαφέροντες τῶν χριστιανῶν τὰ τοιαῦτα πάσχουσιν· ἀλλ' ὅμως ἐταράσσοντο ἀνέδην ὑπὸ Δαιμόνων ἐλαυνόμενοι καὶ ἐπὶ ταῖς οἰμωγαῖς τῶν ἁγίων ἀθλητῶν χαίροντες, ἡ δὲ τοῦ Θεοῦ χάρις ἐστεφάνου τοὺς ἁγίους.

8. Ὅθεν πάλιν ἐβόα ὁ δῆμος· "Ἔχομεν ὃ αἰτήσομεν· δέκα μωρῶν στρέβλας ἐπὶ τὸ αὐτὸ ἐν μιᾷ ῥιπῇ θεάσασθαι· αἶρε τοὺς μωρούς, αἶρε τοὺς ἀθέους· μὴ φείδῃ τῶν χριστιανοὺς ἑαυτοὺς ἀποκαλούντων· ποίει τὸ κελευσθὲν ὑπὸ τοῦ αὐτοκράτορος· τούτοις ἕνα θάνατον, ἕνα τάφον ἀπόφηνε", οὐκ εἰδότες οἱ ἀληθῶς μωροί, ὅτι οἱ μὲν ἅγιοι διὰ τῶν τοιούτων δοκιμαστηρίων τὴν ἀληθῆ φιλοσοφίαν ἐπιδείκνυνται καὶ διὰ προσκαίρου θανάτου εἰς ἀίδιον ζωὴν μετασχηματίζονται, αὐτοὶ δὲ ἐὰν ἐπιμείνωσιν τῇ πλάνῃ, κόλασιν αἰώνιον καὶ Ἅδην καὶ Τάρταρον μετὰ Δαιμόνων κληρονομήσουσιν. Τούτων δὲ συντελουμένων ὁ κήρυξ ἐβόα· "Φείσασθε ἑαυτῶν, ἀνόητοι· ποιήσατε τὸ κελευσθὲν ὑπὸ τοῦ βασιλέως· θύσατε τοῖς θεοῖς· μεταλάβετε τῶν θυσιῶν". Τότε οἱ ἅγιοι μάρτυρες λαβόντες τοῦ λέγειν ἐξουσίαν, ὡς ἐξ ἑνὸς στόματος ἀπεκρίθησαν· "Χριστιανοί ἐσμεν· οὐ πειθόμεθα θυσίαν νεκροῖς καὶ ἀψύχοις θεοῖς προσενέγκαι· ὑπὲρ Θεοῦ τοῦ ζῶντος ἕτοιμοί ἐσμεν ἀποθανεῖν, καὶ τοῦτο κεκρίκαμεν, κἂν μυρία τοσαῦτα ποιήσητε· ἐγνώκαμεν γὰρ διὰ θανάτου τὴν ἀληθῶς ζωὴν κομίσασθαι". Ἐπιβοησάντων δὲ πάλιν τῶν ὄχλων πανδημεί, μὴ μένειν ἐπὶ πολὺ

1 κῶδ. *τῶαὐτῶ - - ἀγώνας θεὸρούντων.* — 2 κῶδ. *γεγηθώτων, ὅτι οἱ δια φέροντες τ. χριστιὰνῶν.* — 3 κῶδ. *τοιαῦτα π. ἀλλόμως ἐτ. ἄνεδῆϋποθ.* — 4 κῶδ. *ὑμογαῖς τ. ἁγίων ἀ. χαίρωντες.* — 5 κῶδ. *ἠδὲ - - ἁγίους.* — 6 κῶδ. *Ἅενπάλην ε. ὁ δήμος - - ὃετήσομεν.* — 7 κῶδ. *μορῶν στρ. ἐπὶ τοαυτῶ ἐν μιὰ ρ. θεᾶσαντες.* — 8 κῶδ. *φείδι τ. χριστιὰνοὺς ἑαὐτοὺς.* — 9 κῶδ. *αὐτὸκράτορος.* — 10 κῶδ. *ἕνα θ. ἕνα τ. ἀπόφεινε· οὐκϊδότες.* — 11 κῶδ. *ὅτι οἱ μ. ἅγιοι δηὰ τ. τοιοὕτων.* — 12 κῶδ. *πρὸσκαίρου - - ἀΐδιον.* — 13 κῶδ., *μετασχιματίζωνται α. δὲ ἔαν ἐπιμείνωσιν.* — 14 κῶδ. *αἰώνιον καὶάδην.* — 15 κῶδ. *τούτῶν δὲ σὺντελ. - - φήσασθε.* — 16 κῶδ. *ἑαὐτὸν.* — 17 κῶδ. *μεταλάβεται.* — 18 κῶδ. *λαβώντες - - ὡς ἐξενὸς.* — 19 κῶδ. *χριστ. εσμὲν, οὐπιθώμεθα* — 20 κῶδ. *πρὸσένέγκαι· ὕπὲρ θ. τ. ζώντος ἔτοιμοι ἐσμὲν.* — 21 κῶδ *τούτο - - τοσαύτα ποιεῖσιτε.* — 22 κῶδ. *ἐπιβοεἰσάντων δὲ πάλην.* — 23 κῶδ. *πανδημὶ μὴ μένην ἐπιπολλοὶ.*

τοὺς ἀθέους, καὶ αὐτῶν τῶν ἁγίων μαρτύρων τοσοῦτον εἰπόντων, ὡς "Ἄρα λοιπὸν ἡμᾶς ἐπιέναι καὶ πληροῦν τὸ προστεταγμένον παρὰ τοῦ δεσπότου", μικρὰν καὶ μίαν ἀπόφασιν ἐκφέρει ὁ ἀνθύπατος Κλατήμεος εἰπών· "Τοὺς ἀπειθήσαντας ἕως τέλους τῇ τοῦ αὐτοκράτορος κελεύσει, τούτους ἐν μιᾷ ῥιπῇ τὴν διὰ ξίφους τιμωρίαν ὑποστῆναι προσέταξα".

9. Ἔξω δὲ τῆς πόλεως ἀπαχθέντες εἰς τὸ καλούμενον Ἀλώνιον μέχρι καὶ νῦν—ἀνωτέρω δὲ τοῦτο μικρὸν τυγχάνει τῆς πόλεως—, τὸν στέφανον τῆς νίκης ἀναδησάμενοι τῆς κατὰ τῶν Δαιμόνων καὶ τῶν τούτοις ὑπηρετούντων, ἐν τοῖς ἄλλοις ἅπασιν ὁμοψυχήσαντες, ἐν τούτῳ μόνον φιλονεικίαν ἔσχον πρὸς αὐτούς, τίς πρότερον τὸ τῆς ἀρετῆς στάδιον δραμὼν ἀναδήσηται τὴν ἀνταγώνιστον νίκην. Ἐνταῦθα λοιπὸν ὁ ἁγιώτατος Θεόδουλος λύει μὲν αὐτῶν τὴν φιλονεικίαν, εὐχὴν δὲ κοινὴν αὐτοὺς πληρώσαντας κελεύει παραχωρεῖν τὸν πρῶτον [τόπον] τῷ βουλομένῳ, εἰπών· "Θαρρεῖτε, ἀδελφοί· εἰς τὸν αὐτὸν ἀπελευσόμεθα τόπον· πᾶσιν ὁ αὐτὸς ἡτοίμασται· οὐ τοῦ προλαμβάνοντος τὰ ἔπαθλα, δίκαιος δὲ εἰς κόλπους ἀπελεύσεται δικαίων". Συναινέσαντες δὲ τοῖς εἰρημένοις ἀθρόως ᾠδὴν ἀναπέμπουσιν τῷ Θεῷ, μικρὸν ἐπισχεῖν τοὺς δημίους ἀξιώσαντες· "Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν". Καὶ τὸν ψαλμὸν τοῦτον ἅπαντα Θεοδούλου καταλέγοντος, τῶν δὲ ἑτέρων ὑπακουόντων, ταῦτα εἰπόντες οἱ ἅγιοι σὺν πολλῇ τῇ προθυμίᾳ πάντες ἅμα ἐπὶ τὸν τόπον προσηύξαντο οὕτως· "Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ τοῦ εὐλογητοῦ καὶ ἀγαπητοῦ παιδὸς Ἰησοῦ Χριστοῦ πατήρ, δι' οὗ τὴν

1 κῶδ. *τοσούτων εἰπώντων.*—2 κῶδ. *λυπον ἡμᾶς ἐπιἔναι κ. π. τ. προστετ.* — 3 κῶδ. *μηκρὰν.* — 4 κῶδ. *κλατείμεως εἰπῶν, τ. ἀπηθ. ἕως.* — 5 κῶδ. *ἐμιᾶ ῥοπῆ τὴν διάξ. τημ.* — 6 κῶδ. *ὕποστήναι πρὸσέταξα.* — 7 κῶδ. *ἀλόνιον.* — 9 κῶδ. *τονδαιμόνων.* — 11 κῶδ. *ὁμοψυχησάντες - - φειλονικίαν.* — 12 κῶδ. *δραμῶν ἀναδήσιται.* — 13 κῶδ. *ἐνταύθα.* — 14 κῶδ. *φηλονικήαν.* — 15 κῶδ. *πρώτον τ. β. εἰπῶν.* — 16 κῶδ. *πάσιν - - εἰτύμασται.* — 18 κῶδ. *συνέσαντες.* — 19 κῶδ. *μηκρὸν ἐπισχὴν.* — 20 κῶδ. *εὐλογειτὸς κσ ὃς οὐκέθωκεν ἡμᾶς* || Ψαλμ. ρκγ', 6. — 21 κῶδ. *ὁδούσιν - - τούτων ἅπαντα θεὸδούλου.* — 22 κῶδ. *κατὰ λέγοντος, τὸν δὲ ἑτέρων ὑπακουὸντων, ταύτα.* — 23 κῶδ. *ἅγιοι - - ἅμα.* — 24 κῶδ. *προσηὔξαντο οὕτως.* — 25 κῶδ. *ευλογητοῦ καὶ ἀγαπιτοῦ - - διοῦ.*

ἐπίγνωσιν εἰλήφαμεν· ὁ Θεὸς ἀγγέλων καὶ δυνάμεων καὶ πάσης κτίσεως καὶ παντὸς γένους τῶν δικαίων, οἳ ζῶσιν ἐνώπιον σοῦ, εὐλογοῦμέν σε, ὅτι ἠξίωσας ἡμᾶς τῆς ἡμέρας καὶ τῆς ὥρας ταύτης τοῦ λαβεῖν ἡμᾶς μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων σου, ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου, εἰς ἀνάστασιν αἰώνιον ψυχῆς τε καὶ σώματος, ἐν ἀφθαρσίᾳ πνεύματος ἁγίου, ἐν οἷς προσδεχθείημεν ἐνώπιόν σου σήμερον ἐν θυσίᾳ πίονι καὶ προσδεκτῇ· καθὼς ἡτοίμασας, προφανερώσας ἡμῖν καὶ ἐπλήρωσας σὺ ὁ ἀψευδὴς Θεός· διὰ τοῦτο καὶ πρὸ πάντων σὲ αἰνοῦμεν, σὲ εὐλογοῦμεν, σὲ δοξάζομεν· καὶ φεισάμενος τῶν δούλων σου δέξαι καθάρσιον τὸ ἡμέτερον αἷμα ὑπὲρ [τῆς] πατρίδος καὶ τῶν κατοικούντων ἐν αὐτῇ, ὅπως καὶ αὐτοὶ πιστεύσαντες ἐπιστρέψωσιν εἰς σὲ διὰ τοῦ ἐπουρανίου ἀρχιερέως Ἰησοῦ Χριστοῦ, τοῦ ἀγαπητοῦ σου παιδός· μεθ' οὗ σὺν πνεύματι ἁγίῳ δόξα, τιμή, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν".

10. Ἀναπεμψάντων δὲ αὐτῶν τὸ "ἀμὴν" καὶ πληρωσάντων τὴν εὐχήν, οἱ ἁγιώτατοι σὺν πολλῇ τῇ προθυμίᾳ τοῖς δημίοις παρεκελεύοντο ποιεῖν τὸ προστεταγμένον· ἐνόσῳ δὲ περὶ τὴν τῶν πατέρων τελείωσιν συνέβαινεν ἀπασχολεῖσθαι τοὺς ὑπηρέτας τοῦ Διαβόλου, ἐν ἁγίῳ φιλήματι ἀσπασάμενος ὁ μακάριος Εὔπορος, ἀπιδὼν εἰς τὸν ὄχλον, μίαν τινὰ τῶν συγγενίδων παρατηρήσας πίστιν ἀκριβῶς ἐνδεδυμένην καὶ σωφροσύνης μεστὴν ὄντως γυναῖκα, τῇ χειρὶ προσκαλεσάμενος δίδωσιν αὐτῇ τὸν δακτύλιον, ὃν εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ, καὶ τὸ ἅγιον εὐαγγέλιον, ὅπερ ἐτύγχανεν ἐπὶ τῷ τραχήλῳ φορῶν, ἵνα τὸ γεγραμμένον πληρωθῇ, μὴ

1 κῶδ. *δοινάμεων*. — 2 κῶδ. *παντῶς - - οἳ ζώσιν*. — 3 κῶδ. *εὐλογούμενσε "τι ἠξιώσας - - ἡμέρας - - ὥρας*. — 4 κῶδ. *λαμβεῖν - - ἐναριθμῶ*. — 5 κῶδ. *αἰώνιον*. — 6 κῶδ. *ἐναφθ. - - ἐνοῖς προὸσδὲχθείἡμεν*. — 7 κῶδ. *προσδεχκτῆ. καθῶς ἡτ.* — 8 κῶδ. *ἡμὶν - - ἀψευδεῖς*. — 9 κῶδ. *περιπάντων σὲ αἰνούμεν, σὲ εὐλογούμεν*. — 10 κῶδ. *δοξάζωμεν - - δοῦλων*. — 11 κῶδ. *ἡμέτ. αἵμα ὑπὲρ - - ἐναυτῆ*. — 12 κῶδ. *ὥπως ἐπιστρέψουσιν εἰσὲ*. — 13 κῶδ. *αγαπιτούσου π. μεθοῦ*. — 14 κῶδ. *τιμῆ - - ἀεῖ*. — 15 κῶδ. *αἰῶνας*. — 16 κῶδ. *ἀναπέμψ*. — 18 κῶδ. *παρακελεύὄντο ποιὴν*. — 19 κῶδ. *ἀπασχολήσθαι τ. ὑπηρ*. — 20 κῶδ. *διἀβόλου ἐναγίω*. — 21 κῶδ. *ἀπιδῶν - - παρατηρίσας*. — 22 κῶδ. *πίστην*. — 23 κῶδ. *γυναίκα τ. χειρῆ π. δίδ. αὐτὴν τ. δ. ὃν*. — 24 κῶδ. *εἶχεν - - ἄγ. ἐυἀυγγέλιον ὅπερ*.

βληθῆναι "τὰ ἅγια τοῖς κυσίν"· οὐδὲ γὰρ ταφῆς ἀξιωθῆναι προσεδόκουν. Περίεστιν δὲ μέχρι καὶ τοῦ νῦν τὸ τίμιον εὐαγγέλιον ἐν τῷ μετὰ ταῦτα κτισθέντι ἁγίῳ ναῷ, ἔνθα τὸν τῆς ἀφθαρσίας ἀνεδήσατο στέφανον. Ὑπαναχωρησάντων δὲ τῶν στρατιωτῶν οἱ πρὸς γένος περιλειφθέντες, περιστείλαντες τὰ λείψανα τῶν ἁγίων μαρτύρων, κηδείας κατηξίωσαν ἐπ' αὐτοῦ τοῦ τόπου.

11. Πολλῶν τοίνυν ἐπιστρεψάντων πρὸς Κύριον, καὶ βουληθέντων τὴν θρασύτητα τοῦ ἀνθυπάτου καταλῦσαι, δεηθέντες μετ' ὀλίγον Βαλεριανῷ καὶ Γάλλῳ τοῖς βασιλεῦσιν ἔλαβον τῇ πατρίδι τὴν τῆς ἡγεμονίας ἀρχήν· χρόνῳ δὲ ὕστερον μικρῷ, ἑξηκοστοῦ ἔτους διαδραμόντος, εἰρήνης πολιτευσαμένης καὶ τοῦ Θεοῦ λοιπὸν ἐπιδόντος τὴν ἡμετέραν θρησκείαν, Παῦλος ὁ ἁγιώτατος τῆς κατὰ Γορτύνην ἁγιωτάτης ἐκκλησίας [ἐπίσκοπος ἐγένετο], ᾧ τοσαύτη πίστις ὑπῆρχεν, ὡς τοὺς ἀκαθάρτους Δαίμονας αἰσθομένους τοῦ ὀνόματος αὐτοῦ ὑποχωρεῖν καὶ βασανιζομένους λέγειν τὰ ἀληθῆ· ἀφικόμενος γὰρ διὰ τὸ [ποιήσασθαι] τὴν συλλογὴν τῶν ἁγίων λειψάνων * ἐπὶ τὴν βασιλεύουσαν Ῥώμην [ἀνέστρεψε, καὶ] πρὸ τοῦ ἐγγίσαι τῇ πόλει κατάδηλος ἐγένετο ὅστις ἦν, οὐκ ἀπαγγείλαντός τινος τὰ κατὰ τὸν ἄνθρωπον, ἀλλὰ Δαίμονος ἐξειπόντος τὴν ἐπιστασίαν Παύλου· ἦν γὰρ τινὸς Ἀπρινγίου τῶν πρώτων κατὰ τὴν Ῥώμην θυγάτηρ [ὑπ'] ἀκαθάρτου Δαίμονος κρατουμένη, ἣ μόνον αἰσθομένη πεπλευκέναι Παῦλον ἐβόησεν ἥκειν ἐκβάλλοντα τὸν Δαίμονα· καὶ εὐθὺς μὲν πρὸ τῆς ἐπιστασίας ἐκαθαρίσθη, τοσοῦτον [μόνον] ὁμο-

1 κῶδ. *βλιθήναι* || Ματθ. ζ', 6 || κῶδ. *ἅγ. τ. κοισὶν - - ἀξιωθήναι προσεδώκουν.*— 2 κῶδ. *ἐυἀγγέλιον.* — 3 κῶδ. *μεταταύτα κ. ἀγ. ν. ἔ. τῶν.* — 4 κῶδ. *ὕπαναχωρισάντων - - στρατιώτῶν ὁ πρόστε.* — 5 κῶδ. *περιληφθέντες περὶστήλαντες - - ἀγ.* — 6 κῶδ. *κηδίας - - τουτόπου.* — 8 κῶδ. *καταλύσαι, δεὴθέντες μετολίγον.* — 9 κώδ. *γάλω τ. βασιλεύσιν ἔ. τ. πατρίδη.* — 10 κῶδ. *ἡγεμωνίας.* — 11 κῶδ. *διἀδραμῶντος.* — 12 κῶδ. *ἡμετ. θρισκίαν, παύλος ὁ ἀγ.* — 13 κῶδ. *καταγορτοίνην ἀγιώτ. ἐκκλ., ὦ.* — 14 κῶδ. *ὕπίρχεν. ὡστοὺς ἀ. δαίμωνας ἐσθ.* — 15 κῶδ. *ὀνόμ. α. ὕποχορεῖν καὶ βασανιζωμ. λ. τ. ἀληθεῖ.* — 16 κῶδ. *τοτὴν σ. τ. ἀγ. λημψάνων.* — 17 κῶδ. *ῥώμην πρὸ τ. ἐκ. τ. πόλλει.* — 18 κῶδ. *ὅστις ἦν. οὐκαπ.* — 19 κῶδ. *τῶν ἀνων' - - ἐξιπόντος.* — 20 κῶδ. *ἦν - - πρώτον.* — 21 κῶδ. *ἣ μ. ἐσθομένη.* — 22 κῶδ. *παύλω, ἐβόησεν ἥκειν - - δαίμοναν.* — 23 κῶδ. *εὐθοῖς - - ἐκαθερίσθη, τοσούτον ὁμ.*

λογήσαντος τοῦ Δαίμονος Παῦλον εἶναι αἴτιον τούτου· ἐκ τούτου δὲ δόξης περιδραμούσης περὶ τὴν πόλιν καὶ χρημάτων αὐτῷ πολλῶν προσαγομένων, δέχεται μὲν οὐδὲν ὁ ἁγιώτατος ἐπίσκοπος, μετατεθῆναι δὲ τὰ λείψανα τῶν ἁγίων μαρτύρων αἰτήσας λαμβάνει ταύτην τὴν δωρεὰν σπουδῇ τῶν κατὰ τὴν Ῥώμην λογάδων παρὰ τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ μεγάλου βασιλέως καὶ Κωνσταντίου, καθ' ὃν καιρὸν καὶ ὁ τίμιος σταυρὸς ἀνεδείκνυτο.

12. Ἐλθὼν δὲ ἐπὶ τὸ Κρητῶν ἔθνος καὶ ἐπιστὰς ἐν τῷ εἰρημένῳ Ἁλωνίῳ μετὰ πλήθους ἀνδρῶν τῶν τότε χριστιανῶν, τινῶν δὲ καὶ ἐξ αὐτῶν [τῶν] εὑρεθέντων ἐν τῇ ἀθλήσει τῶν ἁγίων, ὧν τινων τὰ ὀνόματα ἀναγέγραπται ἐν τοῖς οὐρανοῖς καὶ ἀναφέρονται ἐν τῇ τιμίᾳ αὐτῶν ἑορτῇ, καὶ τὴν ἐπικειμένην γῆν τοῖς ἁγίοις ἀνασκάψας εὑρίσκει ὡς ἐν δρόσῳ τὰ σώματα τῶν ἁγίων μαρτύρων, ἀλώβητα δὲ καὶ ἀκέραια προστάγματι Θεοῦ φυλαχθέντα· ἃ δὴ καὶ μετέστησεν ἐν τῷ τῆς πόλεως κοιμητηρίῳ, ἐν ᾧ μέχρι καὶ τοῦ παρόντος, κατὰ τὴν ἡμέραν ἐν ᾗ πεπόνθασιν, ὑπὲρ τῆς εὐχαριστίας αὐτῶν καὶ τῆς πρὸς Θεὸν πίστεως κρατεῖται καὶ ἐπιτελεῖται ἡ τοιαύτη ἑορτή· ἔχοντες γὰρ τὴν μνήμην τῶν ἁγίων τούτων κατὰ πᾶσαν ἐπαρχίαν ἄγουσιν τὴν γενέθλιον αὐτῶν ἡμέραν ἐπὶ τὸ αὐτὸ πάντες ἐρχόμενοι καὶ εὐχαῖς καὶ λιταῖς τὸ θεῖον ἐξευμενιζόμενοι χαίρουσιν, ὅτι οὐκ ἀπέτυχον τῶν ἱκανῶς ἐχόντων πρεσβεύειν ὑπὲρ πατρίδος καὶ ἔθνους καὶ γένους, ἀλλήλους συγκαλοῦντες καὶ πέμποντες μερίδα τοῖς πλησίον, κατὰ πᾶσαν ἐκκλησίαν εὐωχούμενοι καὶ πανηγυρίζοντες ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, μελετῶντες καὶ αὐτοὶ ὁμολογεῖν καὶ καρτερεῖν τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι σωτῆρι, ὅλῃ δυνάμει τοὺς ἀπαταιῶνας αἱρετικοὺς ὅπου δ' ἂν μάθωσιν προσπελάσαντας τῇ νήσῳ, ὡς λύ-

1 κῶδ. *παύλον εἶναι.* — 2 κῶδ. *χριμάτων.* — 3 κῶδ. *πρὸσαγομένων, δέχετε μ. ο. ὁ ἁγιότ.* — 4 κῶδ. *μετὰτεθήναι - - λαμβάνη.* — 7 κῶδ. *κωνσταντίνου, καθὸν.* — 8 κῶδ. *ἐλθῶν - - κριτῶν.* — 9 κῶδ. *ἀλονίω - - τὸν τ. χριστιἀνῶν.* — 10 κῶδ. *εὐρ. ἐν τῇ ἀθλήση τ. ἀγ.*—11 κῶδ. *ὧντ. τ. ὀνόμ. ἀναγέγραπτε.* — 12 κῶδ. *ἐὸρτὶ - - γὴν τ. ἀγ.* — 13 κῶδ. *εὐρ. ὡς.* — 15 κῶδ. *ενῶ.* — 16 κῶδ. *ἡμ. ἐν εἳ.*— 18 κῶδ. *ἐπὶ τελείται ἠτοιαὕτη ἐὸρτῇ, ἔχωντες.* — 20 κῶδ. *αὐτῶ.* — 22 κῶδ. *πρεσβεύην.* — 23 κῶδ.*συγκαλούντες καὶ πέμπονταις μ. τ. πλησίων.* — 26 κῶδ. *ὅλη δυνάμη.* — 27 κῶδ. *πρὸσπελάσαντας τῇ νίσω.*

κους ἀπὸ ποίμνης διώκοντες, ἅτε δὴ πεπεισμένοι ὡς ἀκέραιον τὴν ὀρθόδοξον πίστιν κατέχουσιν, καθὼς παρέλαβον ἀπὸ τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, ἀποδημήσαντος τῇ νήσῳ καὶ οὕτω γράφοντος πρὸς τὸν ἅγιον Τίτον· "τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα διορθώσῃς καὶ καταστήσῃς αὐτοῖς κατὰ πόλιν ἐπισκόπους καὶ πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην". Οὗτος γὰρ ὁ θειότατος ἀνὴρ Τίτος γέγονεν πρῶτος ἐπίσκοπος τῆς ἐν Γορτύνῃ μητροπόλει ἁγιωτάτης ἐκκλησίας, χειροτονήσας καὶ αὐτὸς ἔν τε Κνωσσῷ καὶ Χερσονήσῳ, Ἱεραπύτνῃ καὶ ἐν Λευθέρνῃ, Λάμπῃ καὶ Κυδωνίᾳ, πόλεων ἀρχαίων, καὶ Καντάμῳ καὶ Κισσάμῳ τῶν νεωστὶ γενομένων πόλεων ἐπισκόπους· οὗ γένοιτο πάντας ἡμᾶς γενέσθαι μιμητὰς καὶ ἕκαστον ἐν τῷ ἰδίῳ τάγματι τὸν καλὸν ἀγῶνα ἀγωνίσασθαι καὶ τὸν δρόμον τελέσαι ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

1 κῶδ. *ἀποπύμνης δ. ἅτε δη πεπισμ.* — 2 κῶδ. *ὀρθόδ. πίστην κ. καθῶς παρέλαβων.* — 3 κῶδ. *νίσσω. καὶ οὕτω.* — 4 πρὸς Τίτον α', 5. — 5 κῶδ. *κρίτη ἵνα τ. λ. διόρθώσει καὶ κατὰστίσης.* — 6 κῶδ. *πολην* || σημειωτέον τὸ *ἐπισκόπους* ὅπερ ἐλλείπει τοῖς ἀρχαίοις ἀντιγράφοις τῆς πρὸς Τίτον ἐπιστολῆς || κῶδ. *ἐγῶ σ. διέταξ.* — 7 κῶδ. *οὕτως - - πρότος.* — 8 κῶδ. *μητροπόλη ἁγιότ. ἐ. χειροτονείσας.* — 9 κῶδ. *κνόσσω κ. χερσονίσσω ἱερᾶ πύτνη.* — 10 κῶδ. *κυδονία π. ἀρχέων - - κ σάμω.* — 11 κῶδ. *νεόστὶ - - οὗ γένοιτω.* — 13 κῶδ. *τελαίσαι.* — 14 κῶδ. *δ - - ἀιῶνας τ. αἰῶνων.*

XI.

ΚΣ' ΟΚΤΩΒΡΙΟΥ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀπὸ Θεσσαλονίκης
διὰ προστάξεως βασιλικῆς γενομένης εἰσελεύσεως τοῦ περιωνύμου
καὶ ἀηττήτου Δημητρίου, τοῦ πρότερον ἐπικειμένου
τῇ μυροβρύτῳ σορῷ καὶ σκέποντος ταύτην.

(Cod. Sab. 179, f. 79–83).

1. Καὶ τί τῶν ἐπεράστων καλῶν ἔσται τις τῇ μνήμῃ παραδιδούς, εἰ τὰ κατὰ διαφόρους καιροὺς καὶ χρόνους προστιθέμενα τῇ βασιλικῇ ταύτῃ καὶ Παντοκρατορικῇ μονῇ χαρίσματα θεῖά τε καὶ σωματικά, ἰδίᾳ τε καὶ κοινῇ συντείνοντα παρέλθω σιγῇ; δέον ἀνακηρύττειν μᾶλλον καὶ μεγαλύνειν καὶ ἐς μακραίωνας παραπέμπειν χρόνους, καὶ μάλιστα τὸ νῦν μετὰ τῶν ἰδίᾳ πρὸς ἡμᾶς γεγονὸς κοινωφελὲς ἀγαθόν, ἵνα μὴ τῷ βυθῷ τῆς λήθης καταποθέντων οὐκ ὀλίγων αἰτιαμάτων αἰτίους τοῖς μεθ' ἡμᾶς ἑαυτοὺς καταλείψωμεν. Ἀλλὰ τί πάθω; κομψοῦ τὸ λέγειν χρεία πρὸς τὴν προκειμένην διήγησιν καὶ κατὰ ῥοῦν τοὺς λόγους προχέοντος. Ὅμως, εἰ καὶ τοῦ κατ' ἀξίαν ὁ λόγος ἐκπέσοι, ὁπόσα παθεῖν ἀνάγκη, ἀλλὰ καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν· ὁ γὰρ τοὺς ἁλιεῖς σοφίσας ἀμάρυγμά τι κἀμοὶ πρὸς εὐχαριστίαν καὶ μόνην καταπέμψαι βραχύτατον δυνατός· ὥσπερ ἐκεῖνοι τὸ σωτήριον κήρυγμα τὴν οἰκουμένην διαδραμόντες ταῖς τῶν πεπλανημένων καρδίαις ἐνέσπειραν

5 κῶδ. *μεγαλύνην*. — 6 τὸ] κῶδ. *τῶν*. — 7 κῶδ. *γεγονὼς*. — 10 κῶδ. *καταροῦν*. — 11 κῶδ. *καταξίαν*. — 13 κῶδ. *ἀμαρύγματι*.

καὶ νεκροὺς τούτους ὄντας ζωώσαντες ἐπέτυχον τῶν ἐπαγγελιῶν, οὕτω καὶ ἡμεῖς κατασπαζόμενοι τὰ χαρίσματα, σαλπίζοντές τε ταῦτα καὶ διακωδωνίζοντες, κἀκ τούτου μᾶλλον ἐρεθίζοντες πρὸς ἀκρόασιν καὶ δόξαν τοῦ παντοκράτορος Θεοῦ ἡμῶν, οὐ τοὺς περὶ τὰ τοιαῦτα μόνον θερμούς, ἀλλὰ καὶ τοὺς ἴσως ἀνειμένως ἔχοντας κατ' ἐμὲ καὶ νωθεῖς εὐχάριστοί τε καὶ μὴ ἀγνώμονες περὶ τοὺς εὐεργέτας φανείημεν.

2. Διηγητέον οὖν, ὡς ἐνόν, ὅπως μετὰ τῶν πολλῶν ἀναριθμήτων δωρεῶν καὶ εὐεργεσιῶν, τῶν πρὸς σύστασιν τῆς βασιλικῆς ταυτησὶ μονῆς διά τε χρυσοβούλλων λόγων καὶ ἑτέρων διαφόρων βασιλικῶν γραφῶν [γενομένων, τῶν] καὶ νῦν αὖθις οὐκ ὀλίγον τὸ βέβαιον διὰ τῆς βασιλικῆς χειρὸς φερουσῶν, πόθῳ τῆς μονῆς, ἐξ ὑπομνήσεως τοῦ σεβασμιωτάτου ἡμῶν πατρός, οὐκ ἀνεκτὸν ἔδοξε τῷ ἐκ τῶν ἀοιδίμων βασιλέων καὶ κτητόρων ἡμῶν πορφυροβλάστῳ ὄρπηκι, τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, μὴ καὶ τὸ μεῖζον ἁπάντων καὶ πολύολβον θησαύρισμα, ἢ μᾶλλον κοσμοπόθητον ὑστέρημα (περιλειφθέν, οὐκ οἶδ' ὅπως, παρὰ τοῦ ἀοιδίμου βασιλέως καὶ κτήτορος ἡμῶν), τὸν διαφανῆ, φημί, ἀστέρα ἐν μάρτυσι καὶ ἀήττητον ἐν πολέμοις Δημήτριον, τὸν ἄνωθεν τῆς μυροβρύτου σοροῦ ἐπικείμενον καὶ σκέποντα ταύτην, μετὰ δορυφορίας ὅτι πολλῆς καὶ τιμῆς ὑπερβαλλούσης πρὸς τὴν μεγαλόπολιν ταύτην τὴν πασῶν ὑπερκειμένην τῶν πόλεων εἰσαγαγεῖν καὶ τῇ ἐν αὐτῇ βασιλικῇ καὶ γονικῇ αὐτοῦ μονῇ τοῦ Παντοκράτορος ἐγκαθιδρῦσαι, οὐχ ὥς τινα μέγαν κόσμον μόνον καὶ φύλακα τῆς ἱερᾶς ταύτης ποίμνης, ἀλλὰ καὶ συλλήπτορα καὶ μέγιστον βοηθὸν τῶν παντοίως ἀντιλαμβανομένων τῶν τῆς καθ' ἡμᾶς βασιλικῆς ταυτησὶ μονῆς ψυχικῶν τε καὶ σωματικῶν ὑποθέσεων, κατὰ τὰ πατρικὰ τούτου διατάγματα. Εἰ καὶ ὡς ἐν ἀκάνθαις ταῖς ὑπὲρ τοῦ χριστω-

1 κῶδ. *ζωώσαντες*. — 3 κῶδ. *διακοδωνίζοντες*. — 5 κῶδ. *θερμοῦς*. — 6 κῶδ. *καινωθεὶς*. — 7 κῶδ. *ἐβεργέτας*. — 11 προσέθηκα τὰ *γενομένων τῶν*. — 13 κῶδ. *οὐκανεκτὸν*. — 14 κῶδ. *ἀοιδήμων*· οὕτω καὶ κατόπι. — 15 κῶδ. *κρατήστω*. — 22 τὴν] κῶδ. *τῶν* || τῇ ἐν αὐτῇ] κῶδ. *τῶν αὐτῆς*. — 23 κῶδ. *βασιλικῆς καὶ γονικῆς α. μονῆς*. — 28 κῶδ. *χριστονύμου*.

νόμου λαοῦ φροντίσι περιπειρόμενος οὗτος, ὡς ἐν δευτέρῳ ταύτας ἔθετό τε καὶ ἐλογίσατο, κάλλιστά τινα καὶ ἐξαίσια προμηθούμενος καὶ προξενῶν ἑαυτῷ, ἓν μὲν τὸ τῇ ἀοράτῳ τούτου δυνάμει πόρρωθεν καὶ μακρὰν ἀπωθεῖσθαι τοὺς καθ' ἡμῶν δεινὰ μελετῶντας ἐχθρούς, εἰ καὶ βούλοιντο προσεγγίσαι, πειρωμένοις δὲ ἴσως καὶ ἐπεμβαίνειν τοῖς ἡμετέροις κατὰ στόμα προσαπαντᾶν, πρὸς ἀσφαλῆ συντήρησιν τῆς βασιλευούσης τῶν πόλεων· ἕτερον, τὸ καὶ συνταξειδεύοντα τοῦτον κεκτῆσθαι, ὁδηγοῦντά τε ἀοράτως καὶ προομαλίζοντα τὰς κατὰ τῶν πολεμίων ἀσυνήθεις ἐφόδους καὶ διεξόδους, καὶ—τὸ μεῖζον—τὸ μηδὲ ἀρχὴν δέχεσθαι τὰ τῶν ἐχθρῶν προβουλεύματα, ἀλλὰ κατὰ πόδας καὶ παρευθὺ προφθάνειν τὴν ἀθρόαν τούτων ὡς ἱστὸς ἀράχνης διάλυσιν, δεικνύων πάντως ἐκ πολλῶν ἀναντιρρήτων σημείων καὶ ἐπιβεβαιῶν ἅπασιν, ὡς κυρίως οὗτός ἐστι καὶ γέννημα καὶ βλαστὸς καὶ ζηλωτὴς ὄντως τῶν ἐν βασιλεῦσι τοῖς πάλαι πολὺ τὸ ὑπερβάλλον ἔργοις χρηστοῖς καὶ τροπαίοις μεγίστοις ἐνδειξαμένων. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, συνῳδὰ τῷ μεγαλοφωνοτάτῳ Ἡσαΐᾳ φθέγξομαι· "Ὦ τάλας ἐγώ, ὅτι ἀκάθαρτος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων τοιούτων ἐφάπτομαι ὑποθέσεων, μηδὲ μιᾶς μοι ⟨τὸ⟩ πρὸς τὰ τοιαῦτα θαρρεῖν ἀφορμῆς παρεχούσης τὸ εὔελπι". Πειράσομαι δ' ὅμως ὡς δυνατὸν διαγράψασθαι τίνα τρόπον καὶ ὅπως ταῦτα προέβησαν.

3. Ἔτει τῷ ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ, κατὰ μῆνα μάρτιον ἰνδικτιῶνος δωδεκάτης καὶ ἔτους ἐκ τοῦ τρέχοντος τῆς βασιλείας τοῦ πορφυρογεννήτου καὶ αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ἐν τῇ πρὸς Σικελίαν ἐκστρατείᾳ ὄντος τοῦ αὐτοῦ κρατίστου ἡμῶν βασιλέως, ὁ ἀρχηγὸς τῆς καθ' ἡμᾶς ταυτησὶ βασιλικῆς μονῆς Ἰωσὴφ ἀναγκαίων ὑποθέσεων τῆς μονῆς κατεπειγουσῶν καταφρονήσας καὶ σωματικῆς ἀσθενείας καὶ γήρως, σχεδὸν δὲ καὶ αὐτῆς τῆς ἰδίας ψυχῆς, καὶ συνελόντα φάναι πάντα παριδὼν τὰ συντείνοντα πρὸς ῥῶσιν ψυχῆς καὶ σώματος, πολλῶν

5 κῶδ. *βούλονται*. — 6 κῶδ. *ἐπεμβένειν* || κῶδ. *καταστόμα*. — 8 κῶδ. *κεκτεῖσθαι* || κῶδ. *πρὸ ὁμαλίζοντα*. — 11 κῶδ. *καταπόδας*. — 17 κῶδ. *συνοδὰ* || Ἡσ. ς', 5. — 18 κῶδ. *ἀκαθάρτω χήλει*. — 26 ὁ] κῶδ. *καὶ*. — 27 κῶδ. *ταύτησι*.

δὲ καὶ σκώλων διαμέσου μεσολαβησάντων ἀπό τε γνωστῶν περιφανῶν ἀνθρώπων καὶ μὴ τοιούτων, ἐξ εἰσηγήσεως ὀνειράτων καὶ ὀπτασιῶν ἐμποιούντων ἐκφοβήσεις σχεδὸν οὐ μικρὰς καὶ ἄλλον γενέσθαι ἐξ ἄλλου τὸν ἀκροατὴν παρασκευαζόντων, καὶ μηδέν τι τοιοῦτον ἐνωτισάμενος, ἀλλ' ὡς ἕρμαιόν τι τὴν κάκωσιν καὶ κακοπάθειαν τῆς τοσαύτης ὁδοῦ λογισάμενος, ματαιολογίας σαθρὰς τὰς τούτων εἰσηγήσεις διέκρινε καὶ τῆς πρὸς τὸν κράτιστον βασιλέα ἡμῶν ὁδοῦ ἀνενδοιάστως ἥψατο. Διασωθεὶς οὖν καλῶς καὶ ἀκινδύνως σὺν Θεῷ, καὶ εὑρὼν τοῦτον οὐκ ἐν Θεσσαλονίκῃ, ὡς κατὰ νοῦν εἶχεν, ἀλλ' ἐν χωρίῳ τοῦ θέματος Βερροίας, οὕτω πως λεγομένῳ Δοβροχουβίστα, ἀπέχοντι τῆς μὲν Θεσσαλονίκης ἱππικὰ δρόμου ἡμερήσια δύο, τοῦ δὲ κάστρου Βερροίας στάδια ὡσεὶ μιλίων δύο, καὶ ὡς ἐν πρωτολογίαις τῶν ἄλλων ἁπάντων ἀφέμενος τὸ πατρικὸν ὑστέρημα ἀναπληρῶσαι προέθετο, εἴπερ τὸ τὴν ἱερὰν σκέπον σορὸν διαπρύσιον προκάλυμμα τοῦ ἀηττήτου Δημητρίου ἐν τῇ βασιλικῇ ταύτῃ καὶ γονικῇ αὐτοῦ μονῇ τοῦ Παντοκράτορος ὡς πανίερον ὄντως θησαύρισμα ἀποθήσει.

4. Μετὰ περιχαρείας πάνυ πολλῆς ἀκούσαντα τὸν κράτιστον ἡμῶν βασιλέα καταπειθῆ ἐφεῦρε, καὶ παραχρῆμα αὐτοσχέδιος ἡ βασιλικὴ γραφὴ πρὸς τὸν τηνικαῦτα μεγαλοδοξότατον δοῦκα Θεσσαλονίκης καὶ χαρτουλάριον κύριν Βασίλειον, θάτερον γενέσθαι διοριζομένη καὶ τεθῆναι [προκάλυμμα νέον] ἄνωθεν τοῦ ἱεροῦ θαλάμου τοῦ μάρτυρος δι' ἐπιτηρήσεως καὶ ἐπιστασίας τοῦ μεγαλεπιφανεστάτου λογαριαστοῦ κυροῦ Ἰωάννου τοῦ Σμενιώτου, ὡς διέποντος καὶ διοικοῦντος τὰ κατὰ Θεσσαλονίκην κτήματα τῆς καθ' ἡμᾶς βασιλικῆς μονῆς τοῦ Παντοκράτορος, τὸ δέ γε παλαιγενὲς καὶ ἐπικείμενον τῇ πολυόλβῳ καὶ κοσμοποθήτῳ σορῷ ἀρθῆναι ἐκεῖθεν καὶ διακομισθῆναι πρὸς τὴν καθ' ἡμᾶς βασιλικὴν μονήν. Ὃ δὴ καὶ θᾶττον ἢ λόγος γέγονε· ἀντὶ γὰρ τοῦ τὴν πανίερον καὶ ἐπέραστον καὶ ἀξιοθαύμαστον σορὸν τοῦ περιωνύμου μάρτυρος Δημη-

1 κῶδ. *σκόλων διαμέσου*. — 2 κῶδ. *ἐξεισηγήσεως*. — 4 κῶδ. *ἐξάλου*. — 5 κῶδ. *ἐνοτισάμενος*. — 6 κῶδ. *λογησάμενος*. — 8 κῶδ. *ἀνενδιάστως*. — 10 κῶδ. *πω*. — 20 κῶδ. *βασιλικῆ*. — 22 προσέθηκα σαφηνείας ἕνεκα τὸ *προκάλυμμα νέον*.

τρίου πρώην σκέποντος, μᾶλλον δὲ τὴν οὐκ οἶδ' ὅπως ὀνομάσω μυρόβρυτον μυροθήκην — ἐκπλήττομαι γὰρ κατανοῶν τὸ πάμμεγα τοῦτο καὶ ὑπὲρ πάντα τὰ πάλαι καὶ μετὰ ταῦτα προγεγονότα τοῦ Θεοῦ τέρατα ἐξαίσιόν τι καὶ παραδοξότατον, πῶς ὅλαις χερσὶ τῶν παντὸς κόσμου βροτῶν ἐξαντλούμενον καθ' ἑκάστην, μὴ κενούμενον δὲ μηδὲ ἐκλεῖπον ὅλως —, ἀκολούθως τῇ βασιλικῇ προστάξει ἕτερον [ἐτέθη] κατασκευασθὲν διά τε χρυσοῦ καὶ ἀργύρου, πολὺ τὸ διαφέρον τοῦ προτέρου εἰς κάλλος κεκτημένον καὶ χάριν κομιδῇ μείζονα καὶ ὡς ἐξαστράπτουσαν τοῖς φιλοθεάμοσι παρέχον.

5. Τοῦτο μὲν [οὖν] εἰς κόσμον καὶ δόξαν τοῦ διαυγεστάτου καὶ πολλῷ πλέον παμφαεστάτου φωστῆρος τοῦ μεγάλου καὶ ὑπὲρ ἥλιον λάμποντος ἐν ὅλοις τοῖς τοῦ κόσμου πέρασι μάρτυρος ὁ πορφυροβλάστητος καὶ κράτιστος ἡμῶν βασιλεὺς Μανουὴλ ὁ Κομνηνὸς ἀναπληρῶν τὸν τοῦ προτέρου τόπον διωρίσατο τεθῆναι ἄνωθεν εἰς σκέπην τῆς πολὺ τὸ χάριεν ἐχούσης ἱερᾶς καὶ ἐπεράστου θήκης· τὸ δέ γε πρότερον ὄν, τὸ καὶ πολύολβον ὄντως θησαύρισμα καὶ μυρίων ἀγαθῶν αἴτιον καὶ ὄρθιον φέρον τὸν μέγαν Δημήτριον, ἐκτεταμμέναις παλάμαις ὕμνοις λαμπάσι τε καὶ δορυφορίαις τιμήσας πρὸς ἡμᾶς ἐξαπέστειλεν. Ὅπερ καὶ ὡς πλησιάσαν ἠκηκόει ὁ σεβασμιώτατος ἡμῶν πατὴρ καὶ ἀρχηγὸς τῆς βασιλικῆς ταύτης μονῆς Ἰωσήφ, μὴ πόρρω σταδίων πεντήκοντα τῆς βασιλευούσης ἀπέχειν, προϋπαντήσας εἰσήγαγε μετὰ δορυφορίας καὶ προόδου πάνυ λαμπρᾶς, ὕμνων τε καὶ λαμπάδων, τῆς προόδου διά τε τῶν τῆς συγκλήτου ἀρχόντων τε καὶ λοιπῶν ἀνδρῶν ἱερωμένων καὶ ἀνιέρων καὶ ἐξ αὐτοῦ τοῦ κοινοῦ θεωρουμένης· καὶ διακομισθέντος τούτου ἐν τῇ καθ' ἡμᾶς βασιλικῇ μονῇ τοῦ Παντοκράτορος, κατὰ τὴν εἰκοστὴν τρίτην τοῦ ὀκτωβρίου μηνός, ἰνδικτιῶνος τρισκαιδεκάτης, μεθ' ὅσης ἂν εἴποι τις χαρᾶς ἦν ἰδεῖν αὐτίκα ὄχλον συρρεύσαντα, οὐκ ἐκ τῆς βασιλευούσης τῶν πόλεων μόνον, ἀλλὰ καὶ ἐκ τῶν θύραθεν ἀναρίθμητον καὶ μέτρῳ μηδαμῶς ὑποκείμενον· διὰ γὰρ τὸ καὶ τὴν ἑορτὴν τοῦ ἐνδοξοτάτου καὶ περιωνύμου μάρ-

7 προσέθηκα τὸ *ἐτέθη*. — 9 κῶδ. *παρέχων*. — 10 προσέθηκα τὸ *οὖν*. — 19 κῶδ *ἐξαπέστηλεν*.

τυρος ἐν χρῷ προθύρων εἶναι ἀδιακόπως εἶχε τὸ ἐνεργὸν ἡ προσκύνησις ἄχρι καὶ τῆς ἡμέρας αὐτῆς τῆς ἑορτῆς, ἥτις ὡς τοιαύτη γέγονε χαριστήριος καὶ ὑπέρλαμπρος, συγκροτηθεῖσα καὶ διὰ τῆς συνελεύσεως τῶν μεγαλοδοξοτάτων ἀνδρῶν καὶ αὐτοῦ τοῦ πανσεβάστου σεβαστοῦ καὶ δικαιοδότου, τοῦ Ταρωνίτου, καὶ τῶν λοιπῶν συγκλητικῶν ἀρχόντων καὶ ἐκ τῶν τῆς συνόδου οὐκ ὀλίγων—ἐῶ γὰρ λέγειν καὶ τοὺς ἐκ τοῦ κοινοῦ ὠθοῦντας καὶ ἀντωθουμένους καὶ ἀλλήλοις συνθλίβοντάς τε καὶ συμπίπτοντας—, τὸ ἐνδέον μηδοπωσοῦν φέρουσα τῆς ἐπὶ τούτου τελειώσει ἐγχωρίου πανηγύρεως.

6. Φαιδρὰ μὲν κἀκείνη, ὡς καὶ τὸ δεσποτικὸν πάθος ἀπεικονίζουσα καὶ ὡς ἐκ τῶν θύραθεν συγκροτουμένη καὶ καύχημα Θεσσαλονικέων οὖσα, πολλῷ δὲ φαιδροτέρα γέγονεν ἡ σήμερον καὶ ὑπέρλαμπρος, τέσσαρσιν ἡμέραις τὸ ἐνεργὸν ἔχουσα μετὰ τὴν τῆς εἰσελεύσεως πρόοδον· καὶ ὡς πρὸς σύγκρισιν πολὺ τὸ διαφέρον κέκτηται τῆς ἐτησίου ἐκείνης καὶ ἐγχωρίου πανηγύρεως. Ταύτην κἀκείνην συμβεβηκυίας θεώμενοι, μίαν συγκροτήσαντες σήμερον, ταῖς ἐκ τῶν λόγων τιμαῖς καθ' ὅσον οἷόν τε ζεούσῃ πίστει καταλαμπρύνωμεν. Ταύτην, ὡς πανεύσημον καὶ πανίερον καὶ παντὸς τοῦ κόσμου θεοβράβευτον δώρημα, τὸν ἅπαντα κόσμον μυρίζον καὶ κατευωδιάζον, ἐν ἱεραῖς μελῳδίαις κατακοσμήσωμεν. Ταύτην, ὡς παρεκτικὴν τῆς τοῦ ἁγίου πνεύματος χάριτος καὶ φωτιστικὴν τῶν ἀρυομένων, τοῖς κατὰ δύναμιν ἐγκωμίοις κατασεμνύνωμεν. Ταύτῃ τῶν ψυχῶν αἱ ῥυτίδες μυστικῶς ἐκκαθαίρονται, τὰς τῶν σαρκῶν ἐπηρείας ἀναστελλούσῃ. Ταύτην φρίττει μὲν ὁ τῶν ἀποστατικῶν δυνάμεων ἄρχων, μύροις τὰ σύμπαντα κατευωδιάζουσαν, ἡ δὲ τῶν ἀερίων πλυθὺς σὺν δέει πολλῷ καὶ ὑποχωρεῖ καὶ συστέλλεται· ταῖς γὰρ τῶν μύρων θαυματουργαῖς βολίσι βαλλομένη μακρὰν ἀπελήλαται, οὐδὲ γὰρ φέρει τὴν ἐν αὐτοῖς ἐπισκιάζουσαν χάριν τοῦ πνεύματος, οὐδ' ὑποστέγει τοὺς ἐν αὐτῇ ἀναπτομένους σπινθῆρας, δι' ὧν ὁ μὲν ἀὴρ εὐωδιῶν εἰς δόξαν τοῦ παντοκρά-

1 κῶδ. *ἀδιακόπος*. — 5 ἀπόγρ. *ταρονήτου καὶ ταρονήτου*. — 15 κῶδ. *πολὺν*. — 24 κῶδ. *ταύτην τ. ψ. αἱ ῥυτίδαις*. — 25 κῶδ. *ἐπιρροίας ἀναστέλλουσα*.

τορος Θεοῦ ἡμῶν πληροῦται, αὕτη δὲ ὑπ' αὐτῶν πυρπολουμένη κατατεφροῦται καὶ καταφλέγεται. Ταύτῃ τὰ τῆς τοῦ Θεοῦ κληρονομίας ὅρια περιφραττόμενα ἀνάλωτα τοῖς ἐχθροῖς διατηροῦνται. Ταύτην καὶ ἡμεῖς [ὁ] τοῦ Χριστοῦ λαὸς περιούσιος ἐκτελοῦντες πανευλαβῶς τὸν περιώνυμον μάρτυρα κατασπαζόμεθα, καὶ πᾶσαν αἴσθησιν καὶ πᾶν μέλος προσπελάζοντες τοῦ ἐκεῖθεν ἁγιασμοῦ ἐμπιπλάμεθα καὶ νοητῶς τὴν τοῦ πνεύματος χάριν ταῖς ψυχαῖς εἰσδεχόμεθα· οὕτω γὰρ ἂν ἡμῖν ὑπάρξῃ, ὡς ἐρασταῖς τῶν ἐξ αὐτοῦ χαρισμάτων καὶ ἐγκωμιασταῖς, εἰς οἶκτον ἐπισπάσασθαι καὶ τὰ πρὸς σωτηρίαν αἰτήματα τῇ εὐπαρρησιάστῳ τούτου μεσιτείᾳ ἄνωθεν ἡμῖν παρασχεθῆναι.

7. Καὶ τὸν μὲν τρόπον τῆς τοῦ μεγάλου καὶ περιωνύμου μάρτυρος πρὸς ἡμᾶς ἐπιδημίας καὶ τὴν μετὰ τῶν λοιπῶν μεγαλοδωρεῶν τῶν τηνικαῦτα συναπτῶς γενομένων ἐξ ὑπομνήσεως καὶ ἀγῶνος ἀνενδότου τοῦ σεβασμιωτάτου καὶ ἁγίου ἡμῶν πατρὸς προσφιλοτιμηθεῖσαν ἐτησίαν πανήγυριν ἤδη παρεστησάμεθα· τὸ δὲ λειπόμενον εὐχαριστητέον τῷ παντοκράτορι κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, εἰ καὶ μὴ διὰ καθαρῶν χειλέων, ἀλλ' ὡς οἷόν τε κατὰ τὸ πλῆθος τῆς αὐτοῦ χρηστότητος, ἐπὶ τὰ ἔμπροσθεν ἄγοντι καὶ δοξάζοντι τὸ ἑαυτοῦ ποίμνιον, εἴπερ καὶ εἰς πᾶν ἔργον ἀγαθὸν καταρτίσειε καὶ πνευματικῶς πανηγυρίζειν τῷ μάρτυρι πείσειεν· ἂν γὰρ οὕτω πανηγυρίζωμεν, καὶ αὐτοὶ τῆς αὐτῆς δόξης κληρονομήσομεν καὶ τοὺς ἔξωθεν ἐχθροὺς κατατροποσόμεθα, ἔχοντες πολεμοῦντά τε καὶ ὑπερμαχοῦντα καὶ ἀντιλαμβανόμενον τὸν ἀήττητον ἐν πολέμοις καὶ μέγαν Δημήτριον, πρὸς ὃν τολμηρῶς καὶ ὡς ἐν εὐθέτῳ καιρῷ ἐκβοήσωμεν· Μεγάλη ἡ πρὸς Θεὸν παρρησία σου, περιώνυμε μάρτυς Δημήτριε· καὶ ἐπεὶ τὰ κατεπείγοντα, μᾶλλον δὲ τὰ συμπνίγοντα τοὺς ποθοῦντας καὶ τιμῶντάς σε ὑπερῆραν καὶ αὐτὰς τὰς κεφαλὰς ἡμῶν, οὐκ ὀλίγων ἡμῖν ἐπικειμένων ἐχθρῶν, ὡς τοῦ Θεοῦ γνήσιος καὶ διάπειρος καὶ πάντα δι' αὐτὸν καταλιπὼν καὶ αὐτὸν μόνον ἀντὶ παντὸς πλούτου κτησάμενος καὶ μιμη-

16 κῶδ. *πρὸς φιλοτιμηθεῖσαν.* — 18 κῶδ. *διακαθαρῶν.* — 21 κωδ. *πείσιεν.* — 22 κῶδ. *κληρονομίσωμεν.* — 26 κῶδ. *ἐνευθέτω.* — 31 κῶδ. *μιμητῆς.*

τῆς τοῦ πάθους αὐτοῦ γενόμενος, καὶ διὰ τοῦτο ὑπὲρ πάντας ἀξίως τιμηθείς, δεόμεθα οἱ ἀνάξιοι δοῦλοί σου: στῆσον πρεσβείαις σου τὰς καθ' ἡμῶν ἀπλήστους ἐπιβουλὰς τῶν μισούντων ἐχθρῶν. Ἰδοὺ οἱ ἐχθροὶ ἡμῶν ἤχησαν, καὶ [οἱ] μισοῦντες ἡμᾶς ἦραν κεφαλὴν καὶ ἐβουλεύσαντο καθ' ἡμῶν λέγοντες· Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτούς. Τοιαῦτα κομπάζουσι, τοιαῦτα βλασφήμῳ γλώττῃ βοῶσι· ταῦτα ἀπειλοῦσιν ἡμῖν κατὰ γῆν τε καὶ θάλατταν. Ἀλλὰ θραῦσον τὰς ὑπερηφάνους αὐτῶν κεφαλάς· λῦσον τὰ ἐν μέσῳ προσκόμματα· διασκέδασον τὴν ἐπέχουσαν αὐτοὺς νεφέλην· ἀγνοοῦσι τὸ συγγενές, τὸ ὁμόφυλον οὐκ ἐπιγινώσκουσι.

8. Καὶ ταῦτα οἱ τοῦ ἑνὸς Χριστοῦ, οἱ τῆς αὐτῆς πίστεως, τοῦ αὐτοῦ βαπτίσματος, ἀξίαν τὴν παράκλησιν ποιήσασθαι διὰ τῶν τῆς ἀρετῆς ἔργων. πάνυ ἐνδεῶς ἔχομεν διὰ τὸ τῆς φύσεως ἡμῶν ἀσθενὲς καὶ τὸ τῆς διανοίας νωθρόν· καὶ κἂν τὴν διὰ ⟨τὴν⟩ τῶν ῥημάτων καὶ μόνον [αἴτησιν ἡμῶν] δέξαι εὐμενῶς, καὶ πάρεσο σήμερον, ἐπιδήμησον ἐνταυθοῖ ἀοράτως, ἐπίστηθι τῷ περικαλλεῖ τούτῳ καὶ οὐρανίῳ τεμένει, ἐν ᾧ ταμιευθῆναι τὴν ἱεράν σου κέκρικας εἰκόνα, ἐν ᾧ πᾶσι τοῖς προσιοῦσι καθορωμένη σεαυτὸν ὁρᾶν καὶ κατασπάζεσθαι καὶ προσκυνεῖν τὸ βέβαιον δίδωσιν· εἰ γὰρ καὶ εἷς εἶ καὶ πολλοῖς ἐπιμεριζόμενος, ἀλλ' οὐκ ἐλαττοῦταί σου ἡ χάρις. Ἐπάκουσον ἡμῶν δεομένων σου· διασκέδασον τὰ βάρβαρα ἔθνη· δορυαλώτους ἀπέργασαι· γνώτωσαν τὴν πρὸς Θεὸν παρρησίαν σου· γνώτωσαν, ὅτι οὗτός ἐστι μόνος Θεός, ὃν σὺ ἀνεκήρυξας, ὑπὲρ οὗ λογχευθεὶς τὸ σὸν αἷμα ἐξέχεας· πρὸ δὲ πάντων περίφραξον, περιφρούρησον τὸν πιστότατον καὶ ὀρθόδοξον ἡμῶν βασιλέα σὺν παντὶ τῷ χριστωνύμῳ λαῷ· φάνηθι τοῖς ἀντιπάλοις· προφανῶς γνώτωσαν καὶ οὗτοι τὴν πρὸς Θεὸν παρρησίαν σου· διάλυσον τοὺς ὑφορωμένους κινδύνους κατὰ γῆν τε καὶ θάλατταν· καταπράυνον τὰς ἐν μέσῳ στάσεις καὶ ταραχάς· παῦσον τὰς μάχας καὶ τοὺς πολέμους· εἰ δὲ καὶ πολέμου καιρὸς ἐπισταίη, νίκαις καὶ τροπαίοις τοῦτον κατάστεψον, φοβερὸν τοῖς πολεμίοις ἀνάδειξον, πο-

3 κῶδ. *ἐπιβουλᾶς*. — 4/5 Ψαλμ. πβ', 2 - 5. — 15 κῶδ. *μόνων, δέξαι*. — 16 κῶδ. *τοῦτο*. — 26 κῶδ. *σὺμπαντὶ τῶ χριστονύμω*. — 28 κῶδ. *καταγῆν*.

θεινὸν ὑπηκόοις ἀπέργασαι· ὑπὲρ τούτων δὲ πάντων ἀντάξιον οὐδέν τι ἀποτῖσαι δυνάμεθα· τί γὰρ ἂν εὑρεθείη παρ' ἡμῶν ἀντάξιον; μόνον, ὅτι εὐχαριστοῦμεν ἀεί, ἀνακηρύττομεν τὰς χάριτας, ᾄδομεν μεγαλοφώνως τὰ σὰ θαυμάσια, τὴν κηδεμονίαν δοξάζομεν, τὰς ἀντιλήψεις σου μεγαλύνομεν καὶ [τὰς] προστασίας σου ὑμνοῦμεν, τὴν βοήθειαν ἐκθειάζομεν ὑπέρ τε τῶν παρεληλυθότων πάλαι δεινῶν καὶ τῶν μεταγενεστέρων.

8. Καὶ ἔτι δυσωποῦμεν, μὴ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐνδώσῃς καὶ ἀποστραφῇς, ὅτι πολὺ τὸ πλῆθος τῶν παραπτωμάτων ἡμῶν· ὑπὸ τούτων γὰρ κατακαμπτόμενοι καὶ πρὸς γῆν κατασυρέντες οὐ δυνάμεθα τὰς κεφαλὰς ἆραι πρὸς τὸ ὕψος τοῦ οὐρανοῦ, ὡς ὑπὸ τῆς κακῆς συνηθείας καὶ μὴ βουλόμενοι πρὸς τὰ πονηρὰ συναρπαζόμεθα διὰ τὴν ἐκ νεότητος μέχρι τοῦ νῦν συναυξηθεῖσαν καὶ συγγηράσασαν ἡμῖν ὀλέθριον ἡδονήν, ἣν ἐκ πολλῆς καταφρονήσεως τῶν ἐντολῶν τοῦ Θεοῦ ἐθησαυρίσαμεν. Ὡς οὖν ἔθος ἔχεις προΐστασθαι ἀεὶ ὑπὲρ ἡμῶν, τοῦτο καὶ πάλιν τολμῶντες ζητοῦμεν· διὰ γὰρ τοῦ μὴ ἐκπεσεῖν τοῦ σκοποῦ ἡμῶν τὴν πρὸς ἡμᾶς σου ἐπιδημίαν τῶν ἄλλων ἀφέμενοι προτιμοτέραν ἐκρίναμεν. Ἱκέτευε οὖν ἀδιαλείπτως τὸν παντοκράτορα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μὲν τῷ παρόντι βίῳ τὸν πιστότατον καὶ ὀρθοδοξότατον ἡμῶν βασιλέα νίκας κατ' ἐχθρῶν λαμβάνειν καὶ φοβερὸν τοῖς ὑπεναντίοις δεικνύεσθαι, ἐν δὲ τῷ μέλλοντι αἰῶνι ζωὴν αἰώνιον καὶ ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν· ἡμᾶς δὲ τοὺς ἀναξίους δούλους σου ὁδήγησον εἰς πᾶν ἔργον ἀγαθόν, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Ἔχεις συναιρομένην καὶ τὴν πανάμωμον καὶ ὑπεραγίαν ἡμῶν δέσποιναν παρθένον καὶ Θεοτόκον, ἧς λαὸς ἡμεῖς καὶ κλῆρος· δι' αὐτῆς, ὅσα καὶ βούλει, πάντα σοι δυνατά· δι' αὐτῆς καὶ ἡμεῖς δοξάζοντες τὸν ἀληθινὸν Θεὸν ἡμῶν σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, ὃν σὺ ἐκήρυξας καὶ ἐμεγάλυνας, τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστου, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

7 κῶδ. *δυνῶν*. — 8 κῶδ. *ἐνδόσεις*. — 14 κῶδ. *σὺνγηράσασαν*. — 16 κῶδ. *τολμόντες*. — 22 κῶδ. *δεικνύσθαι*.

XII.

ΙΟΥΝΙΩΙ Η'.

ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

ΠΑΥΛΟΥ

ἐν τοῖς Καϊουμᾶ ἐπὶ τῶν εἰκονομάχων ἀθλήσαντος.

(Cod. Patriarch. 17, fol. 15β—17β).

---

1. Ἄρτι τῆς δυσσεβεστάτης τῶν Ἑλλήνων θρησκείας ἀποσβεσθείσης καὶ τοῦ τῆς εὐσεβείας δόγματος ἁπανταχοῦ διαλάμψαντος εἰρήνη κατεῖχε τὴν οἰκουμένην βαθεῖα, καὶ ἦν οὕτω καλῶς τὰ πράγματα νεύσει διακυβερνώμενα θείᾳ καὶ τὸ χριστιανικὸν φῦλον γηθόμενον ἐν τούτοις καὶ ἀγαλλόμενον καὶ ὁσημέραι εὐθηνούμενον. Ἐπεὶ δὲ τὸν πονηρὸν οὐκ ἦν ἠρεμεῖν ἐν οὕτω βαθείᾳ καὶ καθαρᾷ τῇ γαλήνῃ, χειμῶνα δεινὸν καὶ κλύδωνα σφοδρὸν ἐξεγείρει καὶ "πάντα λίθον" κινεῖ—τὸ τοῦ λόγου—τὸ καλὸν διατεμεῖν σῶμα τῆς ἐκκλησίας καὶ οὕτως ἀνεπαισθήτως ὥσπερ ἐκκυλίσαι τοὺς ἀνθρώπους αὖθις ἐπὶ τὴν πλάνην. Καὶ τί ποιεῖ; Λέοντα τὸν Συρογενῆ, τὸν πάσης πλήρη κακίας καὶ δόλου κατὰ τοῦ καλοῦ βασιλέως, τοῦ Θεοδοσίου φημί, κατεξανιστᾷ, χεῖρα τοῦτον ἄρασθαι πείσας πολεμικὴν κατ' αὐτοῦ. Ἀλλ' ὁ μὲν ὑπεξίσταται τούτῳ τῆς βασιλείας καὶ τὸν μοναδικὸν βίον ἐπαναιρεῖται καὶ γίνεται τὸ τοῦ Δαίμονος ὄργανον, ὁ [δὲ] Λέων τῶν Ῥωμαϊκῶν σκήπτρων ἐγκρατής, ὡς μὴ ὄφελε, καὶ δεινὴν κατὰ τῶν σεπτῶν εἰκόνων πνέει τὴν αἵρε-

6 κῶδ. *βαθεία*. — 8 Corpus paroem. II, σ. 201. — 13 κῶδ. *πολεμικεῖν*.

σιν, τὴν προσκύνησιν αὐτῶν ἀποκηρύττων ὁ κατάρατος—οἴμοι — καὶ τὸ πονηρὸν τοῦτο δόγμα κατὰ πᾶσαν σχεδὸν διασπείρων τὴν οἰκουμένην.

2. Ἀλλ' ἐπεὶ τοῦτον ἡ δίκη μετῆλθε καὶ τὸ πονηρὸν τῆς κακίας κύημα τῶν σκήπτρων κακῶς ἐπελάβετο, ὁ Κοπρώνυμος Κωνσταντῖνος, καὶ τὴν αὐτὴν ἐνόσει καὶ ἐπλάτυνεν αἵρεσιν, ὁ καλὸς οὗτος Παῦλος καὶ τῆς ἀληθείας ὑπέρμαχος, τὸ τῆς ἡμετέρας πόλεως (τῆς Κωνσταντίνου φημὶ) γέννημα καὶ θρέμμα καὶ παίδευμα καὶ πολλοὺς ἄλλους πρὸς τὸν ὅμοιον ἔχων ζῆλον κρατύνοντας τὸ ὀρθόδοξον, παρρησιάζεται καὶ αὐτὸς τὴν εὐσέβειαν, καὶ τῷ τοῦ πικροῦ λέοντος πικροτέρῳ σκύμνῳ προσιών, τῷ Κωνσταντίνῳ φημί, βάλλει τοῦτον τοῖς ἐκ λόγων βέλεσι καὶ στηλιτεύει καλῶς καὶ νικᾷ κατὰ κράτος· ἀλλὰ δὴ καὶ πρὸς ὀργὴν ἐρεθίζει, μὴ δεῖν, λέγων, τὰ παρὰ βασιλέων καὶ πατέρων τεθεσπισμένα καὶ χρόνοις ἐν οὕτω μακροῖς τὴν πῆξιν εἰληφότα καινοφωνίαις τισὶν ἐναλλάττειν καὶ πρόσσχήματι τῆς εὐσεβείας ἐγκατασπείρειν ἀσέβειαν. Ὁ δυσσεβὴς οὖν τοὺς ἐλέγχους μὴ φέρων, καὶ μακροὺς ὄντας καὶ ἀληθεῖς καὶ ὅλως ἀναντιρρήτους, μήτε μὴν οἷός τε ὢν πρὸς τοσαύτην ἀλήθειαν ἀντισχεῖν, τὸν τῆς εὐσεβείας κακῶς μετέρχεται κήρυκα, καὶ πρῶτα μὲν "τίς καὶ πόθεν οὗτός ἐστιν" ἐρωτᾷ, "ὅτι καὶ βασιλικοῦ καταπεφρόνηκε βήματος καὶ τοσαύτην ῥημάτων ἐπαφῆκε δεινότητα"; καὶ ἐπεὶ μάθοι ὡς ἡμεδαπὸς ὁ ἀνὴρ καὶ θείων εἰκόνων προσκυνητής, τέως μὲν αὐτὸν τῇ εἱρκτῇ παραπέμπει, ξύλῳ τοὺς πόδας ἐγκλεισθῆναι κελεύσας.

3. Μετὰ δέ τινα παρέλευσιν ἡμερῶν παρίστησιν αὖθις τοῦτον ἐπὶ τοῦ βήματος καὶ "νῦν γοῦν ἀνανήψας", φησί, "γενέσθαι, Παῦλε, θέλησον μεθ' ἡμῶν καὶ στοιχῆσαι τοῖς ἡμῶν δεδογμένοις". Καὶ ὁ ἅγιος· "Ἡμεῖς, φησί, βασιλεῦ, τοῖς ἀποστολικοῖς καὶ τοῖς τῶν πατέρων πειθαρχοῦντες κανόσι τὴν τιμὴν οὐμενοῦν ἀπαρνησόμεθα ταῖς εἰκόσι προσνέμειν· διὸ καὶ τοῖς μὴ τοῦτο κελεύουσι δόγμασιν ἀποτασσόμεθα καὶ Θεοῦ ἐχθροὺς διαρρήδην κατονομά-

6 κῶδ. *κωνσταντίνος*. — 10 κῶδ. *ὀρθόδοξον*. — 13 κῶδ. *κατακράτος*. — 15 κῶδ. *κενοφωνίαις*. — 25 κῶδ. *δέτηνα*. — 29 κῶδ. *οὐμενοῦν*. — 30 κῶδ. *πρὸς νέμειν*.

ζομεν". Τότε θυμοῦ πληρωθεὶς ὁ παράνομος τμηθῆναι κελεύει τὴν τοῦ μάρτυρος ῥῖνα καὶ δοθῆναι τοῦτον αὖθις τῇ φυλακῇ. Τρεῖς ἐν τούτῳ παρῆλθον ἡμέραι καὶ πάλιν ἐπὶ τὸ βῆμα προάγεται καὶ τῆς γνώμης ἀποστῆναι κελεύεται· ἀλλ' ἐκεῖνος "Τί μάτην", ἔφη, "βασιλεῦ, πιθανότητας ὡς οἴει μοι λόγων προσάγεις; ἴσθι τοιγαροῦν, ὡς οὐ χρονία κάθειρξις, οὐ μελῶν ἀποκοπαί, οὐκ ἄλλο τι τῶν θάνατον ἐπαγόντων, ἀποστῆσαί με τῆς προσκυνήσεως τῶν σεπτῶν εἰκόνων δυνήσεται. Ποίει τοιγαροῦν τὸ τῇ ἐξουσίᾳ σου παριστάμενον". Ταῦθ' οὕτως εἰπὼν καὶ πρὸς οὐρανοὺς ἀπιδών "Μὴ γένοιτό μοι", ἔφη, "Χριστὲ βασιλεῦ, τὴν σαρκομοιόμορφόν σου θείαν ἀθετῆσαι τὸ παράπαν εἰκόνα! μὴ τῆς σῆς κατὰ σάρκα μητρός! μὴ τῶν πάντων ἁγίων σου!". Τότε μαίνεται τὸ τοῦ Δαίμονος, ὁ βασιλεύς, ἐργαστήριον καὶ πίσσαν ἐνεχθῆναι κελεύει καὶ τέαφον καὶ πυρὶ ταῦτα λυθῆναι καὶ χεθῆναι κατὰ τῆς τοῦ μάρτυρος κεφαλῆς· ἀλλὰ καὶ τούτου γενομένου καρτερὸς ὁ μάρτυς ἐδείκνυτο καὶ πρόθυμος πρὸς τὴν κόλασιν.

4. Ἔνθεν τοι καὶ δέχεται πάλιν τοῦτον τὸ δεσμωτήριον καὶ ὁ μὲν θείοις ἐτρέφετο λόγοις καὶ ταῖς εὐχαῖς, ὁ τύραννος δὲ τῇ μανίᾳ φλεγόμενος πάλιν αὐτὸν πρὸς ἐξέτασιν ἄγει, καὶ πάλιν μανίας ὑποπλησθεὶς "Μέχρι τίνος, ὦ δύστηνε, τοῖς δεινοῖς διὰ δόξαν κενὴν ἐθέλων ἐγκαρτερεῖν, οὐ στοιχεῖν ἐθέλεις τοῖς ἡμετέροις, ἀλλὰ παραβάτας ἡμᾶς, μὴ καλῶς νοῶν, θείων νόμων ἀποκαλεῖς"; Καὶ ὁ ἅγιος· "Αὐτά, βασιλεῦ, κατηγοροῦσι τὰ πράγματα, κἂν ἐγὼ σιωπῶ, ὅτι τὴν πατροπαράδοτον ἠθέτησας πίστιν καὶ καινὴν ἄλλην καὶ πόρρω Θεοῦ βάλλουσαν προτετίμηκας". Καὶ ὁ βασιλεύς· "Κακὴ κεφαλή! ἔστι που παρὰ τοῖς προφήταις, ἢ τοῖς ἀποστόλοις, ἢ τοῖς πατράσιν, μορφὴν ἀνθρωπίνην νενομοθετημένον στηλογραφεῖσθαι καὶ τὸ ἀνόσιον προσκυνεῖσθαι"; Καὶ ὁ ἅγιος τὴν παρὰ τῆς αἱμόρρου γυναικὸς τοῦ Χριστοῦ γεγενημένην καὶ παρὰ Λουκᾶ τοῦ ἀποστόλου τῆς Θεοτόκου μορφὴν εἰς μέσον προθείς, καὶ ὡς ἐδέχθη τούτων ἡ τιμητικὴ παρὰ τῶν πατέρων προσκύνησις καὶ τῶν ἄλλων ἁγίων, ὧν πλήρεις οἱ θεῖοι ναοί, σαφῶς ἀπο-

5 κῶδ. ἴσθη. — 20 κῶδ. διαδόξαν. — 29 κῶδ. αἱμόρου. — 31 κῶδ. τιμητικῆ.

δείξας, καὶ "πῶς οὐκ ἔφριξας", εἰπών, "ὦ ταλαίπωρε, τὴν ἀθέτησιν αὐτῶν δογματίσαι, ἀλλὰ δὴ σπεύδεις ἡμᾶς κοινωνῆσαί σοι τοῦ ἀτοπήματος", ἔπληξε τὴν ψυχὴν τοῦ τυράννου.

5. Διὸ καὶ τὸ ἀπολογήσασθαι πρὸς ταῦτα καταλιπὼν ὑπεχώρησε καὶ τίνα τιμωρίαν σὺν τοῖς ἀδίκοις κριταῖς ὑποστῆναι τὸν δίκαιον διεσκέπτετο, ναὶ δὴ καὶ νόμον ἐζήτει ὁ τοῦτον παραβάς, τῶν πραττομένων συλλήπτορα. Καὶ οἱ μὲν ὡρίσαντο κακῶς ὅπερ ὥρισαν, ὁ δὲ τύραννος, ἅτε δεινότερος αὐτῶν ὤν, δεινοτέραν ὁρίζει ταύτην· τοὺς ὀφθαλμοὺς ἐκκοπῆναι προστάττει τοῦ μάρτυρος. Ἀλλὰ καί τινα τῆς αὐτοῦ κακίας ἐπινοεῖ τούτῳ βάσανον, καὶ σκοπεῖτε ὡς χαλεπήν. Διὰ μέσης ἕλκεσθαι τοῦτον κελεύει τῆς ἀγορᾶς, σχοίνῳ τῶν αὐτοῦ ποδῶν ἐκδεθέντων, εἶτα καὶ κυσὶ μετὰ θάνατον ῥιφῆναι βοράν· ἃ δὴ καὶ τάχιον ἐπλήρουν οἱ στρατιῶται, τὰς αὐτοῦ χεῖρας ἐξαγκωνίσαντες, τῶν ποδῶν τε σχοίνους ἐκδήσαντες καὶ μέσης ἑλκύσαντες τοῦτον τῆς ἀγορᾶς, "Ἥρα", λέγοντα, "τοὺς ὀφθαλμούς μου, Κύριε, πρὸς σὲ τὸν κατοικοῦντα τοὺς οὐρανούς, ὅθεν ἥξει ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν". Ταῦτα δεινῶς ἑλκόμενος ἔλεγε καὶ οὕτω παρέθετο χερσὶ Θεοῦ τὴν ψυχήν· ὀγδόην ἦγεν ὁ Ἰούνιος μήν. Οἱ οὖν ἀσεβεῖς ἤδη καὶ νεκρὸν αὐτοῦ τὸ σῶμα κοράκων δίκην αἰκίζοντες τῷ τόπῳ ῥίπτουσι τῶν καταδίκων εἰς βορὰν οἱ κυνῶν αὐτοῦ τρόπον καθυλακτοῦντες· ἄνδρες δέ τινες εὐλαβεῖς τοῦτο λαβόντες ἐν ἰδιάζοντι κατατίθενται τόπῳ, λίθον μέγαν τῇ σορῷ προσκυλίσαντες, καὶ ἦν οὕτω κρυπτόμενον διὰ τὸν φόβον τὸ καλὸν ἐκεῖνο σῶμα τοῦ μάρτυρος.

6. Ὅτε δὲ πάλιν τῆς ἀληθείας ἡ χάρις ἐξέλαμψε καὶ πάντες γεγόνασιν ἐκποδὼν οἱ κακόδοξοι καὶ τὸν οἰκεῖον κόσμον ἡ ἐκκλησία ἠμφιάσατο, Μιχαὴλ τοῦ τῆς εὐσεβοῦς Θεοδώρας υἱοῦ τηνικαῦτα τὰ τῆς βασιλείας ἰθύνοντος σκῆπτρα καὶ Ἀντωνίου τοῦ Καυλέου κατονομαζομένου τὸν θρόνον κατακοσμοῦντος τῆς ἐκκλησίας, τότε φανεροῦται καὶ τὸ σῶμα τοῦ μάρτυρος, καὶ ὅπως ὁ λόγος παραστήσει σαφῶς. Τῷ πατριάρχῃ δὴ τούτῳ τῷ Ἀντωνίῳ

16 Ψαλμ. ρκ', 1-2. ρκβ', 1. — 21 κῶδ. ῥιπτοῦσι. — 23 κῶδ. ἐνιδιάζοντι - - μέγα.

νυκτὸς ὄψις ἐφίσταται "Ἄγε δή", λέγουσα πρὸς αὐτόν, "τὸν κλῆρον ἀναστὰς τάχος παράλαβε κἀν τοῖς Ἄσπαρος μέρεσιν ἄπελθε, καὶ πρὸς αὐτὴν τοῦ Καϊουμᾶ γενόμενος τὴν μονὴν τὸ τοῦ Παύλου ζήτησον σῶμα, ὃς πολλοὺς ὑπὲρ τῆς ἀληθείας τοὺς ἀγῶνας ὑπέστη, καὶ τοῦτο φιλοτίμως ὑπὲρ γῆν καταθέμενος, οὕτω τῆς προνοίας εὐδοκησάσης, ἰατρεῖον ἀπόδος τοῖς χρῄζουσι". Κατέλαβε τὸν τόπον ὁ πατριάρχης, τελεῖ τὴν θείαν μυσταγωγίαν κατὰ τὴν δηλωθεῖσαν μονήν, ἀνορύττει τόπον ἐκκαλυφθέντα τούτῳ, πολλὰ καταδίκων εὑρίσκει κείμενα σώματα, μέγιστον ἐκεῖσε λίθον ὁρᾷ, τοῦτον ἆραι κελεύει. Ἤρθη τὸ πάμμεγα τοῦ λίθου χρῆμα· μύρων ἡδυπνόων ὀσμὴ κηρύττει τὸν μάρτυρα, ἐκ παραδόξου φανέντα· ἦν γὰρ ὅλος ἀσινής, ὁλόκληρος, ὅλος, ὡς ἄρτι τῇ γῇ τεθειμένος, δύο πρὸς τοῖς εἴκοσι χρόνων καὶ ἑκατὸν παρεληλυθότων ἀφ' οὗπερ ὁ σοφὸς τὴν τοῦ μαρτυρίου διήνυσε δίαυλον. Θαῦμα τοίνυν τοὺς ἰδόντας εἶχε καὶ ἔκπληξις, καὶ δὴ καὶ τὰ εἰκότα τελέσαντες καὶ πιστῶς αὐτὸ καὶ ἐντίμως ἁράμενοι τῷ ναῷ τῆς Θεομήτορος ἐγκατέθεντο. Καὶ νῦν ἔστιν ἰδεῖν πᾶσαν ἐκεῖσε σχεδὸν ἐκκενουμένην τὴν πόλιν καὶ τὸ συμφέρον ἕκαστον εἰς θεραπείαν λαμβάνοντα· νοσούντων μὲν γάρ ἐστιν ὁ μέγας ἐπίσκεψις, ἣν ἂν εἴποις θεραπεύων νόσον καὶ ἐξιώμενος, λυπουμένων καὶ καταπονουμένων ἀναψυχὴ καὶ ἀνάκλησις, συμφορῶν ἀπαλλαγὴ καὶ χειμαζομένων λιμήν. Ἀλλ' ὦ πανάγαστε καὶ πανάριστε μάρτυς, νέμοις ταῖς πρὸς Θεόν σου δεήσεσι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μῆκος ζωῆς εὐτυχοῦς, ἰσχὺν καὶ κράτος κατ' ἐναντίων, χρηστότητα καὶ τρόπων εὐθύτητα, ἄλυπον τὸ βασίλειον, ἡδὺ καὶ παγγάληνον, λαμπρὸν καὶ πανθαύμαστον, πολλοῖς τροπαίοις κοσμούμενον καὶ χειρὶ Θεοῦ τῇ πανσθενεῖ συντηρούμενον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

13 τὴν] οὕτως ἐν τῷ κώδικι.

XIII.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΑΘΗΝΟΓΕΝΟΥΣ ΕΠΙΣΚΟΠΟΥ.

(Cod. Sab. 168, f. 44β - 50α).

1. Ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἦν πολλὴ μανία κατὰ τῶν χριστιανῶν, ὥστε κινδυνεύειν πάντας τοὺς κατὰ Θεὸν εὐσεβῶς ζῶντας. Ἐταράττετο οὖν πᾶσα ἡ οἰκουμένη, τῆς δεινῆς μανίας κρατούσης. Παρεδίδουν οἱ πλείους εἰς θάνατον, πατὴρ τέκνον, ἀδελφὸς ἀδελφόν, φίλοι φίλους, διὰ τὸν φόβον τοῦ βασιλέως· ἦν δέ τις ἡγεμὼν ἐν τῇ πόλει Σεβαστείᾳ ὀνόματι Φιλήμαρχος, καὶ προσέταξεν αὐλητὰς καὶ κύμβαλα δονεῖσθαι ἔμπροσθεν αὐτοῦ καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων στέμματα φοροῦντας ἐπιτελεῖν τὰς θυσίας. Καὶ προκαθίσας ἐπὶ τοῦ βήματος λέγει διὰ τοῦ κήρυκος· "Ἀκούσατε οἱ πολῖται καὶ πάντες οἱ ἐπίσημοι τοῦ προστάγματος τοῦ βασιλέως, καὶ προσελθόντες θύσατε τοῖς θεοῖς". Καὶ ἐκέκραγεν πᾶν τὸ πλῆθος τῆς πόλεως· "Χριστιανοί ἐσμεν καὶ οὐ θύομεν εἰδώλοις"· πολὺν δὲ ὄχλον τιμωρησάμενος ἀνεῖλεν, οἱ δὲ ἅγιοι μαρτυρήσαντες διὰ τὸν Χριστὸν ἀπέλαβον τὸ βραβεῖον τῆς ἐπουρανίου κλήσεως.

2. Προσελθὼν δέ τις τῷ ἡγεμόνι ὀνόματι Νικόλαος εἶπεν· "Κύριε ἡγεμών, ὑπάρχει τις ἀνὴρ ὀνόματι Ἀθηνογένης, χωρε-

1 κῶδ. *Ἐπιδιοκλιτιανοῦ τ. β. ἦν πολλῆ.* — 6 κῶδ. *σεβαστία.* — 7 κῶδ. *αὐλιτὰς.* — 8 ἱερεῖς] κῶδ. *μιερεῖς* || κῶδ. *φοροῦντας.* — 9 κῶδ. *προκαθήσας.* — 12 κῶδ. *πὰν.* — 13 κῶδ. *εἰδόλοις.* — 16 κῶδ. *τίς τῶ ἡγεμώνι.* — 17 κῶδ. *ὑπάρχη τίς.*

πίσκοπος τυγχάνων καὶ σχεδὸν πᾶσαν τὴν οἰκουμένην πλανᾷ· οἰκεῖ δὲ ἐν Φυλαχθόῃ, ἐν μοναστηρίῳ". Ἀκούσας δὲ ὁ ἡγεμὼν ἀπέστειλεν στρατιώτας τοῦ συλλαβέσθαι αὐτόν· οἵτινες παραγενόμενοι ἐν τῷ μοναστηρίῳ καὶ μὴ εὑρηκότες τὸν δίκαιον, ἐπιλαβόβενοι τοὺς μαθητὰς αὐτοῦ ἀπήγαγον αὐτοὺς ἐν Σεβαστείᾳ. Ἰδὼν δὲ αὐτοὺς ὁ ἡγεμὼν προσέταξεν αὐτοὺς ἀπενεχθῆναι ἐν τῇ φυλακῇ καὶ ἀσφαλισθῆναι· εἶπεν δὲ τοῖς στρατιώταις· "Θηρεύσατέ μοι καὶ τὸν τούτων διδάσκαλον".

3. Αὐτῶν δὲ περιπολούντων τὸ ποῦ εὑρεῖν τὸν δίκαιον, παραγεγονὼς ὁ ὅσιος τῇ ἐπαύριον ἐν τῷ μοναστηρίῳ, ἐν ᾧ κατῴκει αὐτὸς καὶ οἱ δέκα μαθηταὶ αὐτοῦ, καὶ μὴ εὑρὼν τούτους ἀνήρχετο εἰς τὸν εὐκτήριον οἶκον καὶ ἔκλαιεν, πρὸς τὸν ἐκεῖ ἑστῶτα σταυρὸν λέγων· "Ποῦ εἰσιν, οὓς παρεθέμην σοι ἀδελφούς; τίς ἀναπέμψει σὺν ἐμοὶ τὰς συνήθεις εὐχὰς τῷ Θεῷ; ποῦ εἰσιν τὰ καλὰ στελέχη τῆς ἐλαίας; τί μοι γέγονεν τοῦτο; οὐδὲν ἐπίσταμαι". Καὶ ἦν ἐν πολλῇ ἀθυμίᾳ ὁ ἅγιος. Πορευθέντος δὲ αὐτοῦ ἐν τῷ περιβόλῳ, ὑπήντησεν αὐτῷ ἡ ἔλαφος, ἣν ἀνεθρέψατο ἐκ μικρόθεν, καὶ προσπεσοῦσα κατεφίλει τοὺς πόδας τοῦ δικαίου καὶ εἶπεν αὐτῷ λογικῇ φωνῇ· "Ποῦ εἶ, κύριε, καὶ ἐθηρεύθησαν οἱ μαθηταί σου; ἀποστείλας γὰρ ὁ ἡγεμὼν στρατιώτας προσέταξεν ἀπαχθῆναι αὐτοὺς ἐν Σεβαστείᾳ τῇ πόλει, ἵνα μαρτυρήσωσιν". Ὁ δὲ ἅγιος ἀκούσας ταῦτα περιχαρὴς ἐγένετο· ἀνανεύσας δὲ εἰς τὸν οὐρανὸν ἤρξατο λέγειν· "Εὐχαριστῶ σοι, κύριε Ἰησοῦ Χριστέ, ὅτι τὰ εὐγενῆ στελέχη σου ἐκάλεσας εἰς τὴν ἐπουράνιόν σου βασιλείαν".

4. Καὶ ἐπιστραφεὶς ὁ ἅγιος ηὐλόγησεν τὴν ἔλαφον, καὶ παραθέμενος αὐτὴν τῷ Κυρίῳ ἐπορεύθη ἐν Σεβαστείᾳ τῇ πόλει πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ. Παραγενόμενος δὲ ὁ ἅγιος ἔστη κατάντικρυς τοῦ πραιτωρίου καὶ ἤρξατο λέγειν· "Τί ἐσύλησάς με,

1 κῶδ. *σχεδῶν - - πλανᾶ.* — 2 κῶδ. *ἡγεμῶν·* οὕτω καὶ ἑξῆς. — 5 κῶδ. *σεβαστία·* οὕτω καὶ ἑξῆς. — 7 κῶδ. *στρατιῶταις.* — 12 κῶδ. *ἔκλεεν.* — 14 κῶδ. *συνεμοὶ τ. σ. εὐχαστῶ.* — 15 κῶδ. *στελέχει τ. ἐλέας.* — 18 κῶδ. *προσπεσοῦσα.* — 19 κῶδ. *εἶς.*—22 κῶδ. *περιχαρὶς.*—24 κῶδ. *εὐγενὴ στελέχει.*—29 κῶδ. *κατ' ἄντικροις.*

τύραννε; ἴδοι ὁ Θεὸς ἐφ' οἷς διαπράττεις κακοῖς καὶ στιβαρώσοι ἐπὶ σὲ τὴν ὀργὴν αὐτοῦ". Εὐθὺς δὲ διεβλήθη ὁ ἅγιος τῷ ἡγεμόνι, ὅτι "ἰδοὺ πάρεστιν ὁ ζητούμενος Ἀθηνογένης καὶ πολλὰ ὀδύρεται τὴν ὑμετέραν λαμπρότητα". Εὐθέως δὲ προσέταξεν ὁ ἡγεμὼν ἐμβληθῆναι τὸν ὅσιον ἐν τῇ φυλακῇ, ὅπου ἦσαν καὶ οἱ ἀδελφοὶ αὐτοῦ διὰ τὸν Χριστὸν ἐγκατάκλειστοι. Ἰδὼν δὲ αὐτοὺς ὁ ἅγιος καὶ πάνυ χαρᾶς πλησθεὶς εἶπεν αὐτοῖς· "Εἰρήνη ὑμῖν· πληθυνθείη καὶ ἡ τοῦ Χριστοῦ χάρις εἴη μεθ' ὑμῶν, ἐπειδὴ εὐάρεστοι τῷ Θεῷ ἐγενήθητε· αὐτὸς ἐκέλευσεν ὑμᾶς εἰς τὸν ἐπουράνιον αὐτοῦ δεῖπνον. Ἀνδρίζεσθε οὖν καὶ μὴ δειλιάσητε τὰς ἀπειλὰς τοῦ τυράννου· χάριτι γὰρ Χριστοῦ αὔριον τελειοῦσθε καὶ ἔσεσθε μετὰ τῶν Ἀγγέλων αὐτοῦ ἐν Παραδείσῳ χορεύοντες καὶ ἀγαλλιώμενοι διὰ παντός, ἀκαταπαύστως δοξάζοντες τὸν ἐπουράνιον δεσπότην".

5. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ προκαθίσας ἐπὶ τοῦ βήματος ὁ τύραννος ἐκέλευσεν προσαχθῆναι τὸν ἅγιον Ἀθηνογένην καὶ τοὺς αὐτοῦ μαθητάς, καὶ λέγει αὐτοῖς· "Θύσατε τοῖς θεοῖς καὶ τὸ θέσπισμα τοῦ βασιλέως ποιήσατε· εἰ δὲ ἀπειθῆτε, βασανίσω ὑμᾶς βασάνοις πολυπλόκοις, ὡς καὶ τοὺς πρὸ ὑμῶν ἐμμείναντας τῇ ἀπονοίᾳ, κακηγκάκως ἀποθανόντας". Ἀποκριθεὶς δὲ ὁ ἅγιος Ἀθηνογένης εἶπεν τῷ ἡγεμόνι· "Σὺ μὲν οὓς ἔφης αὐτὸς ἀπολέσθαι, οὐκ ἀπώλοντο, ἀλλ' εἰσὶν ἐν οὐρανῷ μετὰ Ἀγγέλων χορεύοντες". Ὁ δὲ ἡγεμὼν εἶπεν· "Μὴ κόπους πάρεχε, Ἀθηνογένη, ἀλλὰ συντόμως πείσθητί μοι μετὰ τῆς συνοδίας σου καὶ θῦσον τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀπόλεσθε". Ἀποκριθεὶς δὲ ὁ ἅγιος Ἀθηνογένης εἶπεν τῷ τυράνῳ· "Παράνομε καὶ ἀναιδέστατε κύον, οὐκ ἐκφοβεῖς ἡμᾶς ταῖς ἀπειλαῖς σου· ποίει, ὃ θέλεις· ἕτοιμοι γάρ ἐσμεν διὰ τὸν Θεὸν πάντα πάσχειν".

1 κῶδ. *εἶδοι - - διαπράττει κ. κ. στιβαρώσει.* — 2 κῶδ. *ἡγεμώνη.* — 3 κῶδ. *παρέστιν ὁ ζ. ἀνθηνογένης.* — 5 κῶδ. *εἶσαν.* — 6 κῶδ. *ἰδὸν.* — 10 κῶδ. *αὐτοῦ δείπνον.* — 11 κῶδ. *τελειούσθαι.* — 12 κῶδ. *χωρεύοντες.* — 16 κῶδ. *ἀνθηνογένην.* — 20 κῶδ. *κακηνκάκως.* — 21 κῶδ. *ἡγεμώνι - - ὡς ἔφης αὐτούς.* — 22 κῶδ. *ἀπόλυντο* || κῶδ. *χωρεύοντες.* — 23 κῶδ. *ἀνθηνογένη· οὕτω καὶ ἑξῆς.* — 25 κῶδ. *ἀπόλεσθαι.* — 26 κῶδ. *οὐκεκφοβεῖς.*

6. Τότε χολέσας ὁ ἡγεμὼν προσέταξεν τοὺς δέκα μαθητὰς τοῦ ἁγίου κρεμασθέντας ξέεσθαι, οἱ δὲ ἅγιοι βασανιζόμενοι ἔλεγον· "Ἡμεῖς ἕτοιμοί ἐσμεν διὰ τὸν Χριστὸν ἀποθανεῖν· οὐκ ἀρνούμεθά σε, Κύριε". Ἐπὶ πλεῖον δὲ ἰδὼν ὁ τύραννος τὸ καρτερικὸν καὶ ἀμετάθετον τῆς ὑπομονῆς αὐτῶν, θυμομαχήσας κατ' αὐτῶν, προσέταξεν αὐτοὺς ξίφει ὑποβληθῆναι, καὶ ἐτελειώθησαν οἱ ἅγιοι μάρτυρες ἐν καλῇ ὁμολογίᾳ, καὶ παρεγένοντο ἔνδοξοι εἰς τὸν Παράδεισον.

7. Προσκαλεσάμενος δὲ ὁ τύραννος τὸν ἅγιον Ἀθηνογένην ἔφη πρὸς αὐτόν· "Ποῦ ἐστιν ὁ Χριστός σου, ὃν λέγεις; διατί οὐκ ἐρρύσατο τοὺς μαθητάς σου ἐκ τῶν χειρῶν μου"; Προσέταξεν δὲ κἀκεῖνον ἀναρτηθέντα ἐπὶ τοῦ ξύλου ξέεσθαι. Ὁ δὲ ἅγιος κρεμάμενος λέγει· "Δόξα σοι ὁ Θεός, ὅτι κατηξίωσάς με ὑπὲρ τοῦ ὀνόματός σου βασανίζεσθαι". Ὁ δὲ ἡγεμὼν εἶπεν· "Διὰ τί κἂν σὲ οὐ ῥύεται ὁ Θεός σου ἐκ τῶν χειρῶν μου"; Ὁ δὲ μάρτυς εἶπεν· "Καὶ ἐρρύσατο καὶ ῥύσεται ἐκ τῆς κακοτέχνου σου κακίας, παράνομε". Ἐκέλευσεν δὲ ὁ ἡγεμὼν κατενεχθέντα αὐτὸν ἀπὸ τοῦ ξύλου τύπτεσθαι αὐτὸν εἰς τὰς χαραγμὰς τῶν πλευρῶν· ὁ δὲ ἅγιος ἀθλητὴς τοῦ Χριστοῦ δεινῶς βασανιζόμενος λέγει· "Ἐπὶ σοί, Κύριε, ἤλπισα· σῶσόν με ἐν τῷ ἐλέει σου". Ἐγένετο δὲ Θεοῦ φωνὴ πρὸς αὐτὸν λέγουσα· "Θάρσει ὁ ἐκλεκτός μου καὶ μὴ φοβοῦ· ἐγὼ γάρ εἰμι Κύριος μετὰ σοῦ φυλάσσων σε". Ὅσοι δὲ ἤκουσαν τῆς φωνῆς ταύτης ἐτρόμαξαν, οἱ δὲ αἰκίζοντες αὐτὸν δήμιοι ἔστησαν ἔννευοι, μὴ δυνάμενοι κινηθῆναι.

8. Ἰδὼν δὲ Φίλιππος ὁ συγκάθεδρος τοῦ ἡγεμόνος εἶπεν· "Οὐκ ἔλεγόν σοι, ἡγεμών, ὅτι μάγος ἐστίν"; καὶ "αἶρε καὶ τοῦτον ἀφ' ἡμῶν συντόμως". Τότε ὁ ἡγεμὼν ἐκέλευσεν καὶ τοῦτον ὑποβληθῆναι τῷ ξίφει. Τότε ὁ ἅγιος παρεκάλεσεν τὸν ἡγεμόνα λέγων· "Κέλευσόν με ἀπελθεῖν ἐν τῷ μοναστηρίῳ μου καὶ ἐκεῖ

4 κῶδ. *ἐπιπλεῖον δὲ ἰδὸν.* — 5 κῶδ. *θυμωμαχήσας.* — 7 κῶδ. *καλεῖ.* — 19 κῶδ. *ἀθλητῆς.* — 20 Ψαλ. λ', 1, 15, 17 || κῶδ. *ἐλέη.* — 22 κῶδ. *μεταοῦ φυλάσσον.* — 24 κῶδ. *κεινηθῆναι.* — 25 κῶδ. *εἰδὼν δ'. φ. ὁ. σὺν κάθεδρος τ. ἡγεμῶνος.* — 26 κῶδ. *οὐκέλεγών σοι ἡγεμῶν - - αἶρε.*—28 κῶδ. *ἡγεμῶνα.*

τελειωθῆναι". Καὶ ἐκέλευσεν ὁ ἡγεμών· προθύμως δὲ ἀγόμενος ὁ ἅγιος ἔψαλλεν· "Θεὸς ἐκδικήσεων, κύριος Θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο". Ὡς δὲ ἤγγισαν τῷ μοναστηρίῳ, ὑπήντησεν αὐτὸν ἡ ἔλαφος καὶ προσεκύνησεν τοῖς ποσὶν αὐτοῦ· εἶπεν δὲ αὐτῇ ὁ ἅγιος· "Ἐστερήθης ἀδελφῶν, ἤδη δὲ στερίσκεσαι καὶ τοῦ ἀναθρέψαντός σε, ὁ δὲ Θεὸς τῶν αἰώνων μὴ δώῃ σε κυριευθῆναι μηδὲ τὸ σπέρμα σου ὑπὸ κυνηγῶν· ἀλλ' εἴη τὸ σπέρμα σου φέρον γόνον εἰς μνήμην ἡμῶν τοῦ ἀναλίσκεσθαι εἰς δόξαν Θεοῦ". Ἡ δὲ ἔλαφος προσέπεσεν τοῖς ποσὶν τοῦ ἁγίου κλαίουσα, καὶ κατασφραγίσας αὐτὴν εἶπεν· "Πορεύου ἐν εἰρήνῃ".

9. Ἐγγίσας δὲ τῷ μοναστηρίῳ προσηύξατο λέγων· "Κύριε ὁ Θεός μου, πρόσδεξαι ἐν εἰρήνῃ τὴν ψυχήν μου καὶ καταξίωσόν με μετὰ τῶν ἀδελφῶν μου, ἵνα εἰς πάντας τοὺς αἰῶνας δοξάσωμεν τὸ ἅγιόν σου ὄνομα· δὸς δέ, κύριε ὁ Θεός μου, τῷ ἐπιτελοῦντι τὴν μνήμην ἡμῶν ἀδιάλειπτον τὴν εὐλογίαν σου καὶ πᾶσιν τοῖς ἐπικαλουμένοις σε, Κύριε, δι' ἐμοῦ δὸς χάριν, ἵνα, εἴτε ἐν σφάλμασιν ἁμαρτιῶν εὑρεθῶσιν, εἴτε ἐν ἀνάγκῃ μεγάλῃ, ἢ ἐνυπνίων πονηρῶν, ἢ ἔν τινι πράγματι περιπέσοι τις καὶ ἐπικαλέσηται τὸ ἅγιόν σου ὄνομα ἐπὶ τῷ ὀνόματι τοῦ σοῦ οἰκέτου, παράσχου αὐτοῖς τὸ ἔλεός σου, Κύριε, καὶ τὰ αἰτήματα αὐτῶν πλήρωσον". Προσευχομένου δὲ αὐτοῦ γίνεται φωνὴ Θεοῦ πρὸς αὐτὸν λέγουσα· "Χαίροις, ἀθλητά μου Ἀθηνογένη, ὁ ἐκλεκτός μου· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ σὺν τοῖς μαθηταῖς σου· περὶ δὲ τῆς χάριτος, ἧς ἠτήσω παρ' ἐμοῦ, ἰδοὺ δέδωκά σοι τὰς αἰτήσεις σου. Ὅστις ἐὰν ἐπικαλέσηταί με διὰ τοῦ ὀνόματός σου καὶ ἐν οἴκῳ ἀναγνωσθῇ σου ἡ μαρτυρία, καὶ ὅστις ἐπιτελέσει σου τὴν μνήμην, ῥυσθήσεται ἀπὸ πάσης θλίψεως καὶ τῶν ἁμαρτιῶν αὐτοῦ οὐ μὴ μνησθῶ. Ὑμεῖς οὖν οἱ ἐκλεκτοί μου ἔσεσθε ἀντιλήπτορες χηρῶν καὶ ὀρφανῶν τροφή, ξένων καταφυγή,

2 Ψαλμ. ριγ', 1. — 5 κῶδ. *ἐστερίθης ἀ. εἴδυεστερίσκει.* — 6 κῶδ. *δώει.* — 7 κῶδ. *κυνιγῶν* || εἴη] κῶδ. *εἴτε.* — 9 ἢ] κῶδ. *εἰ.* — 10 κῶδ. *ἐνειρήνη.* — 14 κῶδ. *δῶς.* — 18 κῶδ. *πονηριῶν ἢ.* — 23 κῶδ. *μετεμοῦ.* — 24 κῶδ. *παρεμοῦ.* — 26 κῶδ. *ἀναγνωσθήσου.* — 27 κῶδ. *θλήψεως.* — 29 κῶδ. *ἀντιλήπτωρες χειρῶν.*

πάντων πενήτων οἰκονομία, ἀσθενούντων ἰατροί, τῶν πονηρῶν διῶκται ".

10. Γενομένης δὲ τῆς φωνῆς τοῦ Κυρίου ὁ ἅγιος Ἀθηνογένης ἐκρούσθη ὑπὸ τοῦ ξίφους καὶ οὕτως ἀπέδωκεν τὸ πνεῦμα αὐτοῦ ἐν πολλῇ εἰρήνῃ. Ἐμαρτύρησαν δὲ οἱ ἅγιοι ἐν Σεβαστείᾳ, ἐπὶ Διοκλητιανοῦ βασιλέως· κατετέθησαν δὲ ἐν Φυλαχθόῃ· ἐπιτελεῖται δὲ ἡ μνήμη τοῦ ἁγίου Ἀθηνογένους καὶ τῶν σὺν αὐτῷ ἁγίων μαρτύρων μηνὶ ἰουλίῳ ιζ', ἡ δὲ ἔλαφος παραγίνεται ἐν τῇ μνήμῃ τῶν ἁγίων μαρτύρων, προσάγουσα δῶρον τῷ Θεῷ μοσχάριον, [ὅπερ] ἀναγινωσκομένου τοῦ ἁγίου εὐαγγελίου προσφέρει τῷ θυσιαστηρίῳ, θεωρούντων πάντων· κλίνουσα ἑαυτῆς τὰ γόνατα [καὶ] καταλιποῦσα τὸν γόνον αὐτῆς πορεύεται ἐν εἰρήνῃ εἰς τὸν τόπον αὐτῆς· ἀναλίσκεται δὲ τὸ μοσχάριον αὐτῆς εἰς δόξαν Θεοῦ καὶ τῶν ἁγίων μαρτύρων. Ἤθλησαν δὲ οἱ ἅγιοι βασιλεύοντος Διοκλητιανοῦ, ἐν ἡμῖν δὲ βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

1 τῶν] κῶδ. *τινῶν*. — 6 κῶδ. *ἐπιτελεῖτε*. — 7 κῶδ. *συναυτῶ*. — 10 προσέθηκα τὸ *ὅπερ* καὶ τὸ κατόπι *καὶ*. — 11 κλίνουσα] κῶδ. *τίθουσα*. — 12 κῶδ *καταλειτοῦσα*.

XIV.

ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΑΡΚΙΑΝΟΥ,

γενομένου πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως.

(Cod. Sabb. 242, fol. 19).

1. Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς δωρεᾶς τοῦ ἁγίου αὐτοῦ πνεύματος καθ' ἑκάστην γενεὰν φανερώσας τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐν τοῖς εὐαρεστήσασιν αὐτῷ ἁγίοις. Ὁ τὰ πάντα παραγαγὼν ἐξ οὐκ ὄντων Θεὸς ὑπάρχων ἀπροσδεὴς ἀνέχεται τῷ τῶν ἀνθρώπων γένει συγκαταβαίνειν καὶ ὁδὸν ὑποδεικνύειν σωτηρίας. Οὕτως Νῶε τὸν δίκαιον ἐκ τοῦ κοινοῦ τῆς οἰκουμένης κατακλυσμοῦ περιέσωσεν καὶ στῆσαι θυσιαστήριον καὶ θυσίας προσαγαγεῖν ἐδίδαξεν· καὶ πάλιν Ἀβραὰμ τὸν πατριάρχην τὸν ἐξ ἐπαγγελίας αὐτῷ γενόμενον υἱὸν εἰς θυσίαν ἔπεισε προσαγαγεῖν, τύπον αὐτῷ παραδιδοὺς τῆς ἐν Χριστῷ σωτηρίας ἡμῶν, καὶ πάλιν ζῶντα αὐτῷ τὸν μονογενῆ δέδωκεν. Αὐτὸς καὶ τῷ θεράποντι αὐτοῦ Μωϋσεῖ τῆς ἁγίας κιβωτοῦ καὶ τῆς ἐν αὐτῇ λατρείας τοῦ τε Ἁγίου τῶν Ἁγίων καὶ τοῦ ἐν αὐτῷ θυσιαστηρίου τὸν τρόπον γνωρίσας ἐχορήγησεν πᾶσαν τῷ ἔργῳ χρείαν, καὶ σοφίαν τοῖς ὑπουργήσασιν ἔδωκεν εἰς τὴν κατασκευὴν τῶν προτυπουμένων ἐπὶ τῇ μελλούσῃ φανερώσει τῆς

2 κῶδ. *δωρεὰς*. — 5 κῶδ. *ἐξουκόντων*. — 14 κῶδ. *ἐχωρήγησεν*

[ἁγίας] ἐκκλησίας, ἣν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ πατρὸς ὁ ὢν ἐν τοῖς κόλποις αὐτοῦ τοῦ Θεοῦ Λόγος ἀξιώσας ἐνανθρωπῆσαι ἐθεμελίωσεν ἐπὶ τῇ πέτρᾳ τῆς εἰς αὐτὸν πίστεως τῇ χάριτι τοῦ ἁγίου πνεύματος διὰ τῶν ἐξυπηρετησαμένων τοῖς αὐτοῦ προστάγμασιν ἁγίων ἀνδρῶν. Αὐτὸς ἐν πλήθει οἰκτιρμῶν ἤγειρεν ἡμῖν ὅσιον πατέρα καὶ πιστὸν οἰκονόμον, πρεσβύτερον καὶ λειτουργὸν τοῦ ἁγίου αὐτοῦ θυσιαστηρίου, Μαρκιανὸν τὸν τῆς τιμίας μνήμης ἐν τοῖς χρόνοις τῆς βασιλείας Μαρκιανοῦ τοῦ τῆς εὐλαβοῦς λήξεως ἐπὶ τῆς Ῥωμαίων ἡγεμονίας γεγονότος, ἵνα ὡς σοφὸς ἀρχιτέκτων ἐξυπηρετήσηται πᾶσιν ὅσα ἡ χεὶρ καὶ ἡ βουλὴ τοῦ Θεοῦ προώρισεν γενέσθαι, ὥσπερ κατὰ μικρὸν προϊὼν ὁ λόγος παραστήσει.

2. Ἐκ γονέων γὰρ γενόμενος ὁ ὅσιος πατὴρ ἡμῶν Μαρκιανὸς ἐν Κυρίῳ πιστῶν, ὁρμωμένων ἐκ τῆς πρεσβυτέρας Ῥώμης, ἐνταῦθα δὲ κατοικούντων, ἐν πρώτοις ἐδιδάχθη τὰ τῆς ὀρθῆς πίστεως δόγματα· προέκοπτεν δὲ πάσῃ συνέσει ἐν τοῖς ἱεροῖς καὶ θεοπνεύστοις γράμμασιν, τὴν ὅλην διάνοιαν πρὸς τὸν Θεὸν ἔχων. Καὶ πᾶσαν μὲν τὴν ἔξω παιδείαν ἐπῆλθεν, ὥσπερ καὶ ὁ Μωϋσῆς ἐπαιδεύθη πάσῃ σοφίᾳ Αἰγυπτίων· ὁμοίως δὲ καὶ τούτῳ καταφρονήσας [αὐτῆς] ἐφάνη καὶ πρὸς τὴν ἀληθῆ θεογνωσίαν ἀναδραμών· περὶ γένους δὲ [καὶ γονέων] λαμπρότητος, ἢ τῆς τῶν ὑπαρχόντων αὐτοῖς περιφανείας, λέγεται πλοῦτον μὲν πλεῖστον ἐκ προγόνων αὐτοὺς διαδέξασθαι, ἐκ δὲ βασιλικῆς οἰκίας ἔχειν τὴν συγγένειαν. Ὅμως οὐ χρὴ σεμνολογεῖν ταῦτα· καὶ γὰρ τὰ τοιαῦτα μεγάλα εἶναι νομίζεται παρὰ τοῖς ἔξωθεν, οἱ δὲ τοῦ Χριστοῦ τὸ πολίτευμα ἔχοντες ἐν οὐρανοῖς οὐδενὸς τῶν γηίνων τούτων ἀντιποιοῦνται. Τραφεὶς μέντοι πιστῶς ἦν μὲν καὶ ἐν λαϊκοῖς ὑπάρχων περίβλεπτος, μικρὸν δὲ ὕστερον καὶ εἰς τὸν εὐαγῆ καταλέγεται κλῆρον, τοῦ τηνικαῦτα τῆς μεγάλης Κωνσταντινουπόλεως ἀρχιεπισκόπου διὰ τὴν ἐπανθοῦσαν τοῖς αὐτοῦ τρόποις σεμνότητα βιασαμένου σχεδὸν τὴν

1 προσέθηκα τὸ *ἁγίας*. — 2 κῶδ. *ἐνανθρωπίσαι*. — 4 κῶδ. *ἐξ ὑπηρετησαμένων*. — 5 κῶδ. *πλήθη*. — 8 κῶδ. *εὐλαβοὺς λ. ἐπιτῆς*. — 10 κῶδ. *ἐξυπηρετήσηται* - - *προώρησεν*. — 11 κῶδ. *καταμικρὸν*. — 17 κῶδ. *παιδίαν*. — 18 κῶδ. *πᾶση* || κῶδ. *τοῦτον*. — 19 προσέθηκα τὸ *αὐτῆς*. — 20 προσέθηκα τὸ *καὶ γονέων*· ὅρα σ. 260, 7 καὶ 269, 14. — 22 κῶδ. *οἰκείας*. — 23 κῶδ. *τοιαύτα*. — 27 τοῦ] κῶδ. *τὸ*.

*

χειροτονίαν· τοὺς δὲ τεταγμένους βαθμοὺς ἐντίμως διανύσας τοῖς θεοτιμήτοις ἐγγράφεται πρεσβυτέροις, καὶ ἀναγκάζεται ἐκ κοινῆς, ὡς εἰπεῖν, τῶν αὐτὸν ἐπισταμένων μαρτυρίας οἰκονόμος τῶν πραγμάτων γενέσθαι τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγίνετο.

3. Ἔτι δὲ νέος ὑπάρχων καὶ ἄρτι τὴν χειροτονίαν λαβὼν καὶ τὴν ἑκατέρου τῶν γονέων ἄφθονον οὐσίαν διαδεξάμενος οὐδὲν ἐκ τῆς ὀρφανίας παρετράπη, ἀλλὰ λογισμῷ σώφρονι τὰς τῆς νεότητος ὁρμὰς χαλινώσας τῇ ἱερᾷ λειτουργίᾳ καὶ τῇ ἀναγνώσει τῶν θείων γραφῶν ἐσχόλαζεν, ἐν νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς διατελῶν, ἀεὶ πρὸ ὀφθαλμῶν ἔχων τὸ τῷ ἀποστόλῳ εἰρημένον "μηδείς σου τῆς νεότητος καταφρονείτω". Τὸν δὲ πλοῦτον ἀφειδῶς ταῖς τῶν δεομένων ἐδίδου χρείαις, κατὰ τὸ γεγραμμένον "ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν". Ἥπιος δὲ ἦν πρὸς πάντας, καὶ ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκαρτερῶν καὶ ἁγίων ἐπακροώμενος λογίων ζηλωτὴς ἐσπούδαζεν γενέσθαι τῶν τὸν ἀρέσκοντα τῷ Θεῷ βίον προοδευσάντων. Ὅθεν ἐντυγχάνων τοῖς πνευματικοῖς λόγοις τοῦ ἁγίου πατρὸς ἡμῶν Γρηγορίου, τοῦ γενομένου ἐπισκόπου Ναζιανζοῦ καὶ δικαίως ἐπικληθέντος Θεολόγου, ἔγνω καὶ τὴν δι' αὐτοῦ ἐν πνεύματι ἁγίῳ γενομένην προφητείαν περὶ τοῦ οἴκου τῆς ἁγίας ἐνδόξου μάρτυρος Ἀναστασίας, τοῦ ὄντος ἐν τοῖς Δομνίνου ἐμβόλοις· [ἦν γὰρ] διδάσκων ἐν τῷ εὐκτηρίῳ αὐτῆς οἴκῳ τῷ ἀρχαίῳ, ἐν ᾧ καὶ τὰ λείψανα αὐτῆς ἕως νυνὶ κατάκειται, [καὶ] λέγων οὕτως· "Ταύτην [τὴν] τῆς οἰκονομίας ἐπώνυμον ὄψεσθε πλατυτέραν, εὖ οἶδα· τάδε μοι λέγει τὸ πνεῦμα τὸ ἅγιον".

4. Ταῦτα μὲν οὖν ὁ μέγας πατὴρ ἡμῶν Γρηγόριος προεφήτευσεν· ἀναγκαῖον δὲ μικρὸν ἄνωθεν τὴν αἰτίαν εἰπεῖν τῆς προφητείας. Συνέβη τότε ἐκ τῆς τοῦ Διαβόλου βασκανίας τὴν Ἀρείου κακοδοξίαν πλανῆσαι τοὺς πολλούς, ὡς εὐαριθμήτους γενέσθαι τοὺς

1 κῶδ. *διανοίσας*. — 3 κῶδ. *οἰκονόμων*. — 9 κῶδ. *χαληνώσας τῇ ἱερᾷ*. — 11 κῶδ. *διὰ τελῶν. ἀ. προοφθαλμῶν*. — 12 Τιμοθ. 1, δ', 12. — 14 Ψαλμ. ριβ', 9. Κορινθ. 2, θ', 9, — 16 κῶδ. *ἐπικροούμενος λ. ζηλωτῆς*. — 18 κῶδ. *αὐτοῦ λόγοις*. — 19 κῶδ. *ναζιανζοὺ*. — 22 προσέθηκα τὸ *ἦν γὰρ* καὶ κατόπι τὸ *καὶ* καὶ τὸ *τὴν*. — 23 κῶδ. *ἐνῶ*. — 27 κῶδ. *ἄνοθεν*.

τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα προσκυνοῦντας, μόνον ἔχοντας τὸν εὐκτήριον οἶκον τῆς ἁγίας Ἀναστασίας μικρὸν ὄντα, τὸν μέχρι νῦν, τὸν μείζονα αὐτῆς οἶκον, κατὰ ἄρκτον προσκείμενον, καὶ ἐν αὐτῷ τὰς ἱερὰς ἐπλήρουν λειτουργίας, λανθάνειν σπουδάζοντας διὰ τὰς τῶν Ἀρειανῶν ἐπιβουλάς· ἐν ᾧ περ ἐκκλησιάζων ὁ πατὴρ ἡμῶν Γρηγόριος καὶ τὸν ὀρθόδοξον λαὸν παραθαρσύνων ἀποβλέπειν τε εἰς τὴν τοῦ Θεοῦ βοήθειαν, πίστιν τε διδοὺς αὐτοῖς τῆς τῶν αἱρετικῶν καθαιρέσεως, τὴν εἰρημένην πεποίηται προφητείαν· ἣν πληρῶν ὁ ὅσιος πατὴρ ἡμῶν Μαρκιανός, διὰ τῆς τοῦ Θεοῦ χάριτος πληροφορηθείς, ὅτι ὅπερ ἐπηγγείλατο, δυνατός ἐστιν καὶ ποιῆσαι. Καὶ ὥσπερ ὁ πατριάρχης Ἀβραὰμ ἐνδυναμωθεὶς τῇ πίστει τὸν μὲν εὐκτήριον οἶκον τῆς ἁγίας Ἀναστασίας ἐπὶ τοῦ προτέρου καταλιμπάνει σχήματος, εἰς ἀπόδειξιν τῆς ἐπ' αὐτῷ προφητείας, τὸν μείζονα δὲ κατασκευάζει μεγαλοπρεπῶς ἐν τοῖς λεγομένοις Δομνίνου ἐμβόλοις τῆς βασιλευούσης πόλεως, κοσμήσας αὐτὸν προαυλίοις καὶ στοαῖς ποικίλαις καὶ ὑπαίθροις κυκλόθεν. Εἶτα τὸν ναὸν αὐτῆς ὥσπερ μαργαρίτην, ἢ ἄλλον τινὰ λίθον τίμιον, ἐν μέσῳ περιγράψας τότε τῶν κιόνων, μεγέθει καὶ κάλλει φαιδρύνας καὶ τῇ ἄλλῃ τῶν ὑλῶν φαιδρότητι, χρυσῷ δὲ τὴν ὀρόφην λαμπρύνας, γραφαῖς τὰς ὑπερκειμένας στοὰς ἐκαλλώπισεν. Τότε τὸ ἅγιον θυσιαστήριον σεμνὸν κατασκευάσας, καὶ μάλιστα ταῖς τοῦ ἀργύρου ἀφθονίαις περιβαλών, προστίθησι καὶ τὸν ἐπὶ τὸν φωτιστηρίου οἶκον· οὗτινος πῶς ἄν τις τὸ κάλλος ἐξείποι, ἢ τοῦ ἱεροῦ τόπου τοῦ εἰς φυλακὴν τῶν τιμίων σκευῶν πεποιημένου, ἢ αὐτῶν τῶν σεπτῶν σκευῶν τὸ πλῆθος καὶ τὴν πολυτέλειαν, ὥστε πάντων ὄντων θαυμαστῶν μὴ εἶναι ῥᾴδιον εἰπεῖν ποῖον μᾶλλον τῶν ἄλλων προτάττειν; Οὕτω μετὰ πάσης ἐσκεύασται συνέσεως, καὶ ὄντως κατὰ ἐπαγγελίαν τοῦ Θεοῦ γέγονεν.

5. Πάντων δὲ μεγάλως ἐξεργασθέντων γίνεται ὁ ἐγκαινισμὸς

2 τὸν μέχρι-προσκείμενον] ἀπόλυτος αἰτιατικὴ πτῶσις. — 5 κῶδ. *ἀριανῶν*. — 6 κῶδ. *παρὰ θαρσύνων*. — 13 κῶδ. *καταλειμπάνει*. — 15 κῶδ. *ἐνβόλοις - - κοσμίσας*. — 16 κῶδ. *ὑπέθροις κυκλώθεν*. — 19 κῶδ. *ὀρόφην* ὅρα καὶ σελ. 266, 24. — 22 ταῖς] κῶδ. *τοῖς* || κῶδ. *τοὺς επιτουφωτιστ*. — 23 κῶδ. *οὕτινος πῶς ἄντινος*. — 26 κῶδ. *θαυμαστὼν*. — 28 κῶδ. *ἐπαγγελείαν*.

τοῦ ἁγίου οἴκου μηνὶ δεκεμβρίῳ κβ', τῶν τε πιστῶν βασιλέων καὶ τῆς συγκλήτου καὶ τῆς πόλεως ἁπάσης ὡς εἰπεῖν συνδραμούσης, μετὰ τῶν ἐκ κηροῦ λαμπάδων ἐν ὕμνοις προπεμπόντων τὰ ἅγια τῆς μάρτυρος λείψανα. Συνέβη δὲ κατὰ τὴν ὥραν ἐκείνην, ἐν ᾗ τὰ ἅγια λείψανα προεπέμποντο, καὶ τοῦ ὁσίου ἀνδρὸς Μαρκιανοῦ ἔμπροσθεν τοῦ ὀχήματος πορευομένου τινὰ πτωχὸν αἰτῆσαι ἐλεημοσύνην· ὁ δὲ μὴ ἀμελήσας, ἀλλὰ προθύμως ἀπελθὼν καὶ λαθὼν πάντας, κατασκοπεύει κρυπτὸν τόπον, καὶ ἐκδυσάμενος τὴν ἐσθῆτα αὐτοῦ ἀπέδωκεν τῷ πτωχῷ καὶ εὑρέθη γυμνός. Μόνον τὸ φελώνιον περιβαλόμενος (τοῦτο δὲ μνημονεύεται τοῦ ὁσίου ἀνδρός, ὅτι οὐδέποτε δεύτερον ἱμάτιον ἐφόρεσεν, ἵνα τὴν διδαχὴν τοῦ δεσπότου αὐτοῦ ποιήσῃ· "Μὴ κτήσασθε δύο χιτῶνας, μὴ βαλάντιον, μὴ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ ἄργυρον, μὴ χρυσόν· καὶ ἐάν τις αἰτήσοι τὸ ἱμάτιον, δὸς αὐτῷ, καὶ ἀπὸ πάντων ἀμερίμνους [ἑαυτοὺς] ποιήσατε") καὶ πάλιν ἐλθὼν καὶ εἰσελθὼν ἀνὰ μέσον πάντων, οὐδεὶς ἔγνω τὸ γεγονός. Ἐλθόντες δὲ ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας μάρτυρος Ἀναστασίας ἀπέθεντο τὰ ἅγια λείψανα, καὶ τῆς ἀκολουθίας πάσης γενομένης ἐν τῇ ὥρᾳ τῆς ἁγίας ἀναφορᾶς τοῦ ποιῆσαι τὴν ἀκολουθίαν εἶπεν ὁ ἀρχιεπίσκοπος τῷ μακαρίῳ Μαρκιανῷ· "Ἡ χαρὰ αὕτη ὑμετέρα ἐστίν· κέλευσον τὸ μυστήριον ἐκτελέσαι". Ὁ δὲ μετὰ πάσης προθυμίας δεξάμενος ἐποίει τὴν ἀκολουθίαν, καὶ ἐν τῇ ὥρᾳ τοῦ ἀσπασμοῦ, ὡς ἔθος ἐστὶν τοῖς ἱερεῦσιν, νίπτων τὰς χεῖρας περιέπλεκεν τὸ φελώνιον αὐτοῦ συσφίγγων, ἵνα μὴ ὁραθῇ, ὅτι γυμνός ἐστιν· οἱ δὲ παρεστῶτες ἱερεῖς καὶ ὁ ἀρχιεπίσκοπος ἐθεάσαντο, ὅτι βασιλικὴν στολὴν ἦν ἐνδεδυμένος ἔνδοθεν τοῦ φελωνίου αὐτοῦ. Πληρώσας δὲ τὴν εὐχὴν τοῦ μυστηρίου, καὶ ἐν τῷ μεταλαμβάνειν πάντας τῆς ἀχράντου κοινωνίας ἐκ τῶν χειρῶν αὐτοῦ ἐθεώρουν ἐν ταῖς χερσὶν αὐτοῦ φαινομένην τὴν στολὴν διαλάμπουσαν καὶ οὐκ ἤδεσαν τὸ γεγονός· τινὲς δὲ φθόνῳ φερόμενοι δια-

5 κῶδ. *ἐνῆ*. — 9 κῶδ. *αἰσθῆται*.— 10 κῶδ. *περιβαλλώμενος*.—12 Ματθ. ι', 9, 10. Μάρκ. ϛ', 8, 9. Λουκ. θ', 3 || κῶδ. *κτήσασθαι*.— 13 κῶδ. χρυσὸν] *ἀπόγρ. χυρὸν*.—14 Ματθ. ε', 40.—15 Κορινθ. 1, ζ', 32 || κῶδ. *ποιήσαται*. — 16 κῶδ. *ἀναμέσων*.—24 κῶδ. *ὡραθῇ*.

βάλλουσιν αὐτὸν τῷ ἐπισκόπῳ· ὁ δὲ εἶπεν αὐτοῖς· "Κἀγὼ ἐθεασάμην".

6. Πληρωθείσης δὲ τῆς πάσης ἀκολουθίας καὶ εἰσελθόντες εἰς τὸ σκευοφυλάκιον τῆς ἁγίας Ἀναστασίας, ἤρξατο ἐγκαλεῖν ὁ ἀρχιεπίσκοπος Γεννάδιος τῷ μακαρίῳ Μαρκιανῷ λέγων· "Τί τοῦτο ἐποίησας καὶ παρὰ τοὺς κανόνας ἔπραξας; μὴ ἔδει σε βασιλικὸν φόρεμα φορέσαι". Ὁ δὲ μετὰ ταπεινοφροσύνης ἔπεσεν πρὸς τοὺς πόδας τοῦ ἐπισκόπου λέγων· "Συγχώρησόν μοι, πάτερ, ὅτι οὐκ ἐποίησά τι τοιοῦτον". Λέγει δὲ αὐτῷ· "Ἐθεασάμεθα οἱ πάντες καὶ σὺ ἀρνεῖσαι"; Καὶ προσελθὼν ἐκούφισεν τὸ φελώνιον αὐτοῦ καὶ εὑρέθη γυμνὸν τὸ σῶμα αὐτοῦ· καὶ μαθὼν παρ' αὐτοῦ τὴν αἰτίαν ἐδόξασεν τὸν Θεὸν τὸν διδόντα χάριν τοῖς ἀγαπῶσιν αὐτὸν καὶ φυλάττουσιν τὰ προστάγματα αὐτοῦ. Καὶ ἦν ἐν ἀγαλλιάσει πολλῇ τὸ πλῆθος, τὸ δὲ γενόμενον ἔδειξεν τὴν τοῦ Θεοῦ δύναμιν καὶ τρόπαιον ὑπῆρχεν κατ' αὐτοῦ [τοῦ] Διαβόλου καὶ τῆς Ἀρείου κακοδοξίας· ὥσπερ γὰρ ποταμός, οὕτως συνέρρει τῶν πιστῶν τὰ πλήθη· τόν τε σεπτὸν οἶκον ἀναθεωροῦντες ἐξεπλήττοντο, θαυμάζοντες τὸ μέγεθος, τὴν εὐπρέπειαν, τὴν τῶν πάντων πολυτέλειαν, καὶ ἐδόξαζον τὸν Θεόν, τὸν ἐν τῇ ὁμοουσίῳ τριάδι προσκυνούμενον· καὶ εἴ τις ἀφηγήσασθαι βουληθείη τὰ τότε γινόμενα, οὐ δόξει μὲν τοῖς ἀνθρώποις [τοῖς] πιστοῖς ἀπίθανος, φόβος δὲ οὐ μικρὸς ἐλαττῶσαι τῷ λόγῳ τὴν τοῦ πράγματος ἀλήθειαν· ἱκανὰς γὰρ ἐφεξῆς ἡμέρας τε καὶ νύκτας διετέλουν ἑορτάζοντες, τῶν μὲν ὑποχωρούντων, τῶν δὲ ἐπιρρεόντων, ὥστε πολλάκις καὶ ἐπὶ μιᾶς ἡμέρας ἀμείβεσθαι τὸ τοῦ λαοῦ πλῆθος, ἔνδοθεν τῶν ἁγίων περιβόλων γινόμενον καὶ αὖθις ἐκκενούμενον παραχωρήσει τῶν ὑπεισιόντων. Ἀλλ', ὥσπερ εἴρηται, οὐκ ἀρκεῖ λόγος ταῦτα παριστᾶν, πλὴν ὅτι θαυμαστὸν οὐδὲν πολλὰ καὶ παράδοξα περὶ τὸν ἅγιον τοῦτον γίνεσθαι θαύματα, τὸν κατ' ἐπαγγελίαν Θεοῦ γενόμενον· ὅτι δὲ τοῦτο ἀληθές, διηγήσομαι.

3 εἰσελθόντες] ἀπόλυτος ὀνομαστική· ὅρα καὶ σ. 262, 10 καὶ 27.—10 κῶδ. *ἀρνῆσαι*.—12 κῶδ. *διδοῦντα*.—14 κῶδ. *ἐναγαλλιάσει - - γινόμενον*.—15 προσέθηκα τὸ *τοῦ* καὶ μετ' ὀλίγα τὸ *τοῖς*. — 16 κῶδ. *ἀρίου*. — 21 κῶδ. *ἀπείθανον*. — 23 κῶδ. *ἐφ' ἐξ' ἧς* || κῶδ. *δι' ἐτέλουν*. — 25 κῶδ. *ἐπιμιᾶς*. — 27 κῶδ. *ὑπ' εἰσιόντων* || ὥσπερ] κῶδ. *ὅπερ*.

7. Πῦρ ἀθρόον ἐπέπεσεν κατ' ἐκείνους τοὺς χρόνους ἐν τοῖς Δομνίνου ἐμβόλοις, καὶ ἀρξάμενον ἐκ τῶν πρὸς τῇ ἀρκτῴᾳ θαλάσσῃ τόπων ἐπενέμετο πάντα μέχρι τῆς ἐν τῇ μεσημβρίᾳ τῆς πόλεως θαλάσσης. Εἰκότως οὖν καὶ τὸν οἶκον τῆς ἁγίας Ἀναστασίας ἤδη ἐγκαινισθέντα ἡ τῆς πυρᾶς περιεῖχεν ἀνάγκη, καὶ τῶν οἰκείων ἀμελήσαντες συμφορῶν οἱ πολῖται περὶ τοῦ σεπτοῦ οἴκου ἔτρεμον. Τότε οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος Μαρκιανὸς τὰ ἅγια λαβὼν εὐαγγέλια ἐπὶ τὸ ἄκρον τῆς ὀρόφης ἀνελθών, καὶ ἐν μέσῳ τῆς φλογὸς γενόμενος, ἱκέτευεν λέγων· "Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τοῦ Ἀβραὰμ τὴν θυσίαν προσδεξάμενος καὶ τὸν ἐξ ἐπαγγελίας σῆς καὶ δωρεᾶς γενόμενον αὐτῷ υἱὸν ἐκ τῆς σφαγῆς ῥυσάμενος, ἐλέησον ἡμᾶς καὶ ἐξελοῦ ἐκ τῆς ἀπειλῆς ταύτης τὸν ἅγιον οἶκον τοῦτον, τὸν κατὰ κέλευσιν καὶ ἐπαγγελίαν σὴν οἰκοδομηθέντα. Μὴ ματαιώσωσιν ἁμαρτίαι τὸν κάματον τῶν δούλων σου, μηδὲ γελασάτωσαν οἱ ἐχθροὶ ἡμῶν Ἀρειανοί, ἀλλὰ δὸς δόξαν τῷ ὀνόματί σου, ὕψιστε ὁ Θεός, ὁ ἐν τῇ ὁμοουσίῳ τριάδι δοξαζόμενος. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου καὶ ἐκ χειρὸς πυρὸς τὴν μονογενῆ μου". Καὶ μετὰ πολλῶν δακρύων ἐπιφθεγξαμένου τὸ Ἀμὴν ἐθεάσαντο πάντες σχεδὸν οἱ παραγενόμενοι τὸ πῦρ κύκλῳ τοῦ παντὸς οἴκου διασυρίζον καὶ ὑποχωροῦν τῇ τοῦ δικαίου προσευχῇ, καὶ ἀπαθὴς χάριτι Θεοῦ ὁ πάνσεπτος οἶκος ἐτηρήθη, ὥσπερ οἱ τρεῖς παῖδες ἐπὶ τῆς ἐν Βαβυλῶνι καμίνου. Πολλὰ μὲν οὖν καὶ ἄλλα δι' αὐτοῦ ὁ Θεὸς κατηξίωσεν θαυματουργῆσαι, καὶ μέχρι δὲ τοῦ νῦν θαυματουργεῖ τῇ δεήσει τῆς ἐνδόξου μάρτυρος· καὶ γὰρ νόσους ποικίλας θεραπεύει τῶν αὐτῇ προσφευγόντων, καὶ Δαίμονας ἀπελαύνει καὶ φαρμακίας καταργεῖ, σωτηρίας τε τοῖς δεομένοις ἔστιν λιμήν.

8. Κἀκεῖνο δὲ χαριέστατον ἀπομνημονεύεται τῆς τοῦ πατρὸς ἡμῶν Μαρκιανοῦ ἐπιεικείας· τῶν γὰρ συνήθων αὐτῷ τινος τὸ πλῆθος τῆς γενομένης δαπάνης ἀποθαυμάζοντος, εἰπεῖν αὐτὸς λέ-

2 κῶδ. *ἐνβόλοις*. — 4 κῶδ. *εἰκότος*. — 11 κῶδ. *ἐξεπαγγελίας* — *δωρεὰς*. — 14 κῶδ. *ματαιώσουσιν*. — 15 κῶδ. *δοῦλών*. — 24 κῶδ. *θαυματουργεῖσαι*. — 28 κῶδ. *ἀπὸ μνημονεύεται*. — 29 κῶδ. *τινὸς*.

γεται πρὸς ἐκεῖνον· "Εἰ θυγατέρα γάμῳ κατεγγυᾶν ἤμελλον κοσμικῷ, οὐκ ἂν τὰ πρὸς εὐπρέπειαν αὐτῇ παρεσκεύαστο κατὰ τὸ δυνατόν; πόσῳ μᾶλλον τῇ τοῦ Χριστοῦ νύμφῃ ταῦτα καὶ ἔτι πολλαπλασίονα προσφέρειν ἐχρῆν, ἥτις καὶ τὴν ψυχὴν αὐτῆς ὑπὲρ τοῦ ἀληθινοῦ Θεοῦ καὶ νυμφίου, πίστεώς τε καὶ μαρτυρίας, δέδωκεν"; Καὶ ταῦτα μὲν οὕτως ἐπράχθη καὶ ἔξεστιν τοῖς βουλομένοις αὐτῇ τῇ ὄψει κατανοῆσαι τὴν μεγαλοπρέπειαν τοῦ ἁγίου οἴκου τῆς ἐνδόξου μάρτυρος Ἀναστασίας καὶ εὑρεῖν ὅτι πολλὰ τῷ λόγῳ παραλέλειπται τῆς τοῦ Θεοῦ θαυμαστοποιίας καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ μεγαλουργίας· ἄξιον δὲ ἐν Κυρίῳ πιστοῖς ἀφηγήσασθαι, ὅπως καὶ τὸν πάνσεπτον οἶκον τῆς ἁγίας Εἰρήνης πρὸς θάλασσαν καὶ τὸ ἐν αὐτῷ σεβάσμιον μαρτύριον τοῦ ἁγίου Ἰσιδώρου συνεργίᾳ τοῦ Θεοῦ ὁ αὐτὸς ὅσιος τὴν μνήμην πατὴρ ἡμῶν Μαρκιανὸς κατεσκεύασεν. Μικρὸν δὲ ἄνωθεν καὶ περὶ τούτου λεκτέον.

9. Ἦν γὰρ καὶ πρώην μικρὸς καὶ συνεσταλμένος ὁ αὐτὸς οἶκος, οὔτε μεγέθει οὔτε ἄλλῃ κοσμήσει γνώριμος ὤν· ὁ δὲ φιλάνθρωπος Θεὸς ἠξίωσεν δι' ἀποκαλύψεως ἐπιτρέψαι Γενναδίῳ τῷ τῆς θεοφιλοῦς μνήμης ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, [εἰπὼν αὐτῷ] "Λῦσον τὸν ναὸν τοῦτον καὶ ἐπὶ τοῦ μετὰ σὲ [ἀρχιεπισκόπου] ἐγερῶ αὐτόν"· ὁ δὲ τὸ προσταχθὲν πληρώσας ἐκοιμήθη. Τὴν δὲ τοιαύτην ὀπτασίαν μαθὼν ὁ τοῦ Θεοῦ θεράπων Μαρκιανός, ἤδη (καθὰ μικρὸν πρόσθεν εἴρηται) τὴν οἰκονομίαν τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας παραλαβὼν ἀναγκαίως ἐνενόει τὸ ἔργον καὶ πᾶσαν εἰσῆγεν προθυμίαν· καὶ λαθὼν σχεδὸν πάντας ἐν τῷ τόπῳ γίνεται, νυκτός τε ἐπιλαβούσης τοὺς συνόντας αὐτῷ ἀπολύσας καὶ τὰ γόνατα κλίνας, ἔνθα νῦν τὸ ἅγιον ἵδρυται θυσιαστήριον, ἐδέετο τοῦ Θεοῦ λέγων· «Κύριε Ἰησοῦ Χριστέ, υἱὲ καὶ λόγε τοῦ Θεοῦ, ὁ λυτρωσάμενος τὸ γένος τῶν ἀνθρώπων ἐκ τῆς τῶν εἰδώλων πλάνης καὶ τῇ ἀρρήτῳ σου ἀναστάσει καταργήσας τὸν θάνατον

4 κῶδ. *προσφέρειν ἐχρὴν. εἴτις - - αὐτῆς.* — 12 τὸ] κῶδ. *τῷ.* — 15 κῶδ. *λεκταῖον.* — 16 κῶδ. *πρόην.* — 19 κῶδ. *Θεοφιλοὺς.* — 20 προσέθηκα τὸ *εἰπὼν αὐτῷ* καὶ τὸ *ἀρχιεπισκόπου.* — 23 κῶδ. *καταμικρὸν.*

καὶ τοῖς ἁγίοις σου μαθηταῖς εἰπών "εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν", ἐπίβλεψον ἐπὶ τὸν τόπον τοῦτον καὶ ἁγίασον αὐτόν, καὶ ἀνάστησον οἶκον ἐπὶ τῷ ἁγίῳ σου ὀνόματι, ὅτι σὺ εἶ ἡ εἰρήνη πάντων ἡμῶν, καὶ ἔγειρον κατὰ τὴν ἀψευδῆ σου ἐπαγγελίαν ἅγιον ἐν αὐτῷ θυσιαστήριον. Ναί, δέσποτα ὕψιστε, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, ὅτι πάντα δύνασαι· ἀδυνατεῖ δέ σοι οὐδέν». Καὶ πολλὰ δακρύσας καὶ εἰπὼν τρίτον τὸ 'Αμὴν ὕπνῳ κατ' οἰκονομίαν Θεοῦ κατέχεται, καὶ χρηματισθεὶς κατ' ὄναρ τὸν τύπον τῆς τοῦ οἴκου κατασκευῆς καὶ δόξας θείας ἀκούειν φωνῆς λεγούσης αὐτῷ, "Μαρκιανέ, πάντα δυνατὰ τῷ πιστεύοντι", ἀνεβόησε λέγων· "Πιστεύω, Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ". Καὶ ἀναστὰς μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἀφηγησάμενός τε τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ τὴν ὀπτασίαν, καὶ αἰτήσας αὐτὸν εὐχὴν ἐπιτελέσαι, εὐθέως εἴχετο τῶν ἔργων· καὶ ἵνα πρὸς τὸ ὑποδειχθὲν αὐτῷ σχῆμα μεγαλοπρεπῆ τὸν οἶκον ἀναστήσῃ, παραχρῆμα πολλῷ πόνῳ καὶ δαπάνῃ τὴν πλησίον θάλασσαν ἐξωθήσατό τε μέχρι μέσου σχεδὸν τῆς νῦν ἐκκλησίας ἐπικλύζουσαν. Ὄντως τῆς τοῦ Κυρίου δυνάμεως καὶ τοῦτό ἐστιν, κατὰ τὸ γεγραμμένον "αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν".

10. Μετὰ δὲ τὴν τῶν θεμελίων θέσιν ἁρμοδίως προέκοπτεν ἡ ἄλλη τοῦ οἴκου κατασκευή· κίονας γὰρ διαπρεπεῖς στοιχηδὸν στήσας ἑκατέρωθεν, καὶ τούτοις ἄλλους ἐπιθείς, τάς τε κάτω στοὰς καὶ τὰς ὑπερκειμένας εἰργάσατο. Εἶτα διαλαβὼν ὑπαίθροις τὸν οἶκον πανταχόθεν, οὕτως τὴν ὀρόφην ἐπιτίθησιν, ξύλοις αὐτὴν ὑπερμεγεθέσιν ἀσφαλισάμενος καὶ μολίβδῳ καλύψας. Καὶ τί ἄν τις εἴποι περὶ τῆς τῶν τοίχων στερρότητος, ἢ τῆς τοῦ ἐδάφους εὐπρεπείας, ἢ τοῦ πλήθους καὶ κόσμου τῶν θυρῶν, πρὸς ἀναλογίαν τοῦ παντὸς οἴκου πεποιημένων; φαίνεται γὰρ πᾶς λόγος τῇ ἀληθείᾳ τῶν ἔργων ἐλαττούμενος. Ἐκεῖνο καλὸν προσθεῖναι· τῶν

1 Ἰωάν. εὐαγ. ιδ', 27. — 2 κῶδ. *ἀφίειμι*. — 6 Ματθ. ς', 10. — 7 Ἰὼβ ι', 13. μβ', 2. — 8 κῶδ. *κατοικονομίαν*. — 16 κῶδ. *μεγαλοπρεπεῖ - - παρὰ χρῆμα*. — 17 κῶδ. *ἐξωθείσατο*. — 19 Ψαλμ. κγ', 2 || κῶδ. *ἐπιθαλασσ*. — 21 κῶδ. *διὰ πρεπῆς*. — 22 κῶδ. *ἐπιθεῖς*. — 24 *ὀρόφην· οὕτως ὧδε καὶ κατόπι*. — 29 κῶδ. *προσθῆναι*.

γὰρ ἑστώτων δύο μεγάλων κιόνων πρὸ τοῦ σεπτοῦ θυσιαστηρίου μελλόντων ἀφίστασθαι, συνέβη τὸν ἕνα τούτων ἐκ τῆς τοῦ ἐχθροῦ βασκανίας ἐπὶ πολὺ τῆς ἁρμοδίας κωλύεσθαι στάσεως, διαρρηγνυμένων πολλάκις τῶν ὀργάνων καὶ τῶν ἐργαζομένων ἀπολεγόντων ἴσως καὶ εἰς ἀνέλπιστον αὐτοῖς περιίστασθαι τὸ ἔργον, εἰ μὴ φρονήσαντες πρὸς τὸν ὅσιον ἀνέδραμον Μαρκιανόν, τὸ γεγονὸς ἀπαγγέλλοντες· ὁ δὲ μαθὼν καὶ θαρρεῖν εἰς τὴν τοῦ Θεοῦ βοήθειαν παραινέσας ἔρχεται κατὰ τὸν τόπον, καὶ ἐκτείνας τὰς χεῖρας εἰς προσευχὴν καὶ τὸν σωτήριον τοῦ σταυροῦ τύπον ποιήσας, ἐπετίμησεν τῷ μισοκάλῳ λέγων· "Ἐχθρὲ πάσης ἀληθείας, παῦσαι διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας". Καὶ συνεφαψάμενος ταῖς ἤδη γεγηρακυίαις αὐτοῦ χερσὶν τοῦ ἔργου, εὔκολον ἐποιήσατο τὴν τοῦ κίονος στάσιν· μένει δὲ μέχρι νῦν τοῦ γενομένου θαύματος ἡ φανέρωσις, εἰς δόξαν τοῦ Θεοῦ, διὰ τῆς ἐμφαινομένης τῷ αὐτῷ κίονι κλίσεως περὶ τὴν ὀρθὴν αὐτοῦ στάσιν, ὃς ἕστηκεν ἐξ ἀριστερῶν τοῦ θυσιαστηρίου, ἤτοι τῶν πρὸς ἀνατολὰς εὐχομένων. Ἔτι δὲ καὶ τὸ κατασκευασθὲν σεπτὸν φωτιστήριον μεστὸν πάσης ἐκπλήξεως· πάντα γὰρ στοαῖς διείληπται, ὥσπερ τὴν ἐν Ἱερουσαλὴμ Προβατικὴν Κολυμβήθραν κατασκευασθῆναι συνέβαινεν, ὅπου τηνικαῦτα τὸ τῶν ἀσθενούντων ἀνεκλίνετο πλῆθος. Ἐνταῦθα δὲ μείζω τὰ θαύματα· ἐκεῖ μὲν γὰρ διὰ τῆς τοῦ Ἀγγέλου τοῖς ὕδασιν ἐπιφοιτήσεως ἕνα μόνον, καὶ αὐτὸν δυσχερῶς, ὑπῆρχεν θεραπεύεσθαι· δοῦλος γὰρ ἦν ὁ τούτοις διακονούμενος· ἐν τούτῳ δέ, δεσποτικῆς οὔσης τῆς χάριτος καὶ ἐπιφανείας, ἁμαρτημάτων μὲν οἱ τῷ ἁγίῳ φωτίσματι προσιόντες ἄφεσιν λαμβάνουσιν· οἱ δὲ ὡς τῷ σεπτῷ οἴκῳ προστρέχοντες καὶ νόσων ποικίλων καὶ πάσης βιωτικῆς ἀπαλλάττονται δυσκολίας. Ἔδειξεν δὲ ὁ πατήρ, ὅτι τῆς Προβατικῆς εἰργάσατο σχῆμά τι· καὶ γὰρ θόλοις τὸν ὄροφον καταμετρήσας καὶ χρυσῷ λίθῳ κοσμήσας, τὰ τῶν νοσούντων

3 κῶδ. *ἐπιπολὺ* || κῶδ. *ἁρμοδ. κολύεσθαι - - διαρριγμένων.* — 11 Πράξ. ιγ', 10. — 15 κῶδ. *κλήσεως.* — 16 κῶδ. *ἔστηκεν ἐξαριστερῶν τ. θυσιαστηρήου ἤτοι.* — 19 κῶδ. *κολυμβῆθραν.* — 20 Ἰωάνν. εὐαγ. ε', 1 κέ. — 23 κῶδ. *διὰ κονούμενος.* — 27 κῶδ. *ἀπαλλάττωνται.* — 28 κῶδ. *σχήματι.* — 29 κῶδ. *καταμετρίσας.*

ἀπεγράψατο σχήματα, ὡς πάρεστιν αὐτῇ τῇ ὄψει καταλαβεῖν· δι' ὅπερ οὐδὲν πλέον εἰπὼν περὶ τῆς ἐν τῇ διακοσμήσει πολυτελείας ἐφ' ἕτερον τρέψω τὸν λόγον.

11. Ὁ ἐν ἁγίοις Μαρκιανὸς πολλὴν προθυμίαν [ἔχων] ἐν ταῖς τῶν εὐκτηρίων οἴκων οἰκοδομαῖς ἐσπούδασεν καὶ τίμια λείψανα τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου κομίσαι, οἶκον αὐτῷ σεπτὸν ἀναστῆσαι, καὶ τόπον ἐπιτήδειον ἀνεσκοπεῖτο· τέως δὲ τὴν τὰ ἅγια δεξαμένην λείψανα σορὸν παρακατέθετο ἐν τῷ τότε κατεσκευασμένῳ παρ' αὐτοῦ σκευοφυλακείῳ τῆς ἁγίας Εἰρήνης, καὶ μετὰ μικρὸν ἐπιχειροῦντος αὐτοῦ πρὸς ἕτερον ταῦτα τόπον μεταγαγεῖν, οὔτε σαλεύειν ἔτι τις τὴν θήκην δυνατὸς ἦν, καὶ θεῖον εἶναι τὸ τῆς κωλύσεως [αἴτιον] ἐφαίνετο· ὕστερον δὲ λέγεται καὶ δι' ἐπιφανείας αὐτὸν τοῦ μάρτυρος γνῶναι, ὅτι ἐπαναπαύεται τῷ τόπῳ, καὶ οὕτω λοιπὸν τῇ ὀπτασίᾳ πειθαρχήσας τὸν προκείμενον οἶκον τῇ ἁγίᾳ Εἰρήνῃ κατεσκεύασεν εἰς τιμὴν τοῦ ἐνδόξου μάρτυρος Ἰσιδώρου, ὅστις καὶ διὰ πολλῶν θαυμάτων παρίστησιν τὴν οἰκείαν ἐν τῷ τόπῳ παρουσίαν, ἑκάστῳ τῶν δεομένων χάριτι Θεοῦ τὰ πρόσφορα δωρούμενος, Δαιμόνων τε καταργῶν κακίαν καὶ τοῖς ἐν θαλάσσῃ κινδυνεύουσιν παριστάμενος καὶ ἰώμενος ψυχάς τε καὶ σώματα τῶν εἰς τὸν ἅγιον οἶκον αὐτοῦ καταφευγόντων.

12. Ὁ δὲ ὅσιος πατὴρ Μαρκιανὸς τὸν τῆς ἁγίας Εἰρήνης σχεδὸν εἰς τέλος κατασκευάσας οἶκον, καὶ μέλλων ἔτι διακοσμεῖν, πρὶν γενέσθαι τὸν ἐγκαινισμὸν καταλύει τὸν βίον ἐν γήρει καλῷ καὶ πρὸς τὸν Θεὸν ἀπέρχεται ἐπευξάμενος καὶ εἰπών· "Τριὰς ὁμοούσιε, εἰς χεῖράς σου παρατίθημι τὸν οἶκον τῆς εἰρήνης σου, ὃν κτίσαι μοι ἐκέλευσας", καὶ εὐθέως ἀπέδωκεν τὴν ψυχήν· τὸ δὲ ἅγιον αὐτοῦ σῶμα οἵ τε εἰς τὸν εὐαγῆ κλῆρον τεταγμένοι καὶ αὐτὸς ὁ ἀρχιεπίσκοπος καὶ πλῆθος μοναχῶν, γυναικῶν τε σεμνῶν τάγματα καὶ τῶν ἐν τέλει λογάδων συνελθόντων, μετὰ τῆς πρε-

1 κῶδ. *αὕτη*.—4 προσέθηκα τὸ *ἔχων*.—7 κῶδ. *ἐπιτίδειον*. — 8 κῶδ. *σωρὸν* - - *κατασκευασμένῳ παραυτοῦ*. — 10 αὐτοῦ] κῶδ. *αὐτὸν προσέτερον*. — 11 κῶδ. *κολύσεως*.—12 προσέθηκα τὸ *αἴτιον* || κῶδ. *διεπιφανείας*. — 16 κῶδ. *ὥστις καὶ διαπολλῶν*. — 22 κῶδ. *διακοσμῆν*.

πούσης ὁσίοις τιμῆς προπέμψαντες ἀπέθεντο κατὰ κέλευσιν αὐτοῦ ἐν τῷ προφητείῳ τοῦ ἁγίου βαπτιστοῦ Ἰωάννου ἐν τοῖς Δανιήλ, πλησίον τοῦ ἁγίου μάρτυρος Μωκίου· γίνεται δὲ ἡ ὁσία αὐτοῦ μνήμη μηνὶ ἰαννουαρίῳ ι'. Τοῦ δὲ οἴκου τῆς ἁγίας Εἰρήνης ἐποιήσατο πρόνοιαν ἡ εὐσεβεστάτη Βηρήνα, τά τε λείποντα κοσμήσασα καὶ τὴν ὀρόφην χρυσῷ καλλωπίσασα, ὥσπερ δηλοῦται καὶ διὰ τῆς ἐν αὐτῇ ἐπιγραφῆς· καὶ γίνεται τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης μηνὶ ἰαννουαρίῳ κ', καὶ προθυμία πολλὴ τοῦ πλήθους ἦν συντρέχοντος καὶ διὰ τὸ κάλλος τοῦ οἴκου καὶ διὰ τὴν τοῦ κατασκευάσαντος ὁσίου ἀνδρὸς μνήμην, ὥστε καὶ [ὁ] ἁπλότητι κρατούμενος λέγειν· "Ἰδοὺ καὶ ἄλλη θυγάτηρ τοῦ ὁσίου Μαρκιανοῦ, ἀδελφὴ τῆς ἁγίας Ἀναστασίας".

13. Ἐκεῖνο δὲ προσθεὶς ἐκ πολλῶν τῶν τοῦ πατρὸς ἀρετῶν διηγήσομαι· καὶ γὰρ τὰ ἐκ τῶν γονέων καὶ τοῦ γένους εἰς αὐτὸν ἐνεχθέντα ἅπαντα σχεδὸν δαπανήσας περὶ τὴν κατασκευὴν καὶ ἐπιμέλειαν τῶν τε εἰρημένων καὶ ἄλλων εὐαγῶν οἴκων, τουτέστιν [τὸ] τοῦ ἁγίου Θεοδώρου τοῦ ὄντος ἐν τῷ Τενέτρα πανάρεστον εὐκτήριον κοσμήσας καὶ θαυμαστῶς διαγράψας, ἄξιον τοῦ ἐνδόξου μάρτυρος, καὶ [τὸ] τοῦ ἁγίου Στρατονίκου τοῦ ὄντος ἐν τῷ Ῥηγίῳ κατασκευάσας καὶ εὐπρεπῶς κοσμήσας, καὶ τὰς τῶν πτωχῶν ἀποτροφὰς παρέχων, οὕτως σύμμετρος ἦν περὶ τὴν ἑαυτοῦ δίαιτάν τε καὶ χρείαν. Καὶ ἄλλο μυστήριον ἀπομνημονεύεται τοῦ ἐν ἁγίοις Μαρκιανοῦ, ὅτι περιερχόμενος τὰς πλατείας καὶ τοὺς ἐμβόλους περιήει ποῦ ἂν εὕροι νεκρὸν κατακείμενον ἐν πτωχείᾳ, ἵνα ἐπιμελήσηται αὐτοῦ· καὶ ἔλουεν καὶ ἐνέδυεν καὶ ἔλεγεν πρὸς τὸ σῶμα· "Δεῦρο, ἀδελφέ, δός μοι τὴν ἀγάπην"· καὶ ἠγείρετο ὁ νεκρὸς καὶ ἠσπάζετο αὐτὸν καὶ πάλιν ἀνεπαύετο, ὥστε αὐτὸν εἰς ἄκρον καρτερίας καὶ ἀκτημοσύνης ἐλθεῖν.

14. Λέγεται γοῦν, ὅτι ἐκ μνήμης ἁγίων ἐπανιόντος αὐτοῦ—

1 κῶδ. *κατακέλευσιν*. — 7 κῶδ. *ἐναυτῆ*. — 10 προσέθηκα τὸ *ὁ*. — 17 προσέθηκα τὸ *τὸ*· οὕτω καὶ κατόπι || κῶδ. *ὄντως* || Τενέτρα] οὕτως ἐν τῷ κώδικι. — 19 κῶδ. *ὄντως*. — 20 κῶδ. *εὐπρεπῆ*. — 21 κῶδ. *ἑαυτοῦ δίαιτταν*. — 24 περιήει] κῶδ. *περὶ εἴη*. — 25 κῶδ. *ἐπιμελήσητε αὐτῶ*. — 26 κῶδ. *ἐγείρετο*. — 27 κῶδ. *ἀνεπέετο*. — 29 κῶδ. *γ' οὖν*.

καὶ γὰρ εἰς τὰ τοιαῦτα προθύμως συνέτρεχεν —, κατάβροχος ὑπὸ ὄμβρου ὁ περικείμενος αὐτῷ γέγονε χιτών. Εἰσελθὼν τοίνυν εἰς τὸ ἑαυτοῦ κελλίον καὶ μετρίους ἐκπυρώσας ἄνθρακας ἔμενεν τὸ ἱμάτιον καταψύχων· οὐδὲ γὰρ ἄλλο ἐκέκτητο εἰς τὸ περιβαλόμενον αὐτὸν τὴν συνήθη ποιήσασθαι προέλευσιν. Κατὰ συγκυρίαν δὲ ὁ τότε θεοφιλέστατος ἐπίσκοπος μετεπέμπετο τὸν ὅσιον, οἱ δὲ ἀποσταλέντες κεκλεισμένον εὑρόντες τὸ κελλίον ἐνώχλουν ἔξωθεν τὴν αἰτίαν λέγοντες· ὡς δὲ παραγίνεσθαι ὑποσχόμενος διέτριβεν, διὰ τὸ μήπω κατεψύχθαι τὸ ἱμάτιον, συνέβη τινὰς τῶν καλούντων θεάσασθαι διὰ σανίδος τὸ γινόμενον καὶ τοῖς σὺν αὐτῷ ἐξαγγεῖλαι τὸ θεαθέν· οἱ δὲ καὶ αὐτοὶ κατανοήσαντες ἀπῆλθον ἐκπεπληγμένοι καὶ ἅπαντα ταῦτα τῷ ἀρχιεπισκόπῳ διηγήσαντο· τὸν δέ, λέγουσιν, ἀκούσαντα καὶ ἡσύχως ἐπιμειδιάσαντα τοῖς παροῦσιν εἰπεῖν· «Μηδεὶς θαυμαζέτω ταῦτα περὶ Μαρκιανοῦ μανθάνων· ταύτην γὰρ ἐκ νεότητος ἔσχεν τὴν μελέτην, ὅλον ἑαυτὸν ἀναθεὶς τῷ φιλανθρώπῳ Θεῷ καὶ ἔργῳ τὸ ἀποστολικὸν πληρώσας, ἐν ᾧ εἴρηται· "Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα" χάριτι καὶ οἰκτιρμοῖς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν».

1 κῶδ. *κατάβρωχος*.—4 κῶδ. *περιβαλλόμενον*. — 6 ὁ τότε] κῶδ. *ὅτε*.—7 κῶδ. *κεκεκλεισμένον - - ἐνόχλουν*. — 9 κῶδ. *καταψύχθαι*. — 10 κῶδ. *διασανίδος - - συναυτῶ*.—13 κῶδ. *ἰσύχως ἐπὶ μηδιάσαντα*. — 15 κῶδ. *ἑαὐτῶ*.—17 Τιμοθ. 1, ϛ', 8.

XV.

ΜΗΝΙ ΟΚΤΩΒΡΙΩΙ ΙΕ'.

Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν

ΚΟΣΜΑ ΚΑΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

τῶν ποιητῶν.

1. Ὁ μέγας οὗτος καὶ περιβόητος καὶ ἐν ἁγίοις περίδοξος, ὁ ἀληθὴς τῆς ἀληθείας κόσμος, ὁ ἀντὶ χρυσοῦ καὶ μαργάρων καὶ λίθων τιμίων τοῖς θεοπνεύστοις αὐτοῦ λόγοις κοσμήσας τὴν ἐκκλησίαν, ὁ μιμητὴς κατὰ πάντα τῆς τοῦ Χριστοῦ διδασκαλίας καὶ ταπεινώσεως, ἐκ πατέρων μὲν ἔφυ πιστῶν καὶ τιμίων, εὐγενῶν τε καὶ σφόδρα πλουσίων καὶ τῇ τῆς ἐλεημοσύνης χάριτι κεκοσμημένων, ὡς ἐκ τοῦ καρποῦ τὸ δένδρον γνωρίζεσθαι· πατρίδα δὲ ἔσχε τὴν Κρητῶν νῆσον, ἐν ᾗ καὶ γεννηθεὶς καὶ - - - - - - -

2. - - - - - - - - - - οὕτως ὁ ἅγιος δι' ἀρετὴν Θεῷ γινωσκόμενος ἐκ προνοίας αὐτοῦ καὶ τοῖς ἀπίστοις ἔθνεσιν ἐν ῥιπῇ γνώριμος, ὡς προείρηται, γέγονεν· "οὐ δύναται γὰρ πόλις κρυβῆναι, ἐπάνω ὄρους κειμένη".

3. Ἀπῆραν τοίνυν ἐξ ἐκείνης τῆς νήσου, νότου βιαίου αὐτοῖς ἐπιπνεύσαντος, καὶ πολλὰ τῶν συμπλεόντων αὐτοῖς πειρατικῶν πλοίων κατεποντίσθησαν, τὰ δὲ λοιπὰ παρὰ τῆς τοῦ ἀνέμου βίας σκορπισθέντα κατεσχέθησαν, ἄλλα ἀλλαχοῦ παρὰ τῶν Ῥω-

Κῶδιξ 1-ος τῆς ἐν Χάλκῃ μονῆς τῆς Θεοτόκου, XIV ἑκατ., φ. 108β-121α.

7 Ματθ. ιβ', 33. Λουκ. ς', 44. — 8 μετὰ τὸ *καὶ* χάσμα· ἐλλείπει δὲ τῷ κώδικι, καθὰ φαίνεται, φύλλον ἓν ἐνταῦθα. — 9 κῶδ. *διαρετὴν*.

μαϊκῶν πλοίων. Καὶ τὸ πορθμεῖον δέ, ἐν ᾧ περ καὶ ὁ ὅσιος ἦν, ἔμελλε βυθίζεσθαι· ἀλλ' ὁ μακάριος στὰς ἐνώπιον πάντων εἰς εὐχὴν μεγάλη τῇ φωνῇ ἐδέετο τοῦ Θεοῦ λέγων οὕτως· "Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ καὶ πατρός, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς τὸν λαόν σου ἐκ τοῦ τῆς θαλάσσης κινδύνου, καὶ μεθ' ἡμῶν καὶ τοὺς αἰχμαλωτίσαντας ἡμᾶς, ὁ ἐντειλάμενος εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν· πλέον γὰρ αὐτῶν ἢ τὴν ἐμαυτοῦ ἐπιζητῶ σωτηρίαν· ὁρῶ γὰρ ὅτι πολλοὶ ἐξ αὐτῶν γενήσονται τῆ[ς σ]ῆς ποίμνης". Ταῦτα τοῦ ἁγίου εὐξαμένου, εὐθέως ὁ κλύδων ἐλώφησε, καὶ ἐπιτηδείου ἀνέμου πνεύσαντος δι' ὀλίγων ἡμερῶν κατήντησαν εἰς Δαμασκόν, αὐτοῦ μόνου τοῦ πλοίου διασωθέντος ἀκινδύνως· ὁ δὲ τοῦ πλοί[ου] ναύκληρος, Ἀσὴρ ὄνομα τῷ ἀνδρί, μετὰ καὶ ἑτέρων δύο τῶν ἐν τῇ πρύμνῃ κυβερνώντων ἔλεγον φωνῆς ἀοράτως ἀκοῦσαι, ὅτι "Καὶ ὑμεῖς σὺν τῷ πλοίῳ ὑμῶν ἐμέλλετε τῷ βυθῷ παραπεμφθῆναι διὰ τὰς ἀνομίας ὑμῶν δίκην ἀποτινύντες ὑπὲρ τοῦ λαοῦ, ὃν ἀδίκως κατεφονεύσατε· ἀλλὰ διὰ τὸ μὴ συναπολέσθαι τὸν δίκαιον μεθ' ὑμῶν τῶν ἀσεβῶν, φιλανθρωπίας καὶ ὑμεῖς ἐτύχετε, ὥστε μετὰ τοῦ δικαίου καὶ τοὺς σὺν αὐτῷ κακουχουμένους καὶ ὑμᾶς σωθῆναι. Ἐστὲ οὖν τοῦ λοιποῦ μερίμνης ἐκτὸς καὶ φόβου". Ταῦτα λέγοντες ἐπίστευσαν τῷ σώσαντι **Θεῷ** αὐτούς, καὶ κατηχηθέντες παρὰ τοῦ τρισμάκαρος Κοσμᾶ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τῆς ζωαρχικῆς τριάδος. Τοῦτο πρῶτον θαῦμα τοῦ ἁγίου, ὁ δὲ λόγος προτρέπεται καὶ τὰς κατὰ Δαμασκὸν ἀριστείας διηγήσασθαι τοῦ ἀνδρός.

4. Τῇ οὖν Δαμασκῷ ἐπιστὰς ὁ θεῖος οὗτος ἀνὴρ εὐθὺς δῆλος πᾶσιν ἐγένετο καὶ καταφανὴς τρόπῳ τοιῷδε· τῷ γὰρ Μανσούρ, ἄρχοντι ὄντι τῆς Δαμασκοῦ τῷ τηνικαῦτα καιρῷ, ὃν καὶ ἀμηρᾶν ἐκάλουν οἱ ἐγχώριοι, δεδώκασιν ὡς ἀπαρχὴν τὸν ὅσιον οἱ Ἀγαρηνοί, καὶ τοῦ ἁγίου πρὸς τοῦτο ἐπινεύσαντος· προεώρα γὰρ τοῖς νοεροῖς ὀφθαλμοῖς οἷα προφή[τη]ς ὁ δίκαιος καὶ προέγνω οἷον θήραμα ζωγρῆσαι μέλλει ἐν τῇ τοῦ ἄρχοντος οἰκίᾳ· ὁ γὰρ δηλωθεὶς ἄρχων, ὁ καὶ κύριος ὀνομασθεὶς — φεῦ — τοῦ ὁσίου εἶχεν

7 Ματθ. ε', 44. Λουκ. ς', 28. — 16 κῶδ. *ἀποτινῦντες*.

υἱὸν ὡσεὶ χρόνων δώδεκα καὶ μικρόν τι πρός (παρήσω τὸ ἐθνικὸν αὐτοῦ ὄνομα, τὸ δὲ ἐκ τῆς ἁγίας κολυμβήθρας), τὸν τίμιον Ἰωάννην τὸν ποιητήν, ᾧ ἐπώνυμον Δαμασκηνός· ἕτεροι δὲ τοῦτον Ἁγιοπολίτην καλοῦσιν, ὡς καὶ τὸν ὅσιον Κοσμᾶν. Οὗτος ὁ Ἰωάννης ἐν τοιαύτῃ ὢν ἡλικίᾳ ἀρετῆς ἐπεμελεῖτο ἁπάσης καὶ πρὸ τοῦ βαπτίσματος· φιλόπτωχος γὰρ ἦν καὶ ἐλεήμων ἄκρως, καὶ χριστιανοῖς συλλαλεῖν σφόδρα ἐπεθύμει, καὶ τὰς περὶ τοῦ Χριστοῦ ἐμφερομένας διδασκαλίας ἐν τοῖς ἁγίοις Εὐαγγελίοις ἐνωτίζεσθαι πάνυ ἡδέως καὶ διὰ σπουδῆς εἶχεν. Ὡς δὲ καὶ τὸν διδάσκαλον ἔνδον εὕρηκεν, ἱκέτης γίνεται τοῦ ἰδίου πατρὸς μαθητὴς γενέσθαι τοῦ δικαίου, "ἵνα μὴ μόνον" φησί "τὰς τῶν Σαρακηνῶν βίβλους ἀλλὰ καὶ τὰς τῶν Ἑλλήνων παρὰ τοῦ διδασκάλου μάθοιμι". Οὕτως εἶπε καὶ ὁ πατὴρ ἀσμένως κατένευσε πρὸς τὴν αἴτησιν, δίκαια τῷ παιδὶ καὶ λυσιτελῆ λέγοντι, καὶ ὑπεραγασθεὶς οὐκ εἶχεν ὅ τι καὶ γένοιτο ἐκ τῆς ἀπείρου χαρᾶς. Προσκαλεσάμενος οὖν τὸν σοφώτατον Κοσμᾶν εἶπεν αὐτῷ· "Τὸν παῖδα τοῦτον, ὃν ὁρᾷς, οὐχ ὡς κυρίου σου υἱὸν ἢ κύριον βλέπε, ἀλλ' ὡς τέκνον, ἵν' εἴπω, καὶ δοῦλόν σου· δι' ἐμοῦ γὰρ γεννηθεὶς εἰς τόνδε τὸν βίον προήχθη καὶ ζῇ, τὸ δὲ καλῶς καὶ πεπαιδευμένως ζῆν καὶ δεόντως παρὰ σοῦ διδαχθεὶς ἕξει· θέλω δέ, χωρὶς τοῦ γενέσθαι χριστιανόν, τἄλλα πάντα ποιῆσαι καὶ διδάξαι αὐτὸν κατὰ σὲ γενέσθαι". Οὕτως οἶδε τιμᾶν ἀρετὴ τοὺς κτωμένους αὐτήν· οὕτω δοξάζει Θεὸς τοὺς ἀγαπῶντας αὐτὸν ἐξ ὅλης ψυχῆς, ὥστε κυρίους εἶναι τῶν κυρίων μᾶλλον, ἢ δούλους.

5. Παραλαμβάνει τοίνυν τὸν μέγαν Ἰωάννην μαθητὴν ὁ μέγας Κοσμᾶς, καὶ ἦν ἰδεῖν τὸν διδάσκαλον εὐκλεῆ, τοῦ μαθητοῦ τυγχάνοντος εὐπειθοῦς· τότε γὰρ μαθητὴς διδασκάλου γνῶσιν δέχεται καὶ διδάσκαλος τὸν ἔπαινον μᾶλλον, ὅτε τὴν διατριβὴν ὁ παῖς ἀσπάζεται ποθεινότατα, τῷ τῆς φιλομαθείας ἐλαίῳ καταρδόμενος· οὐκ ἔστι γὰρ ἄλλως προκόψαι μαθητήν, εἰ μὴ τοὺς ὀχετοὺς τῆς σοφίας ὁ διδάσκαλος ἐκχέοι φιλοτίμως, ὁ δὲ δέχοιτο χαριέντως· δεῖται δὲ καὶ δρόμου καὶ σπουδῆς ἑκάτερα τὰ μέρη πρὸς

23 ἐξ ὅλης ψυχῆς] Δευτερ. ς', 5.

τὴν οἰκοδομὴν τῆς βελτιώσεως, ἵνα ὁ μὲν τὸν λόγον ὀξύνῃ, ὁ δὲ τὴν ἀκοὴν εὐτρεπίζῃ. Ὁ δὲ θαυμάσιος Ἰωάννης οὐ μόνον ἐν τοῖς σωματικοῖς, ἀλλὰ καὶ ἐν τοῖς πνευματικοῖς παιδεύμασι μᾶλλον ἐξεπαιδεύθη· "σπουδῇ γάρ", ὥς που φησί τις, "εὐφυΐα συνέδραμεν", ὡς ἐν βραχεῖ χρόνῳ κατὰ πάντα ἴσος γενέσθαι τῷ διδασκάλῳ· οὐκ ἐπαύετο γὰρ μελετῶν τὸν νόμον Κυρίου ἡμέρας καὶ νυκτός, ἐπαγρυπνῶν καὶ σπουδάζων πλεῖον ἐν τοῖς πνευματικοῖς διδάγμασιν, ἐξ ὧν τι γίνεται θαύματος ἄξιον. Ἐπαγρυπνῶν γάρ ποτε ὁ Ἰωάννης καὶ τὰ τοῦ θεοπάτορος Δαυὶδ μελετῶν λόγια καὶ ἐνηδόμενος αὐτοῖς, ὕπαρ, οὐκ ὄναρ, αὐτὸν τὸν προφήτην ἑώρακε καὶ βασιλέα, βασιλικὴν πορφύραν καὶ διάδημα φοροῦντα· ὃς καὶ τὸν Ἰωάννην πρὸς ὄνομα καλέσας εἶπεν· "Ἰδού, παιδίον, ἀπέσταλκέ με ὁ παμβασιλεὺς Χριστὸς ὑποδεῖξαί σοι ὅπως ὀφείλεις ὑποδέξασθαι τὴν τοῦ πνεύματος χάριν. Ἀνάπτυξον οὖν τὴν βίβλον, ἣν ἐν χερσὶν ἔχεις, ἧς αὐτουργὸς ἐγεγόνειν ἐγώ, καὶ εὑρήσεις χάριν ἐκ Θεοῦ· τοῦτο δὲ τρισσῶς ποίησον". Ὁ δὲ Ἰωάννης, μὴ φέρων τὴν θαυμαστὴν ἐκείνην καὶ ἔνδοξον ὄψιν, πεσὼν ἐπὶ τὴν γῆν πρὸς τοῖς ποσὶ τοῦ ἀοιδίμου βασιλέως ἐκυλινδοῦτο καὶ ἐδέετο τῆς αὐτοῦ ἀντιλήψεως· οὐκ ἔφερε γὰρ βλέπειν τὴν ἀστράπτουσαν αἴγλην ἐξ αὐτοῦ· ὁ δὲ κρατήσας τῆς χειρὸς ἀνέστησεν αὐτὸν τρέμοντα ὁμοῦ καὶ χαίροντα, καὶ ἐνώπιον αὐτοῦ τὴν εἰρημένην διανοίξας βίβλον εὗρεν οὕτως· "Τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀνταναλῇς ἀπ' ἐμοῦ"· εἶτα τὸ δεύτερον· "Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου"· καὶ τὸ τρίτον· "Τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν". Ταύτης τῆς ὀπτασίας ἀξιωθεὶς ὁ Ἰωάννης, ἐπεὶ ἔμελλεν ἀναχωρεῖν ὁ φανείς, ἠξίου καὶ ἕτερόν τι παρ' αὐτοῦ ἀκοῦσαι καὶ μαθεῖν, καὶ τῶν τιμίων καὶ ἁγίων ποδῶν ἁπτόμενος παρεκάλει αὐτὸν ὑπὲρ αὐτοῦ εὔξασθαι. Ὁ δὲ ἐπήκουσε τοῦ νέου καὶ πρὸς αὐτὸν ἔφη· "Ἡ ἐν ἐμοὶ γενομένη τοῦ ἁγίου πνεύματος ἐπιφοίτησις ἔσται καὶ ἐν σοί, τέκνον· ἀλλὰ σπούδασον ταχὺ γενέσθαι πιστός· τὰ πρωτεῖα γὰρ δοθήσεταί σοι τῆς Χριστοῦ Ἀναστάσεως· ἅμα γὰρ τῷ σῷ καθηγητῇ ἐλλαμφθήσῃ καὶ

6 Ψαλμ. α', 2. — 22 Ψαλμ. ν', 13. — 23 Ψαλμ. ν', 12. — 24 Ψαλμ. λβ', 6.

λαληθήσεται ἐν ὅλῃ τῇ οἰκουμένῃ ἡ διδασκαλία καὶ ποίησις ὑμῶν".

6. Ταῦτα πρὸ τοῦ βαπτίσματος τοῦ σοφοῦ Ἰωάννου τὰ ἐκ Θεοῦ δωρήματα. Τὴν οὖν φρικτὴν ταύτην καὶ φανερὰν ἰδέαν ἰδὼν εὐθὺς δήλην κατὰ μέρος τῷ διδασκάλῳ πεποίηκε, καὶ τοῖς ποσὶν αὐτοῦ προσπεσὼν καὶ ἀσπασάμενος ἠξίου καὶ ἐδυσώπει ἀναγεννηθῆναι δι' ὕδατος καὶ πνεύματος· ὁ δὲ θεῖος Κοσμᾶς τὴν συντριβὴν καὶ θερμοτάτην πίστιν τοῦ θαυμαστοῦ θεασάμενος Ἰωάννου, κατηχήσας αὐτὸν καὶ διδάξας τὰ περὶ τῆς πίστεως, ἃ δεῖ ποιεῖν ὑπετίθει, καὶ νηστεύειν παρήνεσε καὶ τῆς τῶν ἀπίστων συναυλίας ἀπέχεσθαι· ἀνεμίμνησκε δὲ καὶ τὴν τοῦ πατρὸς αὐτοῦ βουλὴν καὶ γνώμην καὶ ὡς, εἰ γνωστὸν γένηται, τὸν κίνδυνον ἀμφοτέροις ἴσον ἐπελθεῖν. Αὐτὸς δὲ διεβεβαίου λαθεῖν τὸν πατέρα τρόπῳ τοιῷδε· νόσον γὰρ προσποιησάμενος μὴ συνεστιᾶσθαι τούτῳ, μέχρις ἂν τελεσθῶσιν αἱ τοῦ φωτίσματος ἡμέραι, τὰ δὲ ἄλλα πάντα ῥᾷον κατωρθωκέναι δυνατῶς ἔχειν καὶ μὴ δεδιέναι τὸν ἀμηρᾶν ἀνέπειθε τὸν διδάσκαλον· οὐκέτι γὰρ ἠξίου πατέρα καλεῖν, ἀντὶ πατρὸς καὶ πάντων προκρίνων τὸν διδάσκαλον, ὡς κηδεμόνα καὶ προνοητὴν ψυχῆς ὁμοῦ καὶ σώματος. Ὁ δὲ μέγας Κοσμᾶς ἐδίδασκεν αὐτὸν πιστεύειν εἰς μίαν θεότητα, τὴν ἐν τρισὶ προσώποις νοουμένην καὶ γνωριζομένην, ἥ ἐστι πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα, καὶ τὴν ἔνσαρκον οἰκονομίαν, εἰδέναι δὲ καὶ τὴν Θεοτόκον καὶ κατὰ σάρκα μητέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἑνὸς τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ τιμὴν καὶ προσκύνησιν ἀπονέμειν ταῖς σεβασμίαις εἰκόσι, καὶ ἁπλῶς εἰπεῖν κατὰ τὸν ὅρον τῶν ἁγίων πατέρων, τῶν θεσπισάντων τὴν πίστιν, ἔχειν τε ψυχὴν καθαρὰν καὶ ἀγνότατον σῶμα καὶ ἀγάπην πρὸς πάντας ἀνθρώπους, συμπάθειαν πρὸς τοὺς δεομένους καὶ ἐλεημοσύνην πολλήν, τιμὴν μεγίστην εἰς τοὺς ἱερεῖς καὶ πρὸς τοὺς τὸν μονήρη βίον ἀσπασαμένους· αὐτοὶ γάρ εἰσιν ὁπλῖται καὶ στρατιῶται Χριστοῦ καὶ ἀντίτυποι τῶν ἁγίων Ἀγγέλων. Οὕτως οὖν αὐτὸν κατηχήσας καὶ τὰ νενομισμένα πάντα, κατὰ τὸν ἐξ ἀρχῆς τῇ ἐκκλησιαστικῇ καταστάσει διορισθέντα τύπον παρὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων, τελέ-

σας ὁ ἀοίδιμος Κοσμᾶς, μηδὲν εἰδότος τοῦ ἀμηρᾶ, Θεοῦ συνευδοκοῦντος ἐβάπτισε τὸν Ἰωάννην εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

7. Γέγονε δέ τι καὶ περὶ αὐτοὺς θαῦμα μέγιστον· ἀμφότεροι γὰρ ἐωράκεισαν, ὅ τε βαπτίζων καὶ ὁ βαπτιζόμενος, ἐν τῇ τοῦ ὕδατος κολυμβήθρᾳ παιδίον ὑπὲρ τὰς ἡλιακὰς ἀστράπτον λαμπηδόνας· ὅπερ καλέσαν αὐτοὺς ἐξ ὀνόματος εἴρηκε πρὸς ἀμφοτέρους, διδάσκον τὸν μὲν μέγαν Κοσμᾶν τὸ " Ἡ τὸ ἄσχετον κρατοῦσα καὶ ὑπέρροον ἐν αἰθέρι ὕδωρ ", τὸν δὲ θεῖον Ἰωάννην τὸ " Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδῃ δὲ μετὰ ψυχῆς, ὡς Θεός ". Οὕτως ὁ χρηματίζων προσειπών, ὡς ἐν εἴδει πυρὸς ἀστραπῆς ἀπῆλθεν ἀπ' αὐτῶν, καὶ εὐωδίας ἀπείρου οὐ μόνον τὸ οἴκημα καὶ πᾶσαν τὴν περιοικίδα πεπλήρωκεν, ἀλλὰ καὶ ὅλην τὴν Δαμασκόν. Ταῦτα τῆς δι' ὕδατος καὶ πνεύματος ἀναγεννήσεως τοῦ τιμίου Ἰωάννου τὰ προτερήματα τῶν τοῦ Θεοῦ δωρεῶν· οὕτως ἐβεβαίωσεν ὁ Θεὸς τῷ γλυκυτάτῳ Ἰωάννῃ τὴν ἀληθινὴν πίστιν· προειδὼς γὰρ τὸ καθαρὸν αὐτοῦ καὶ ἔνθεον καὶ πιστὸν ἐξ αὐτῶν τῶν προοιμίων θεολόγον ἀνέδειξε, διδάξας ἐν λόγῳ τὰ τῆς θεολογίας αἱρετὰ μυστήρια. Ὦ μακαρία καὶ ἁγία δυάς, πάτερ Κοσμᾶ καὶ σοφίας Ἰωάννη δοχεῖον θεῖον, ἡ μέλος ἀνακρουσαμένη θεῖον, ἐν ᾧ θέλγεται πᾶσα ψυχὴ χριστιανῶν, οὐδεὶς πρὸ ὑμῶν οὔτε μεθ' ὑμᾶς τοιαῦτα μελισταγῆ ποιήματα τῇ ἐκκλησίᾳ ἐμυσταγώγησεν, ἢ μᾶλλον εἰπεῖν ἐκαρποφόρησεν· ὑμεῖς κατηρδεύσατε - - - -

8. - - - - - - - - - καὶ πηγὰς δακρύων ἐκχέοντος, καὶ ἴσως τοῖς κολαζομένοις φωνὰς ἀφιέντος οἰκτρῶς, ἐπιβλέψας ὁ Θεὸς Ἄγγελον φωτὸς ἐξαπέστειλέ μοι, δρόσον ἐπιφερόμενον καὶ ὡς φῶς λάμποντα· ὃς καὶ ἐκ τοῦ τόπου με μεταστήσας ἐκείνου πρὸς ἄλ-

2 Ματθ. κή', 19. — 8 Ἡ τὸ ἄσχετον κέ] τροπάριον τῆς ε' ᾠδῆς ἁσματικοῦ κανόνος τοῦ Κοσμᾶ, ψαλλομένου τῇ Μεγάλῃ Πέμπτῃ. W. Christ et M. Paranikas, Anthologia graeca carminum christianorum, σ. 192. Α. Π. Κεραμέως, Ἀνάλεκτα ἱεροσολ. σταχυολ. II, σ. 88. — 9 ὑπέρροον] οὕτως ἐν τῷ κώδικι, καθὰ καὶ ἐν τῷ ἱεροσολυμιτικῷ τυπικῷ, ἀντὶ τοῦ κοινοῦ *ὑπερῷον*, ὅπερ οὐ μόνον ἡ τοῦ Βαρθολομαίου τύπωσις ἔχει ἐν τῷ Τριῳδίῳ, ἀλλὰ καὶ ἡ τοῦ Νικοδήμου. Ἑορτοδρόμιον, ἐν Βενετίᾳ 1836, σ. 337. — 18 αἱρετὰ] κῶδ. *ἐρετὰν*. — 23 Μετὰ τὸ *κατηρδεύσατε* χάσμα, κοπέντος ἑνός, ὡς φαίνεται, φύλλου τοῦ κώδικος.

λον ἀπήνεγκεν, ἐν ᾧπερ εἶδον κυπάριττον βρίθουσαν καρποῖς, ὧν τὸ εἶδος οὐκ ἰσχύω διηγήσασθαι· καὶ ὁ Ἄγγελος, ὁ ἐν τούτῳ τῷ τόπῳ διαγαγών με, προσεῖπεν· "Οὗτος ὁ τόπος τῶν ἐλεημόνων ἐστί, καὶ σὺ μέν, εἰ καὶ ἄπιστος, ἀλλὰ τοῖς δεομένοις ἱλαρὸν ὄμμα παρεῖχες· καὶ εἰ κατὰ ἄγνοιαν ἐναπέθανες τῇ ἀπιστίᾳ, ἀλλ' οἱ τοῦ Χριστοῦ δοῦλοι Κοσμᾶς καὶ Ἰωάννης ὁ σὸς υἱὸς πρὸς τὸν Θεὸν δεηθέντες τῆς κολάσεως ἐρρύσαντό σε, καὶ ἀπεστάλην, ὡς ὁρᾷς, ἐξαιρούμενός σε τῆς τιμωρίας καὶ καθιστῶν σε εἰς τόπον ἀναπαύσεως".

9. Οὕτω πρὸς τοὺς πόδας κείμενος ἐκεῖνος τοῦ ὁσίου Κοσμᾶ καὶ ὀδυρόμενος ἔλεγεν ὁ τῆς βασάνου ῥυσθεὶς ἀμηρᾶς· ὁ δὲ μακαρίτης Κοσμᾶς εὐχὴν ἐπ' αὐτῷ ποιήσας ἐξανέστησεν αὐτὸν ἀπὸ τῆς εἰς γῆν κατακλίσεως καὶ ἔστησεν ὄρθιον, καὶ λαβὼν χάρτην ἔγραψεν οἰκειοχείρως οὕτως· "Οἱ ἀνάξιοι δοῦλοί σου Κοσμᾶς καὶ Ἰωάννης, κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, δεόμεθα τῆς εὐσπλαγχνίας σου: εἰσάγαγε τὸν Μανσοὺρ ἐν αὐλῇ φωτός. Ἡ ἐλπὶς ἡμῶν τῶν σῶν δούλων, ἐπικάμφθητι ταῖς ἱκεσίαις ἡμῶν". Καὶ ἐπιδεδωκότες αὐτὸν τῷ Μανσοὺρ ἐξαίφνης φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι, μεσούσης τῆς νυκτός, ὑπὲρ τὴν τοῦ ἡλίου λαμπηδόνα, καὶ φωνὴ ἐκ τοῦ φανέντος φωτὸς ἐξηκούετο, "Ἡ δέησις ὑμῶν" λέγουσα "εἰσῆλθεν ἐνώπιον τοῦ Θεοῦ", καὶ ὁ ὁρώμενος ἀφανὴς ἐγένετο σὺν τῇ φωνῇ. Ἀληθῶς οὖν "θέλημα τῶν φοβουμένων καὶ ἀγαπώντων αὐτὸν ἐποίησεν ὁ Κύριος καὶ τῆς δεήσεως αὐτῶν ἐπήκουσε"· καιρὸς δὲ λοιπὸν ἐκβοῆσαι καὶ τὸ "Μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ"· "ἐλεήμων καὶ οἰκτίρμων καὶ πολυέλεος" καὶ "τίς ἱκανὸς ἐξειπεῖν τὰς δυναστείας αὐτοῦ, ἢ τὰς αἰνέσεις ἀκουστὰς ποιῆσαι"; ἐνταῦθα γὰρ ἔσχε τέλος καὶ τὸ "Ἔτι σου λαλοῦντος ἐρεῖ ἰδοὺ πάρειμι". Τὸ δὲ φανὲν ἐκεῖνο φῶς τὸν οἶκον ὅλον εὐωδίας ἀρρήτου πεπλήρωκεν, ὡς πάντας τῇ οἰκίᾳ προσδραμεῖν, ἐν ᾗ ὑπῆρχον οἱ ἅγιοι, καὶ γὰρ ἐκεῖθεν ὡς ἐκ παραδείσου λίαν εὐώδεις ὀδμαὶ ἐξεπορεύοντο. Καὶ τούτῳ μὲν μὴ δια-

22 Ψαλμ. ρμδ', 19. — 24 Ψαλμ. ρμς', 5. — 25 Νεεμία θ', 17. — 26 Ψαλμ. ρε', 2. — 28 Ἡσαία νη', 9.

πιστείτω τις· οὐκ ἔστι γὰρ ἁμαρτία νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Καὶ αὐτὸς Χριστὸς ὁ σωτὴρ ἡμῶν ἐν τοῖς ἁγίοις Εὐαγγελίοις εἴρηκεν, ὅτι "Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι καὶ μεταβήσεται"· πρὸς δὲ τοὺς ἀπιστοῦντας ἱστορίαν ἀρχαίαν οὐ παραιτήσομαι διηγήσασθαι.

10. Τραϊανὸς ὁ βασιλεὺς διώκτης χριστιανῶν ἦν καὶ πολλοὺς μάρτυρας ἀνέδειξε, τιμωρῶν αὐτοὺς διὰ τὸ τὸν Χριστὸν κηρύττειν· Ἕλλην δὲ τυγχάνων τὸν βίον κατέστρεψεν· ἀλλ' εὐχὴ δικαίου τοῦτον ἐρρύσατο τῆς ἐν τῷ Ἅδῃ κατακρίσεως· φασὶ γὰρ τὸν μέγαν Γρηγόριον τὸν Διάλογον πορευόμενον ἐκ Ῥώμης πρὸς τὸ Βυζάντιον, χειμῶνος ὄντος πολλοῦ καὶ πλημμύρας τῶν ποταμῶν πολλῆς, ἰδεῖν τὸν διερχόμενον λαὸν διανύοντα τὴν ὁδὸν ἀκωλύτως καὶ διαπεραιούμενον ἀταράχως ἄνωθεν τοῦ πλακώματος, ὅπερ αὐτὸς Τραϊανὸς κατεσκεύασε, καὶ ὑπερθαυμάσαι τῆς σπουδῆς αὐτὸν καὶ ὑπερεύξασθαι καὶ τρεῖς ἡμέρας νῆστιν διατελέσαι καὶ πρὸς Θεὸν ἱκέτιδας αἴρειν χεῖρας, ὡς ἵλεως γένηται τῷ ἀνδρί, δι' οὗ τοσοῦτος λαὸς ἀλύπως διαβαίνει, διασῳζόμενος ἐκ τοῦ βιαίου ῥοίζου τῶν ὑδάτων διὰ τῆς γεφύρας καὶ τῶν πλακωμάτων, ὧν εἰργάσατο. Ταῦτα προσευχομένῳ πρὸς τὸ τέλος τῆς τρίτης ἡμέρας ἐπέστη Ἄγγελος λέγων πρὸς αὐτόν· "Παῦσαι, Γρηγόριε, τοῦ αἰτεῖσθαι ὑπὲρ ἀσεβῶν"· ὃ δὲ οὐ μόνον οὐκ ἐπαύσατο, ἀλλὰ καὶ ἐκτενέστερον προσηύχετο, καὶ ἔτι δὶς τοῦ Ἀγγέλου ἐπιστάντος καὶ τὸν δίκαιον ἐπιστομίζοντος, οὐδ' οὕτως ἔληξε τῆς εὐχῆς, ἀλλ' ἐπέμενε κράζων· "Οὐ μὴ κατάγω τὰς χεῖράς μου ἀπὸ τοῦ ὕψους τοῦ οὐρανοῦ, ἕως εἰσακούσει κύριος ὁ Θεὸς τῆς μετὰ δακρύων κραυγῆς καὶ δεήσεώς μου καὶ ἐλεήσει αὐτόν". Οὕτω δι' ὅλης ἠύχετο τῆς ἡμέρας· ὅτε δὲ ἤγγιζε πρὸς τὸ Βυζάντιον, εὐηγγελίσατο αὐτῷ ὁ Ἄγγελος, ὅτι "Ἰδού, Γρηγόριε, εἰσηκούσθη ἡ δέησίς σου καὶ ἐρρύσθη ἀπὸ τῶν βασάνων Τραϊανός· πλὴν ὅρα μηκέτι εὔξῃ ὑπὲρ ἄλλων τινῶν ἀσεβῶν, ἐπεὶ οὐκ εἰσακουσθήσῃ". Εἰ τοίνυν πιστεύομεν, ὅτι εἰσακούει ὁ Θεὸς δεήσεως δικαίων, πιστεύσωμεν καὶ τοῖς

3 Ματθ. ιζ', 20. — 31 δεήσεως δικαίων] πρβλ. Παροιμ. ιε', 29.

διηγήμασι τούτοις καὶ δοξάσωμεν τὸν Θεόν. Ἀλλ' ἐπὶ τὸν εἱρμὸν τὸν λόγον ἀγάγωμεν.

11. Ὁ τοίνυν σοφώτατος Ἰωάννης μετὰ τοῦ ὁσίου Κοσμᾶ τὰ χρήματα πάντα καὶ εἴ τι ἄλλο ἦν τῷ ἀποιχομένῳ Μανσοὺρ πένησι διανείμας ἐν Δαμασκῷ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, καὶ μέχρι τῶν Ἱεροσολύμων ἐλθόντες, εἴς τε τοὺς ἐκεῖσε ἁγίους ναοὺς ὄντας περινοστήσαντες καὶ τοὺς Ἁγίους Τόπους, καὶ ἐκ τῶν ἐν αὐτοῖς ὄντων τιμίων πατέρων πλείστην ὠφέλειαν καρπωσάμενοι, τῶν ἄλλων ὑπεριδόντες ἁπάντων, διατρίβειν μετ' αὐτῶν ᾑρετίσαντο καὶ ἐνταῦθα πρῶτον γράφειν ἀπήρξαντο καὶ τὰ ποιήματα μελῳδεῖν· ἐδόθη δὲ μεγίστη χάρις αὐτοῖς καὶ ἐπεφοίτησεν ἡ τοῦ ἁγίου πνεύματος δύναμις ἐπ' αὐτούς, καὶ ἤρξαντο συγγράφειν τὴν νῦν τελουμένην τοῦ Λυχνικοῦ καὶ Ὄρθρου ποίησιν καὶ τὰς ἑορτὰς τοῦ Σωτῆρος κοσμεῖν καὶ τὴν Θεοτόκον μεγαλύνειν καὶ τοὺς ἁγίους πάντας ἐγκωμιάζειν ἐν μελίσμασιν, ὡς ἔστι τοῖς φιλοπόνοις ἐξετάζειν καὶ τοῖς φιλαρέτοις εὑρίσκειν τὰ τοιαῦτα συγγράμματα τῶν ἀοιδίμων καὶ μακαρίων τούτων ἀνδρῶν· καὶ ὁ μὲν ὁσιώτατος Κοσμᾶς ἐξ Ἑῴας πρὸς Δύσιν παρεγένετο (τὴν γὰρ Κωνσταντινούπολιν καταλαβὼν εἶτα μέχρι καὶ Ῥώμης αὐτῆς ἐπεφοίτησε), περὶ οὗ λέξομεν ὕστερον· νῦν δὲ πρὸς τὸν πάνσοφον Ἰωάννην τρέψομαι, μερικῶς διιὼν τὰ τοῦ παμμάκαρος κατορθώματα.

12. Οὗτος οὖν ὁ ἀξιάγαστος πλοῦτον καὶ περιφάνειαν καταλιπὼν καὶ ὅλος γενόμενος τοῦ πρὸς Θεὸν ἔρωτος, τὴν ἐνεγκαμένην ἀφεὶς καὶ τὰ Ἱεροσόλυμα καταλαβών, καθάπερ εἴπομεν, καὶ τὸν πατρικὸν ὅλον σκορπίσας πλοῦτον, διήρχετο κατὰ τὴν φιλεργὸν μέλισσαν ζητῶν τὰ τῶν λόγων ἄνθη καὶ τοὺς λειμῶνας τῶν ἀρετῶν δρεπόμενος· περιτυχὼν δὲ σοφοῖς ἀνδράσι καὶ συλλεξάμενος εἴ τι κάλλιστον καὶ εἰς ἄκρον σοφίας ἐληλακώς, εἶτα καὶ μοναχὸς γενόμενος καὶ ἱερεὺς ὕστερον καὶ ἄκων χειροτονηθεὶς "ἐν καθέδρᾳ πρεσβυτέρων" αἰνεῖ τὸν Κύριον, οὐχ ἁρπάσας τὴν τιμήν, ἀλλ' ὑπ' αὐτῆς ζητηθείς, καὶ ἀσκήσει διαλάμψας τῇ τῶν λόγων δυνάμει τὴν ἐκκλησίαν ἐφαίδρυνε καὶ πολλὰ συγγράμματα πεφιλο-

30 Ψαλμ. ρς', 32.

πόνηκε, δι' ὧν σχεδὸν παντὸς τοῦ ζητουμένου γνῶσις ἐναργὴς εὑρίσκεται· τελευταῖον δὲ καὶ τὴν δυσσεβῆ τῶν Εἰκονομάχων αἵρεσιν, ἀλλὰ καὶ πάσας αἱρέσεις, ἐστηλίτευσε ταῖς τῶν Γραφῶν σοφαῖς ἀποδείξεσι. Καὶ ὡς ἦν πρέπον ἐνδόξως καὶ ὁσίως τιμηθεὶς ἐκ Συρίας καὶ τῆς Αἰγύπτου μέχρι Περσῶν ἀφίκετο κηρύσσων καὶ βαπτίζων εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἦν θαυμαζόμενος παρὰ πάντων, ὥστε τὴν αὐτοῦ φήμην καὶ ἕως Χοσρόου τοῦ Περσῶν βασιλέως πεφθακέναι, ὅστις καὶ σπουδὴν ἔθετο τοῦτον ἰδεῖν, καὶ δεξάμενος αὐτὸν ἐφίλει καὶ κατησπάζετο καὶ ἡδέως αὐτοῦ ἤκουε· καὶ ἕως Κωνσταντίνου τοῦ Κοπρωνύμου, τοῦ τυραννήσαντος μᾶλλον ἢ βασιλεύσαντος, διῆγεν ἐν Περσίδι πολλοὺς συνετίζων καὶ στηρίζων καὶ τῇ θεοσεβείᾳ προσάγων.

13. Ἐπεὶ δὲ ὁ δυσώνυμος οὗτος Κωνσταντῖνος ἐλύττησε πλέον τοῦ ἰδίου πατρὸς κατὰ τῶν ἁγίων καὶ σεβασμίων εἰκόνων, καὶ πολλοὶ παρ' αὐτοῦ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο, περιφανῶς ἐλέγξαντες τὴν ματαιόφρονα γνώμην τοῦ τυράννου, μετὰ τούτων καὶ ὁ παμμέγιστος οὗτος καὶ σοφώτατος ἐν στηλιτευτικοῖς λόγοις ἐθριάμβευσε τὴν κακόνοιαν αὐτοῦ τοῦ παρανόμου Κωνσταντίνου· καὶ διατρίβων ἐν Περσίδι τῆς ἀληθείας ὑπερήθλει, τοῖς τῆς εὐσεβείας βέλεσιν ἀνδρικῶς κατατιτρώσκων τὸν ὑπερήφανον· καὶ πόρρωθεν ὢν ἀγχεμάχοις ὅπλοις κατηγωνίζετο τὸν τῆς εὐσεβείας ἐχθρόν, γράφων, νουθετῶν, νομοθετῶν, ἄλλος Μωϋσῆς γενόμενος, θεοχαράκτους χαράττων νομοθεσίας, ὑφ' ὧν ὁ δυσσεβὴς καὶ θεομάχος ἀνατρεπόμενος Κωνσταντῖνος καὶ μὴ φέρων τὴν ἐκείνου ἔνθεον παρρησίαν καὶ ἄμαχον ὡς εἰπεῖν δύναμιν, καὶ μᾶλλον τῶν ἐγγὺς καὶ εἰς χεῖρας ὄντων τὸν μακρόθεν ὄντα δεδιὼς "πάντα κάλλων ἐκίνησε"—τὸ τοῦ λόγου—τὸν γενναῖον ἀμύνασθαι, τὸν ἔλεγχον οὐχ ὑπομένων, καὶ λοιδορίαις αὐτὸν ἔβαλλεν ἀπόντα Μανσοὺρ ὀνομάζων. Ἀλλ' οὐ μέχρι τούτων ἔστη τὸ τῆς ἡδυπαθείας ἀνδράποδον, ὁ Κοπρώνυμος, ἀλλὰ καὶ δόλον ἐμελέτησε κατὰ τοῦ ἁγίου δεινότατον· συνέλαβε γὰρ πόνον καὶ ἔτεκεν ἀνομίαν ὁ ἀλιτήριος,

6 Ματθ. κή', 19. — 21 ἀγχεμάχοις ὅπλοις] Ξενοφ. Κύρου παιδ. 1, β', 13. — 27 Corpus paroem. II, σ. 287. — 31 Ψαλμ. ζ', 15. Ὅσια νθ', 4.

καὶ σκοπεῖτε οἷον εἰργάσατο καὶ οἷον ἀπετέλεσε Θεοῦ συγχωροῦντος.

13. Ἐπεὶ γὰρ οὐκ εἶχεν ὁ ἄνομος τὸν ἀριστέα τιμωρήσασθαι, διατρίβοντα κατὰ χώραν ἀλλοδαπὴν καὶ βασιλεῖ Περσῶν ὑποκειμένην, τί ποιεῖ καὶ τί βουλεύεται καὶ ὁποίαν τὴν διαβολὴν συντίθησι καὶ οἷα τῇ πανουργίᾳ δολιεύεται; Μαθὼν γάρ, ὡς τὰ πρωτεῖα φέρει παρὰ τῷ βασιλεῖ τῶν Περσῶν ὁ ἅγιος καὶ παρὰ πᾶσι Πέρσαις ἐστὶ θαυμαζόμενος καὶ τῆς αὐτοῦ πάντες ἐξέχονται γλώττης καὶ γραφῆς καὶ διδαχῆς, κενὰ κατὰ τῆς ἁγίας [αὐτοῦ] ψυχῆς ἐμελέτησε καὶ συκοφαντεῖν ἐσπούδασε τὸν ἄληπτον· καὶ πλασάμενος τὸ φιλίως διακεῖσθαι πρὸς Χοσρόην ἔγραψε πρὸς αὐτόν, ὡς δῆθεν κηδόμενος τῆς αὐτοῦ βασιλείας, ὁ πάντας μισῶν καὶ πᾶσιν ἐπιβουλεύων, ὁ τῆς πονηρίας δοῖδυξ, ὁ Αἰγύπτιος Πρωτεύς, καὶ κατεῖπεν ἐν τοῖς γράμμασιν ὡς ἐπιβούλου Περσῶν καὶ τοῦ βασιλέως αὐτῶν τῆς ἀλήπτου ψυχῆς Ἰωάννου· καὶ γραφὴν κατ- 15
τύσας, ὡς ἐκ προσώπου τοῦ ἁγίου πρὸς αὐτὸν γραφεῖσαν καὶ πεμφθεῖσαν — ὢ τῆς σκαιωρίας —, μεμεστωμένην πάσης διαβολῆς, διήγειρε τὸν Χοσρόην καὶ δεινῶς θυμωθῆναι παρεσκεύασε κατὰ τοῦ ἀναιτίου, ὡς καὶ πρὸς τιμωρίαν ἐκείνου τραπῆναι καὶ πολλὰς κακώσεις ἐπαγαγεῖν, εἱρκτῇ τε συγκλεῖσαι καὶ ἀνηλεῶς μαστῖξαι, 20
καὶ τελευταῖον καὶ τῆς δεξιᾶς χειρὸς ἐκκοπὴν ἐνεργῆσαι· τοιοῦτον γὰρ ἡ βάρβαρος γνώμη, καὶ ἀσύνετος καὶ θυμώδης. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος τοιούτοις ἐναποληφθεὶς κακοῖς οὐκ ἀπενάρκησεν, οὐ κατέπεσεν, ἀλλὰ τὰ τῆς εὐχαριστίας ἀναπέμπων τῷ ποθουμένῳ Θεῷ δι' ὑπομονῆς ἔτρεχε τὸν καλὸν ἀγῶνα, πάσχων καὶ αὐτὸς 25
ὑπὲρ τῆς προσκυνήσεως τῶν σεβασμίων εἰκόνων καὶ δεήσεις προσάγων τῷ δι' ἡμᾶς παθόντι Χριστῷ· ὅτε καὶ λέγεται συνεχόμενος ταῖς ἀνυποίστοις ταύταις κολάσεσι καὶ ἀφορήτοις ὀδύναις καὶ τοῦτον τὸν εἱρμὸν ἐκθέσθαι τοῦ λόγου· "Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον | καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, | ὅτι κακῶν ἡ ψυ- 30

6 οἷα] κῶδ. *οἵα* || δολιεύεται] κῶδ. *διεύεται*. — 9 προσέθηκα τὸ *αὐτοῦ*. — 25 καλὸν ἀγῶνα] Τιμοθ. 1, ς', 12. 2, δ', 7 || ἔτρεχε] πρβλ. Ἑβραί. ιβ', 1.—29 τὴν δέησιν δεομαι] δύο εἱρμοὶ εἰς ἦχον πλάγιον δ'. Εἱρμολόγιον, ἐκδ. Βενετίας 1888, σ. 130.

χή μου ἐπλήσθη | καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε"· καὶ σὺν τούτῳ καὶ τὸ "Ἱλάσθητί μοι, Σωτήρ· | πολλαὶ γὰρ αἱ ἀνομίαι μου | καὶ ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγε, δέομαι". Πλὴν ὁ Θεὸς ἐπικαμφθεὶς διὰ τῆς αὐτὸν τεκούσης πανάγνου μητρός, ὡς ὁ τῶν πολλῶν ἔχει λόγος, αὖθις ἀποκατέστησε τὴν τοῦ ἀθλοθέτου καὶ στεφανίτου χεῖρα σῴαν. Τοῦτο τὸ θαῦμα πολλοὺς ἐστήριξε καὶ τὸν πολύαθλον ὄντως ἐθαυμάστωσε, καὶ Χοσρόην ἔπεισε καὶ Πέρσας πολλὰ μεταμέλεσθαι, ἐφ' οἷς εἰς τὸν μέγαν δεινοῖς ἐνεδείξαντο, γράψαι δὲ καὶ πρὸς τὸν Κοπρώνυμον Κωνσταντῖνον, ὀνειδίζοντας αὐτὸν τῆς πρὸς τὸν ἅγιον συκοφαντίας καὶ ὡς ψευδῆ διαβάλλοντας καὶ ἄθεον καὶ τῆς τῶν χριστιανῶν πίστεως ἀλλότριον· τὸν δὲ θεῖον Ἰωάννην οὕτως ἐσεβάσθησαν, ὡς καὶ πολλοὺς αὐτῶν προσελθεῖν τῷ Χριστῷ, τὴν πλάνην ἀπολιπόντας.

14. Οὗτος ὁ βίος τοῦ παμμάκαρος, τοιαῦτα τὰ κατορθώματα καὶ οὗτοι οἱ ἐν Χριστῷ ἀγῶνες, καὶ οὕτω τῷ ἐνδόξῳ καὶ μαρτυρικῷ στέφει κοσμηθεὶς συμβασιλεύει τῷ ἀθλοθέτῃ καὶ νικοποιῷ δεσπότῃ, καταλύσας τὸν βίον ἐν γήρᾳ πίονι· ὃς δι' οἰκείων πόνων καὶ συγγραμμάτων καὶ μελισμάτων τοὺς πιστοὺς λαμπρύνας καὶ τῆς ἐκκλησίας φωτίσας τὸ πλήρωμα, τοὺς ἀναστασίμους τε κανόνας ἐκθέμενος καὶ στιχηρὰ πανσόφως εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ τὴν ὑπερένδοξον Θεοτόκον καὶ τοὺς λοιποὺς ἁγίους, καὶ οὐ μόνον εἰς τὰς ἑορτασίμους πανηγύρεις, ἀλλὰ καὶ κατανυκτικὰ καὶ μαρτυρικὰ καὶ κανόνας ὁμοίως παρακλητικοὺς καὶ πανηγυρικούς, ἐγκωμιάζων τὴν παναμώμητον νύμφην καὶ τοὺς ψάλλοντας εὐφραίνων τοῖς ποιήμασι ψυχωφελὴς θυμηδία ταῖς τῶν πιστῶν ὁμηγύρεσι πρόκειται. Ἀλλ' ὅ με διέλαθε τοῦ θαυμαστοῦ τούτου ἀνδρὸς κατόρθωμα, δεικνύον αὐτοῦ τὴν μετριοφροσύνην καὶ ὑψοποιὸν ταπείνωσιν (ὅπερ οὐ δίκαιον παραλιπεῖν καὶ ζημιῶσαι τοὺς ἡδέως ἀκροωμένους τῶν ἀνδραγαθημάτων τοῦ μεγάλου) καὶ εἰ πρότερον ἔδει γραφῆναι πλείστην ἐμποιοῦν τὴν ὄνησιν τοῖς μιμεῖσθαι προῃρημένοις, τοῦτο δώσω τῷ λόγῳ.

15. Μετὰ γὰρ τὴν τοῦ πατρὸς αὐτοῦ τελευτὴν καὶ τὴν τοῦ

17 ἐν γήρᾳ πίονι] Ψαλμ. ϟα', 14.

παντὸς πλούτου διανομὴν πρὸς τοὺς ἠπορημένους διερχόμενος τὰ ἐν Αἰγύπτῳ μοναστήρια καὶ τοὺς ἀσκητὰς ἀνερευνῶν, ὡς προέφημεν, ὥσπερ μέλισσα ἐκ πάντων τῶν χρησιμωτάτων ἀνδρῶν τὰ τῶν ἀνθέων ἀνέλεγε κάλλιστα. Ἐν τούτοις περινοστῶν εὗρε τινὰ τῶν πατέρων ἐν πάσαις μὲν ἀρεταῖς ἐπίσημον, τῷ θυμῷ δὲ ἡττώμενον, δι' ἣν αἰτίαν οὔτε μοναχός τις ἠδύνατο συνεῖναι τῷ γέροντι, ἢ ἕτερός τις πρὸς ὑπουργίαν καὶ ὑπακοήν. Τοῦτο κατιδὼν ὁ εὐκλεὴς οὗτος, καὶ βουλόμενος ἔτι μᾶλλον ἑαυτὸν ταπεινοῦν, ὥστε πλεῖον ὠφεληθῆναι καὶ μᾶλλον κατακρατῆσαι τῶν παθῶν, ὅλος γέγονε τοῦ βιάσασθαι ἑαυτὸν εὐγνωμόνως καὶ ἐν πάσῃ θεραπείᾳ δουλεῦσαι τῷ γέροντι καὶ τὸν θυμὸν αὐτοῦ ὑποφέρειν. Τοίνυν καὶ προσελθὼν τούτῳ καὶ πεσὼν ἐπὶ τὴν γῆν ἐδέετο τοῦ γέροντος συνεῖναι καὶ καθυπηρετεῖν αὐτῷ. Βαλὼν οὖν τὴν συνήθη μετάνοιαν πραείᾳ φησὶ τῇ φωνῇ· "Δέομαί σου, πάτερ ἐλεῆμον· ἐλέησόν με τὸν ἰδιώτην καὶ ταπεινόν· θέλω γὰρ δουλεῦσαί σοι— καθορῶ σε τίμιον καὶ ἅγιον πατέρα καὶ γέροντα — καὶ γενέσθαι σου μαθητής, εἴ γε καὶ Θεοῦ πέφυκε θέλημα, οὐ μόνον τὰς τιμίας σου ζηλῶν, ὡς δυνατόν, ἀρετάς, ἀλλὰ καὶ τὰ ἱερὰ γράμματα διδασκόμενος παρὰ τῆς θεοσόφου καὶ ἁγίας ψυχῆς σου. Ὁ δὲ γέρων σχῆμα καὶ ἦθος ταπεινὸν θεασάμενος καὶ παρ' αὐτοῦ μαθών, ὡς οὐκ ἔστιν ἐνθάδιος, ἀλλὰ ξένος, ἀσμένως τοῦτον προσεδέξατο, καὶ ἦν αὐτῷ καθάπερ ὑπηρέτῃ χρώμενος καὶ ἐπιτάσσων ποιεῖν πᾶσαν ὑπηρεσίαν εἴς τε τὸν ἅγιον ναὸν καὶ εἰς τὸ ξηροκήπιον, ὃ μακρόθεν ἠρδεύετο κατὰ τὸν θερινὸν καιρὸν παρὰ τοῦ Ἰωάννου· παρεκάλει δὲ τὸν Θεὸν ὁ ἅγιος δοῦναι αὐτῷ βοήθειαν ἐξ ὕψους καὶ ὁδηγῆσαι πρὸς τὸ αὐτοῦ εὐάρεστον θέλημα καὶ εἰς θεραπείαν εἶναι τοῦ γέροντος καὶ ἀποδοχήν. Καὶ ὁ Κύριος ὁ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτὸν οὐ παρεῖδε τὴν τοῦ δούλου δέησιν, ἀλλ' ἦν ἀοράτως ἐπαρήγων καὶ ἀντιλαμβανόμενος, καὶ κατάκοπον αὐτὸν γινόμενον ἐκ τῆς μετακομιδῆς τοῦ ὕδατος παρεμυθεῖτο Ἀγγέλου χειρὶ τὸν πόνον ἐπικουφίζων, συμβαστάζοντος καὶ συναχθοφοροῦντος τούτῳ καὶ ταῖς ἄλλαις πάσαις δου-

21 ἐνθάδιος = ἐντόπιος] κῶδ. *ἐθάδιος*. — 28 Ψαλμ. ρμδ', 19.

λείαις συνεργοῦντος. Διὰ τοῦτο μετὰ πάσης σπουδῆς καὶ προθυμίας ἐξεπλήρου πάντα τὰ τοῦ γέροντος, μὴ ἀπολειπόμενος ποτὲ τῆς ἐν τῇ ἐκκλησίᾳ συνάξεως, νηστείαις τε διηνεκῶς καὶ προσευχαῖς σχολάζων· καὶ ἦν ἰδεῖν τὸν ὀργίλον ἐκεῖνον καὶ θυμώδη γέροντα θεραπευόμενον τῇ δουλείᾳ τοῦ θεομάκαρος, μεταβαλόντος τοῦ Θεοῦ τὴν αὐτοῦ ἀγριότητα εἰς ἡμερότητα προβάτου, καὶ ἐπὶ τούτῳ ποθεινὸς ἦν ὁ Ἰωάννης τῷ γέροντι καὶ ὡς υἱὸς γνήσιος φιλούμενος. Ὁ δὲ ἀοίδιμος, καίπερ ὢν ἐν πολλῷ κόπῳ, μᾶλλον ἔχαιρεν, εἰ καὶ παρὰ τοῦ γέροντος ἐν ἀτιμίᾳ διῆγε· κἂν οὐχ ὕβριζεν αὐτὸν ἢ ἔτυπτεν ὁ γέρων, ἐλυπεῖτο, καθάπερ ὁ μηδέν τι κερδαίνων ἔμπορος. Ἠξίου τοίνυν τὸν γέροντα καὶ γράμματα διδάσκειν αὐτόν, καὶ πρὸς τὴν αἴτησιν ἐπινεύσας ὁ γέρων ἔγραψεν αὐτῷ τὸν ἀλφάβητον· καὶ ὁ φιλόσοφος ὁ παιδευθεὶς πᾶσαν τὴν ἐγκύκλιον ἑλληνικὴν εἰς ἄκρον παίδευσιν ἐδιδάσκετο συλλαβίζειν καὶ πληγὰς ἐδέχετο, δεικνύων ἑαυτὸν ἑκουσίως ἀγράμματον καὶ ἀφυῆ· καὶ μαστιζόμενος ἥδετο, καίπερ τοῦ σώματος αὐτοῦ δεινῶς τεταριχευμένου παρά τε τῆς ἄγαν ἐγκρατείας καὶ τοῦ πολλοῦ κόπου καὶ τῆς παννύχου στάσεως καὶ τῶν προσευχῶν καὶ τῶν τῆς ἡμέρας δουλειῶν, ἐν αἷς ἀόκνως ἐξυπηρέτει τῷ γέροντι· τοσοῦτον δὲ κατέτηξε τὸ σῶμα ταῖς ἀγρυπνίαις καὶ ἀσιτίαις, ὡς μόνην σκιὰν αὐτὸν φαίνεσθαι. Πρῶτος δὲ ὁ γέρων ὠνόμασεν αὐτὸν Δαμασκηνόν, εἴτε διὰ τὸ ἐν τῷ κήπῳ πολὺ δαμάσαι τὸ σκῆνος αὐτοῦ, εἴτε διὰ τὸ ἐκ Δαμασκοῦ πρὸς αὐτὸν φοιτῆσαι, ὥσπερ εὑρήσομεν καὶ τὸν ἅγιον ἐν διαφόροις αὐτοῦ λόγοις καὶ ὑπομνήμασι γράψαντα, "Ἰωάννου τοῦ Δαμασκηνοῦ" ταῦτα καλοῦντα· φυλάττων γὰρ ἦν τὸ τοῦ γέροντος ἐπώνυμον ὡς θησαυρὸν παρ' ἑαυτῷ.

16. Χρόνοι διῆλθον δύο καὶ ἦν ὑπηρετῶν ἐν πάσῃ δουλείᾳ, τοῦτο λαβεῖν μισθὸν αἰτούμενος ὑπὲρ τῆς ὑπηρεσίας, τὰς εὐχὰς τοῦ γέροντος, κατὰ πάντα διὰ ταπεινοφροσύνην μιμούμενος ὁ σοφὸς τῳόντι τὸν ἑαυτοῦ δεσπότην, ὃς Θεὸς ὢν ἄνθρωπος γέγονε καὶ ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος οὗτος πέλαγος ἔχων σοφίας καὶ γνώσεως ἑκουσίως ἑαυτὸν ἰδιώτην ἐποίησε καὶ ἀγράμματον, ἵνα ἐνταῦθα ταλαιπω-

ρήσας ἀδοξίᾳ μᾶλλον ἐν τῷ μέλλοντι παρὰ τῷ Θεῷ εὐδοξήσῃ, δεσποτικὴν πληρῶν ἐντολήν· πρῶτος γὰρ ὢν ἑκουσίως ἠθέλησεν γενέσθαι ἔσχατος καὶ διακονεῖν καὶ μανθάνειν, ἅπερ διδάσκειν καὶ διακονεῖσθαι. Πληρώσαντος δὲ αὐτοῦ τὸν δεύτερον χρόνον παρὰ τῷ γέροντι, ὡς ἡ τοῦ Ἁγίου Πάσχα πανσεβάσμιος πέφθακεν ἑορτή, τὸν εἰς τὴν αὐτὴν ἑορτὴν λόγον τοῦ μεγάλου Γρηγορίου τοῦ καὶ Θεολόγου διδάξας ὡσανεὶ τὸν μέγαν ὁ γέρων παρεσκεύασεν ἀναγνῶναι· λίαν δὲ τυγχάνων τῆς ἔξω γραφῆς ἀμέτοχος ὁ γέρων, καὶ μήτε τόνους εἰδώς, ἢ πνεύματα, ἢ ἀντίστοιχα, τὴν "βραδυτῆτα" βραδύτητα τὸν σοφὸν ἐδίδασκε λέγειν. Ὡς δὲ τῆς ἀναγνώσεως ὁ καιρὸς ἐπέστη, συναθροισθέντων πολλῶν μοναστῶν ἐν τῷ κυριακῷ, καὶ λογίων καὶ μὴ τοιούτων, προετράπη τὴν ἀνάγνωσιν ποιήσασθαι ὁ πανάγαστος Ἰωάννης, οἷα μαθητὴς τοῦ γέροντος. Ὁ δὲ τὴν βίβλον ἀναπτύξας, ὡς μόνον ἤρξατο καὶ εἶπε τὴν ἐπιγραφὴν καὶ ἀντὶ τῆς "βραδύτητος", ὡς ἐδιδάσκετο παρὰ τοῦ μυσταγωγοῦ, προεῖπε "βραδυτῆτα", θυμοῦ πλησθεὶς ὁ γέρων, ἀναστὰς μετὰ τῆς ῥάβδου, ἣν ἐν χερσὶν ἔφερε, κατὰ κεφαλῆς ἔτυπτε τὸν σοφώτατον ἀφειδῶς, ἕως καὶ αἷμα ἐκ τῆς κεφαλῆς αὐτοῦ κατερρύη μέχρις ἐδάφους. Κωλυόμενος δὲ παρὰ τῶν πατέρων ὁ γέρων ἔλεγε πρὸς αὐτούς· "Ὁρᾶτε τουτονὶ τὸν ἀφυέστατον καὶ ἀμαθῆ μοναχόν; ἔχω ἡμέρας τριάκοντα τὸν λόγον τοῦτον αὐτῷ καταλέγων καὶ οὐκ ἔδει αὐτὸν κἂν εἰς αὐτὴν τὴν ἀρχὴν σφαλῆναι καὶ βραδυτῆτα προσειπεῖν". Οἱ δὲ πατέρες καὶ μᾶλλον οἱ γνῶσιν ἔχοντες καὶ γραφῶν ἔμπειροι τὸν γέροντα τῆς ἀμουσίας ἐπιπλήττοντες χάριν ἔλεγον· "Κρεῖττον ὑπὲρ σὲ τὸν διδάσκαλον τὸ ῥῆμα διεσάφησεν ὁ μαθητὴς καὶ παραλόγως ἔτυψας αὐτόν". Ὁ δὲ θαυμαστὸς Ἰωάννης βαλὼν τῷ γέροντι μετάνοιαν παρεκάλει λέγων· "Συγχώρησον, πάτερ, τῇ ἰδιωτείᾳ καὶ ἀμαθίᾳ τοῦ δούλου σου· κέλευσον δέ με ἀναγνῶναι τὸν λόγον καὶ ἡ ἁγία εὐχή σου εὐοδώσει με σὺν Θεῷ καὶ μὴ ὀργίζου". Ἐπεὶ δὲ καὶ προσετάγη τὴν ἀνάγνωσιν πληρῶσαι, λέγειν ἀρξάμενος οὕτω διεσάφησε τὸν λόγον, ὥσπερ εἰ αὐτὸς παρῆν ὁ μέγας ἐν θεολογίᾳ

2 δεσπ. πληρῶν ἐντολήν] Ματθ. ιη', 4. ιθ', 29, 30. — 3 ἅπερ] κῶδ. εἴπερ.

Γρηγόριος· πολλὰ δὲ καὶ διερωτώμενος παρὰ τῶν πατέρων πάνυ σοφῶς διηρμήνευσε καὶ τὴν ὑπόθεσιν ὅλην διεσαφήνισε τοῦ λόγου καὶ τὰς λέξεις, ὥστε πάντας θαυμάσαι καὶ ἐπαινέσαι μὴ μόνον τὴν γνῶσιν, ἀλλὰ πολλῷ μᾶλλον τὴν ὑποταγὴν καὶ ταπείνωσιν τοῦ ἁγίου, καὶ εἰπεῖν πρὸς τὸν γέροντα· "Μακάριος εἶ, πάτερ κύρι Θεόδωρε"— τοῦτο γὰρ ὄνομα τῷ γέροντι—, "ὅτι τοιοῦτον εὗρες μαθητήν, σοφὸν καὶ ἐπιεικῆ καὶ μέτριον"· πρὸς οὓς ἀπεκρίνατο· "Πιστεύσατέ μοι, πατέρες· ὅταν πρός με ἦλθεν, ἀναλφάβητος ἦν καὶ ἐγὼ αὐτὸν ἐδίδαξα συλλαβίζειν· ἐξίσταμαι δὲ κἀγὼ νῦν, πῶς οὕτως ἀθρόως τοιοῦτος ὤφθη σοφός". Οὕτως εἰπὼν εἰς ἔκστασιν ἑαυτόν τε κἀκείνους ἤγαγε. Πληρωθείσης οὖν τῆς ὑμνῳδίας τοῦ ὄρθρου καὶ τῆς δοξολογίας τελεσθείσης, ὡς ἡμέρα διέφαυσεν, ἐγνωρίσθη παρά τινος τῶν συνελθόντων, ὡς ὁ πάνσοφος Ἰωάννης ὁ ποιητής ἐστιν· ὅστις καὶ προσελθὼν τῷ γέροντι "Πάτερ", εἶπεν, "ἀγνοεῖς οἷον θησαυρὸν ἔχεις ἐνταῦθα"· ὁ δὲ "Ποῖον"; εἴρηκε· κἀκεῖνος "Τοῦτον, ὃν λέγεις" ἔφη "ἀμαθῆ καὶ ἀφυῆ, καλεῖς δὲ αὐτὸν καὶ ὀψιμαθῆ, ὡς παρὰ σοῦ διδαχθέντα συλλαβίζειν· οὗτός ἐστιν ὁ μέγας Ἰωάννης ὁ Ἁγιοπολίτης"· ἦν γὰρ πᾶσι γνωστὸς ἐκ τῶν ποιημάτων.

17. Γνοὺς δὲ ὁ ἅγιος, ὅτι γνώριμος κατέστη καὶ ὅτι μέλλει παρ' αὐτῶν καταναγκάζεσθαι φανεροῦν ἑαυτὸν καὶ πάντα διασαφῆσαι καὶ μηδὲν ἀποκρύψαι τῆς ἀληθείας, λαθὼν πάντας, τοῦ Κυρίου συνεργοῦντος ἐξῆλθε τῆς μονῆς, φεύγων τὸ κενὸν δοξάριον καὶ Θεῷ μόνῳ γνωρίζεσθαι βουλόμενος· καὶ τὰ Ἱεροσόλυμα καταλαβὼν καὶ προσκυνήσας τὸν Ἅγιον Τάφον, κἀκεῖθεν ἀπάρας παρὰ τοῦ ὁδηγοῦντος αὐτὸν ἁγίου πνεύματος τοὺς Περσικοὺς εἰσέδυ μυχούς, ἔνθα γενόμενος καὶ πολλοὺς ἀγῶνας ἀγωνισάμενος, καθὼς δεδηλώκαμεν, πρὸς τὰς οὐρανίους μετέβη κατοικίας, τοῖς πατράσιν ὁ πατὴρ συναγαλλόμενος, τοῖς διδασκάλοις ὁ διδάσκαλος, τοῖς θεολόγοις ὁ θεολόγος, τοῖς μάρτυσιν ὁ μάρτυς, τοῖς Ἀγγέλοις ὁ ἰσάγγελον ἐν βίῳ πολιτείαν κτησάμενος, καὶ νῦν μετ' αὐτῶν πρέσβυς ἐστὶν ὑπὲρ ἡμῶν πρὸς τὸν φιλάγαθον Θεόν, δι' ὃν τῶν γηίνων ἁπάντων καταφρονήσας τῆς αὐτοῦ βασιλείας ἐπέτυχεν.

18. Ὁ δὲ ὁσιώτατος Κοσμᾶς γεγονὼς ἐπίσκοπος Μαϊουμᾶ καὶ ποιμαίνων θεοπειθῶς τὸ τοῦ Χριστοῦ ποίμνιον—δεῖ γὰρ καὶ τὰ ἐπίλοιπα τῆς αὐτοῦ διαγράψασθαι πολιτείας—, διερχόμενος πόλιν ἐκ πόλεως καὶ πάντας στηρίζων καὶ τῇ πίστει προσάγων κατήντησε καὶ πρὸς τὴν μεγάλην Ἀντιοχείαν· καὶ ξενισθεὶς παρὰ τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου κατ' αὐτὴν τὴν ἑορτὴν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἐπεὶ τὸν κανόνα τῆς ἑορτῆς ἔψαλλον, οὗ ποιητὴς αὐτὸς ἦν, οὐκ ὀρθῶς δὲ τοὺς λόγους ᾖδον, ὁ μὲν ἅγιος ἠγανάκτει καὶ ἔλεγεν οὐχ οὕτως ἔχειν καὶ ἐσφάλθαι τὸ βιβλίδιον· ὁ ἡγούμενος δὲ κατ' αὐτοῦ λυπεῖσθαι σφοδρότερον ἤρξατο καὶ ὀνειδιστικοῖς ῥήμασιν ἐπέπληττε τὸν ἅγιον, "Σὺ τίς εἶ" λέγων "καὶ τοιούτου ποιητοῦ βούλει λόγους ἀνατρέπεσθαι"; Ὁ δὲ ὅσιος, θέλων ψάλλεσθαι τὸν κανόνα καθὼς γέγονε καὶ μὴ ἐσφαλμένως, δεῖν ᾠήθη φανερὸν ἑαυτὸν καταστῆναι· καὶ δὴ κατ' ἰδίαν προσιὼν τῷ ἡγουμένῳ μηδενὶ δῆλον παρεκάλεσεν αὐτὸν ποιῆσαι, μήτε φανερῶσαι τὸ μυστήριον· καὶ τὸ πιστὸν εἰληφὼς "Ἐγώ" φησιν, "ὦ πάτερ, ὁ μικρός, ὃν λέγεις, εἰμὶ ὁ τόνδε πεποιηκὼς τὸν κανόνα". Καὶ ὃς "Οὐ πιστεύσω" ἔφη, "εἰ μὴ καὶ ἕτερόν μοι τοιοῦτον ἔχοντα χαρακτῆρα ποιήσεις". Ὁ δὲ ἅγιος εἰς τὴν ἐννάτην ᾠδὴν ἀπὸ τοῦ "Μυστικὸς εἶ, Θεοτόκε", μετὰ τὸ τελειωθῆναι τὴν ἀκροστιχίδα τοῦ ὅλου κανόνος, ἐποίησε καὶ ἑτέραν ᾠδήν "Ὁ διὰ βρώσεως τοῦ ξύλου", καὶ οὕτω τοὺς μοναχοὺς καὶ τὸν ἡγούμενον βεβαιωσάμενος καὶ ὅλον ἀνορθώσας τὸν κανόνα καὶ συνταξάμενος αὐτοῖς τὴν ἐπὶ Κωνσταντινούπολιν πορείαν ἐποιεῖτο.

19. Φθάσας δὲ εἰς Νικομήδειαν καὶ τῷ ἐπισκόπῳ τῆς αὐτῆς πόλεως Εὐσεβίῳ ἐντυχών, καὶ πολλὰ διαλεχθεὶς αὐτῷ περὶ τῶν ἁγίων καὶ σεβασμίων εἰκόνων, ἦν γὰρ καὶ οὗτος τῶν Εἰκονομάχων, ὡς εἶδεν αὐτὸν ἀπειθοῦντα προεῖπε διαρρήδην· "Ὦ Εὐσέβιε, κακὸς ὢν κακῷ τέλει καταλύσεις τὸν βίον". Καὶ μετὰ τρίτην

10 κῶδ. *ἐσφάλθαι*.—15 κῶδ. *κατιδίαν*.—20 Μυστικὸς κέ] Anthol. carm. christian. σ. 164.— 22 κῶδ. *διαβρώσεως* || Anthologia carm. christ. σ. 165. Σημειωτέον, ὅτι τὸ περὶ τῆς διπλῆς ἑνάτης ᾠδῆς ἱστόρημα περιέλαβεν ἀντιγράψας ἐκ τούτου φαίνεται τοῦ βίου Ἰωάννης ὁ Ζωναρᾶς ἐν ἀνεκδότῳ τινὶ συγγραφῇ, ἣν εὗρε Νικόδημος ὁ Ἁγιορείτης ἐν τῇ Λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἀθωνίτου. Ἑορτοδρομίου σ. 55.

ἡμέραν ἐξῆλθεν εἰς τὸ κυνήγιον ὁ ἀρχιερεὺς ἀναξίως θηρεῦσαι, καὶ δὴ παρὰ τῶν κυνηγῶν ἄρκου διεγερθείσης καὶ τρεχούσης ἐπὶ τὸ μέρος, ἐν ᾧπερ ὁ Εὐσέβιος ἵστατο, συνταραχθέντος αὐτῷ τοῦ ἵππου· καὶ συμποδισθέντος καὶ πρὸς τῇ ἄρκῳ συμπεσόντος, ὁ ἐπιβάτης ὑπ' αὐτῆς διεσπαράχθη καὶ οὕτως ἀθλίως ἀπεστέρηται τῆς ζωῆς ὁ ἐπίσκοπος· ἡμεῖς δὲ ἐφ' ἕτερον θαῦμα τοῦ παμμάκαρος τραπώμεθα, παράδοξον ὄντως. Ὅτε γὰρ τῆς Νικομηδείας ἀπαίρειν ἔμελλε, χήρας υἱὸς ἐξεκομίζετο θανών, ὡς ἂν ἔξω τῆς πόλεως τῇ ταφῇ παραδοθῇ, καὶ ἦν θρῆνος τῇ χήρᾳ πολὺς καὶ ὀδυρμός, ἐπιβωμένης αὐτῆς καὶ μετ' ὀδυρμῶν ὀλολυζούσης καὶ λεγούσης μὴ ἔχειν ἄλλην παραμυθίαν ἢ βακτηρίαν τοῦ γήρως "καὶ τί ποιήσω ἡ δυστυχὴς ἐγώ"; Ταῦτα καὶ ἕτερά τινα οἰκτρῶς ἀπολοφυρομένη πρὸς συμπάθειαν ἐκίνησε τὴν συμπαθῆ ψυχὴν τοῦ ὁσίου, καὶ ὡς ἐθεάσατο τὸ τῆς ὀδύνης πάθος ἀφόρητον, στὰς εἰς εὐχὴν εἶπε, πάντων ἀκουόντων· "Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ὁ δι' εὐσπλαγνίαν πολλὴν τὴν ἡμῶν φορέσας σάρκα καὶ εἰδὼς πάντα τὰ τῆς ἀνθρωπότητος, ὁ ἐπὶ Λαζάρῳ τῷ σῷ φίλῳ δακρύσας καὶ τετραήμερον ἐκ νεκρῶν ἀναστήσας, ἐπικάμφθητι τῇ δεήσει τοῦ δούλου σου καὶ σπλαγχνίσθητι ἐπὶ τῇ ἀπροστατεύτῳ καὶ πενιχρᾷ γραΐδι χήρᾳ, τῇ μὴ ἐχούσῃ τινὰ βακτηρίαν ἄλλην τοῦ γήρως· καὶ ὡς πάλαι τὸν τῆς χήρας υἱὸν ἀνέστησας, ἀνάστησον καὶ ταύτης τὸν φίλτατον καὶ μονογενῆ υἱόν, ἵνα μὴ τῇ λύπῃ καὶ τῇ πενίᾳ πιεζομένη κακῷ μόρῳ ἡ γραῦς ἀποθάνῃ". Ταῦτα εἰπὼν προσέταξε τοῖς τὴν κλίνην βαστάζουσιν ἐν τῇ γῇ στῆσαι ταύτην, τῶν δὲ τοῦτο ποιησάντων ὁ ὅσιος στενάξας ἐδάκρυσεν· εἶτα κρατήσας τῆς χειρὸς τοῦ τεθνηκότος ἔφη· "Ὁ κύριός μου Ἰησοῦς Χριστός, ὁ νεκρῶν καὶ ζώντων ἐξουσιάζων, ἀναστήσειέ σε"· καὶ κράξας εἶπε μεγάλῃ τῇ φωνῇ· "Ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τέκνον, ἀνάστηθι". Καὶ σὺν τῷ λόγῳ εὐθὺς ἀνέστη ὁ τεθνηκὼς καὶ ἐκάθισεν ἀπὸ τῆς κλίνης, καὶ περιβλεπόμενος πάντας, ὡς εἶδε τὸν ἅγιον μέσον ἱστάμενον, ἀναστὰς ἔπεσε

2 ἄρκου] Ducangii glossar. s. 119. — 17 Ἰωάν. εὐαγ. ια', 3 5. — 21 Λουκ. ζ' 12-17. — 32 ἀπόγρ. *κεκάθισεν*.

πρὸς τοὺς αὐτοῦ πόδας· ὁ δὲ πραεία τῇ φωνῇ φησὶ πρὸς αὐτόν· "Μὴ ἐμοὶ τῷ συνδούλῳ, τέκνον, ἀλλὰ τῷ δεσπότῃ καὶ Θεῷ τὴν εὐχαριστίαν ἀπόνεμε, τῷ καὶ σὲ νῦν ἀναστήσαντι καὶ αὖθις ἐν τῇ μελλούσῃ ζωῇ, καθὼς περ πάντας ἡμᾶς, οὕτω καὶ σὲ ἀναστήσοντι. Σπούδασον οὖν ἄξιος εὑρεθῆναι καὶ μᾶλλον ἐν τῇ ἐσχάτῃ ἀναστάσει τῆς μετὰ δικαίων ὁμηγύρεως". Ὁ δὲ παῖς κείμενος ἐν τοῖς ποσὶ τοῦ δικαίου παρεκάλει τὸν ἅγιον εἶναι μετ' αὐτοῦ καὶ συνακολουθεῖν αὐτῷ καὶ συνέπεσθαι καὶ συνδιάγειν ὅπου ἂν καὶ εἴη καὶ ἐν ᾗ ἂν ὁδῷ πορεύηται, καὶ μὴ ἀφίστασθαι ἀπ' αὐτοῦ μηδόλως ἀπὸ τῆς ἡμέρας ταύτης καὶ δουλεύειν αὐτῷ· ὁ δὲ ἅγιος περὶ δουλείας ἀκούσας ἐμειδίασε μικρὸν καὶ ἠρέμα πρὸς αὐτὸν ἔφη· "Ἐμοὶ οὐκ ἔστι ἄλλο τι, ὡς ὁρᾷς, ἢ τὸ ῥάκος, ὅπερ ἐνδέδυμαι, καὶ ταῦτα τὰ σανδάλια· τροφὴ δὲ οἵαν ὁ Χριστὸς παράσχοι, κλίνη δὲ ἡ γῆ, στρωμνὴ τὸ παλλίον ἐν καιρῷ ψύχους· ἐν τούτοις ὄντι οὐ δεῖ ὑπηρετεῖσθαι· ἀλλ' ἐπεί περ βούλει, τέκνον, εἶναι σὺν ἐμοὶ καὶ εἶλου συγκακοπαθεῖν καὶ συμβαδίζειν μοι μεθ' ἡδονῆς, ἀκολούθει μοι καὶ ὁ Κύριος θρέψοι ἡμᾶς καὶ ὁδηγήσοι ἀμφοτέρους εἰς τὸ αὐτοῦ ἅγιον θέλημα. Πλὴν φροντίσωμεν ἄμφω τῆς σῆς μητρός, ἵνα μὴ πρόσκομμά σοι καὶ ἐμποδὼν ἡ εὐχὴ γένηται, ἡ τῶν χρειῶν αὐτῆς σπάνις". Καὶ ὡς εἶχεν εὐθὺς ἅμα τῷ τῆς χήρας υἱῷ καὶ αὐτῇ τῇ χήρᾳ, ἐπιστηριζομένῃ παρὰ τοῦ υἱοῦ, εἰς τὸν σκευοφύλακα Παῦλον τῆς ἐκεῖσε οὔσης ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἀφίκετο, καὶ παρακαλέσας αὐτὸν παρέδωκε τὸ γραΐδιον, ὡς ὑπ' ἐκείνου τρέφοιτο καὶ πάντα τὰ πρὸς τὴν χρείαν ἔχοι καὶ ὡς μητέρα δι' αἰδοῦς περιάγοι ἁπάσης· ἡ δὲ τιμία ἐκείνη γραῦς εὐχαριστηρίους πρὸς τὸν ἅγιον ἠφίει φωνάς, τέλος δὲ πάντων καὶ βουλῇ τοῦ σκευοφύλακος τὸν μονήρη βίον ἀσπασαμένη θεοφιλῶς ἔζησε, χρόνους ἑκατὸν καὶ μῆνας ἓξ διαβιώσασα καὶ πρὸς τῷ τέλει τῆς ζωῆς ἀξιωθεῖσα καὶ θείων ἀποκαλύψεων.

20. Γεώργιος δὲ ὁ νεκρέγερτος καὶ ταύτης υἱὸς σὺν τῷ ἁγίῳ πλοίου ἐπιβάντες κατέλαβον τὸ Βυζάντιον, καὶ προσκυνήσαντες ἐν ταῖς ἁγίαις πάσαις ἐκκλησίαις καὶ ἐν τοῖς μοναστηρίοις εἰς ἓν τῶν πλησιαζόντων σεμνείων τῇ Χρυσῇ λεγομένῃ πόρτῃ, Σπάρτη κα-

λούμενον, εἰσδεχθέντες διῆγον κἀκεῖσε τὸν Γεώργιον ὁ μακάριος τὸ μοναδικὸν ἀμφιέννυσι σχῆμα, μετονομάσας Γρηγόριον· γέγονε δὲ τοῖς ἐκεῖσε πατράσι πᾶσιν ὑπήκοος, ἐξυπηρετῶν καὶ δουλεύων ἐν οἷς ἐπέταττον αὐτῷ· κεκοσμημένος δὲ πάσῃ συνέσει καθωρᾶτο καὶ ἀνεγίνωσκε καὶ ἔψαλλεν ἀόκνως, μαθητευθεὶς παρὰ τοῦ ὁσίου· χρόνον δὲ διατρίψας ἐν τῇ μονῇ ποθεινὸς κατέστη πᾶσι. Καὶ τὸν ἅγιον δὲ διὰ τιμῆς ἅπαντες ἦγον· διεφημίσθη γὰρ ἡ τούτου πολιτεία τοῖς ἐν τῇ πόλει κατοικοῦσι, καὶ ἄρχουσι καὶ ἀρχιερεῦσι καὶ μοναχοῖς, καὶ θαῦμα προύκειτο τοῖς ὀφθαλμοῖς ἁπάντων ἡ τοῦ ἀνδρὸς ἀρετὴ νοουμένη τε καὶ βλεπομένη, καὶ πρὸς αὐτὸν ἔσπευδον καὶ οἱ μετέχοντες γνώσεως, καὶ ἕκαστος ὡς ἐκ πηγῆς ἀεννάου οὐχ ὕδωρ ἀλλόμενον, ἀλλὰ ζῶντα λόγον ἐν καρδίαις ἀπαρρυόμενοι γηθοσύνως ὑπέστρεφον· ὁ δὲ λοιπὸς λαός, ἄνδρες τε καὶ γυναῖκες, μυρμήκων δίκην τὰς λεωφόρους ἐπλήρουν, τῶν μὲν εἰσερχομένων ἀκοῦσαι παρ' αὐτοῦ λόγον καὶ ὠφεληθῆναι, τῶν δὲ καὶ εὐλογίας ἀξιωθῆναι σπουδαζόντων, ἑτέρων εὐλογηθέντων καὶ ὠφεληθέντων καὶ μετὰ πολλῆς χαρμονῆς ὑποστρεφόντων εἰς τοὺς ἰδίους οἴκους. Εἶλκε δὲ πρὸς αὐτὸν τοὺς πλείονας καὶ μᾶλλον τοὺς σοφίας ἐραστὰς καὶ τὰ τούτου ποιήματα· καὶ γὰρ εὐρύθμως ἐμελῴδει ῥυθμίζων τὰς ᾠδὰς καὶ μέλος ἐναρμόνιον ἐδίδασκεν ᾄδειν· ἐπεφέρετο δὲ καὶ τὰ τοῦ μακαρίου Ἰωάννου σοφώτατα λόγια καὶ τὰ μελῳδήματα καὶ τοὺς κανόνας αὐτοῦ καὶ τὰ τῆς λεγομένης Ὀκτωήχου στιχηρὰ καὶ τὰ κληθέντα πάλιν Ἀνατολικά· καὶ γὰρ οὔπω τινὲς ἐγίνωσκον ἐμμελῶς καὶ ἀσματικῶς ψάλλειν.

21. Ἐκ δὲ τῆς φήμης τοῦ ἀνδρὸς καὶ τῆς ἀρετῆς καὶ ὁ φιλόχριστος βασιλεὺς Κωνσταντῖνος, ὁ ἔγγονος τοῦ Κοπρωνύμου,— καὶ γὰρ ἐκεῖνος κακιγκάκως ἀπέρρηξε τὴν ἀθλίαν αὐτοῦ ψυχήν—, ἀλλὰ μὴν καὶ ὁ πατριάρχης Ταράσιος συχνοτέρως πρὸς αὐτὸν παρέβαλλον ὠφελείας χάριν· καὶ δὴ τοῦ βασιλέως πρὸς τὸν ἅγιον ὁδεύοντος, βουλόμενος ὁ ἀρχέκακος Διάβολος ἐγκόψαι τῆς προθυμίας αὐτὸν καὶ ἀπεῖρξαι τῆς καλλίστης ὁδοιπορίας, τοιοῦτόν τι τῆς αὐτοῦ πονηρίας παρεσκεύασεν ἄξιον. Ἐν μιᾷ γοῦν τῶν ἡμε-

12 ζῶντα λόγον] Ἑβρ. δ', 12. Πέτρου 1, α', 23.

ρῶν παραγενομένου τοῦ βασιλέως ἐφ' ἵππου πρὸς τὸν ὅσιον, ὁ ἵππος, ἐν ᾧπερ ἐπωχεῖτο, περὶ τὸν τόπον τοῦ Βοὸς αἰφνίδιον ταραχθεὶς καὶ χρεμετίσας μέγα τοὺς ἐμπροσθίους πόδας εἰς ὕψος ἦρε καὶ ὡρᾶτο φερόμενος οὕτως ἀλογίστως ὡς ἐπὶ μιᾶς ὥρας διαστήματι, ὡς προσδοκᾶν πάντας ὑπτίως πεσεῖν τὸν βασιλέα καὶ συντριβῆναι· καὶ ὁ μὲν ἵππος ὁ ὁρώμενος ἔδρα τοιαῦτα, ὁ δὲ ἀόρατος θὴρ ἔσπευδε τὸ οἰκεῖον πράττειν, κωλύσαι μηχανώμενος, ὥστε μὴ προσφοιτᾶν τὸν βασιλέα πρὸς τὸν ἅγιον. Ἀλλ' ἔμεινε λύκος—τὸ τοῦ λόγου—χαίνων διακενῆς· ἐπὶ γὰρ τῇ ἀπροσδοκήτῳ ταύτῃ συμφορᾷ τὴν ψυχὴν ὁ βασιλεὺς ἐκπλαγεὶς τέως ἦν ἄφωνος· μόλις δὲ εἰς συναίσθησιν ἐλθὼν καὶ τὸν ἅγιον ἐν νῷ λαβὼν μεγάλῃ προσεῖπε τῇ φωνῇ· "Ἅγιε Κοσμᾶ, ταῖς πρὸς Κύριον πρεσβείαις σου βοήθει μοι· πρὸς σὲ γὰρ ταύτην ποιουμένῳ τὴν πορείαν τάφος ἡ ὁδὸς καὶ θάνατος ὁ ἵππος μοι γίνεται". Καὶ ἅμα τῷ λόγῳ τῷ βασιλεῖ κατεφάνη ὁ ἅγιος καὶ τὸν χαλινὸν τοῦ ἵππου κατασχὼν ἤρεισε καὶ τοὺς ἐμπροσθίους πόδας τῇ γῇ, προσειπὼν "Μὴ καθάπερ πτηνὸν ἐκ τῆς ἐπιβουλῆς γίνου τοῦ πονηροῦ, ἀλλὰ τετράπους ὅδευε καὶ σὺν ἡμερότητι καὶ τῷ ἡνιοχοῦντι βάδιζε καθυπείκων δεσπότῃ"· καὶ εὐθὺς ὁ ἵππος πραότατος γέγονε καὶ συνήθως ἥπτετο τῆς πορείας. Ταύτῃ τῇ θέᾳ καὶ τῷ θαύματι καταπλαγεὶς ὁ βασιλεὺς ἀνεβόησε "Μέγας ὁ Κύριος ἡμῶν καὶ θαυμαστὸς ἐν πᾶσι τοῖς ἁγίοις αὐτοῦ, ὅτι ἐν βουλῇ ἁγίων δοξαζόμενός ἐστι", καὶ διηγεῖτο τοῖς παροῦσι τὸ ξένον, ὑποδεικνύων τῇ χειρὶ τὸν ἅγιον, ὃς παρ' αὐτῷ μόνῳ φαινόμενος ἦν ἀοράτως· βουληθεὶς δὲ καὶ ἀποβῆναι τοῦ ἵππου διὰ τὸν ἅγιον, κατείχετο μηδόλως ἰσχύων. Φθάσας δὲ τὸν τοῦ Προδρόμου ναὸν καὶ ἀποβὰς τοῦ ἵππου, κἀκεῖθεν γὰρ ὡρᾶτο καὶ ὁ ἅγιος, εἰσελθὼν καὶ ἔνδον γενόμενος εὗρε τὸν ὅσιον ἱστάμενον πρὸς τῇ ἐσωτέρᾳ πύλῃ καὶ τὸν λαὸν ἑρμηνεύοντα τὸ παρὰ τοῦ Κυρίου εἰρημένον· "Ἂν ἔχητε πίστιν ὡς κόκκον σινάπεως" καὶ τὰ ἑξῆς.

22. Καὶ μετὰ τὴν πλήρωσιν τῆς διδασκαλίας ἐπιστραφεὶς καὶ

2 κῶδ. *αἰφνήδιον*.— 9 Corpus paroem. II, 121, 510. Σουΐδας ἐν λ.— 21 Ψαλ. πε', 10. — 22 Ψαλμ. ξζ', 36. πη', 8.— 30 Ματθ. ιζ', 20. Λουκ. ιζ', 6.

*

ἑωρακὼς τὸν βασιλέα ὑπήντησεν αὐτῷ καὶ τὴν προσήκουσαν ἀπένειμε τιμήν. Ὁ δὲ βασιλεὺς πρὸς τοὺς πόδας πεσὼν τοῦ ἁγίου τὸ γεγονὸς διηγεῖτο θαῦμα· ὃ δὲ ἀνέστησεν αὐτὸν καὶ διεκώλυσε λέγων· "Εὐχαριστεῖν σε δεῖ τῷ Θεῷ, βασιλεῦ, καὶ μὴ θεῖα μυστήρια ὡς παρ' ἀνθρώπου πραχθέντα τοῖς παροῦσιν ἐκδιηγεῖσθαι· καὶ γὰρ ἐγώ, καθὼς ὁρᾷς, τῷ λαῷ διαλέγομαι. Μαρτυρήσουσι τοῦτο καὶ πολλοὶ καὶ μᾶλλον οἱ παρόντες, ἐν οἷς καὶ τὴν διδαχὴν ἐποιησάμην· σὲ δέ, ἄναξ, ἡ πίστις σου καὶ ἡ πρὸς τὸν Θεὸν πεποίθησις ἐξ ὅλης σου τῆς ψυχῆς σέσωκεν". Ἐπαναλαβὼν δὲ αὖθις τὸν τῆς διδασκαλίας εἱρμὸν εἴρηκεν, "Ὅτι βασιλεὺς ἡμᾶς ἐστι διὰ τιμῆς ἄγων θαυμάσει μηδείς, καὶ γὰρ ὁ τιμῶν προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται· καὶ σὺ δέ, βασιλεῦ, μὴ τοῦτο σκόπει μόνον, ὅτι νῦν ἐρρύσθης ἐκ τοῦ ἀλόγου ζῴου, ἀλλ' ὅτι διεφυλάχθης ἀβλαβὴς ἐκ τοῦ νοητοῦ δράκοντος, καὶ τὸν σώσαντά σε Κύριον δόξαζε κἀκείνῳ τὴν χάριν ὁμολόγει καὶ ἐπ' αὐτὸν ἀνάφερε τὸ πᾶν, οὗπερ ἡμεῖς ἀχρεῖοι δοῦλοι καὶ ἐπιδεεῖς πάντες ἐσμέν, κἂν ἄλλος ἄλλου προέχειν δοκῶμεν. Εἰδὼς οὖν, ὦ εὐσεβέστατε βασιλεῦ, τὴν γενομένην εἰς σὲ τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ὅπως ταχέως τῆς δεήσεώς σου ἐπήκουσεν, οὕτω καὶ σὺ ἕτοιμος ἐν ἐλέει τοῖς ὑπηκόοις ἔσο καὶ τοῖς ὑπὸ τὴν χεῖρα τελοῦσι τὴν σὴν εὐμενὴς καὶ φιλάνθρωπος, καὶ εἴ τι ἥμαρτεν εἰς σέ τις, ἢ χρεωστεῖν ὁμολογεῖται, ἀπόλυε τοῦ χρέους συμπαθῶς, καὶ τοὺς ἐκ πλούτου πτωχεύσαντας ἀνακτῶν λαμπρῶς τε καὶ φιλοτίμως καὶ βασιλικῶς ἀποκαθίστα αὐτοὺς ἐν τῷ προτέρῳ βίῳ, ποιῶν εὐπόρους ἐξ ἀπόρων· κἂν πένης ᾖ καὶ ἄοικος, ἢ καὶ λύπῃ καὶ ἄλλῃ περιπέσῃ συμφορᾷ, τὸ πιέζον τοῦτον καὶ συνέχον εἰς εὐθυμίαν μετάβαλε, καὶ, ἵνα συνελὼν εἴπω, τὸν ἄνω Θεὸν καὶ βασιλέα μιμούμενος ἐν πᾶσιν ὁ ἐπὶ γῆς βασιλεύων πᾶσαν ἀγαθωσύνην ἐπιτέλει· καὶ γὰρ αὐτὸς ἐπὶ δικαίους καὶ ἀδίκους βρέχει καὶ τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς· ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν καὶ τοὺς ἐπηρεάζοντας ὡς εὐεργέτας ἔχειν πα-

1 ἀπόγρ. *ἀπήντησεν*. — 11 Ματθ. ι', 41. — 29 Ματθ. ε', 45. — 31 Ματθ. ε', 44. Λουκ. ς', 27, 28, 35.

ρεγγυᾷ, δόξης ἀπείρου καὶ ἀνεκδιηγήτου ἀξιῶν τοὺς τὴν τοιαύτην ἀρετὴν μετιόντας, ἧς εὐχόμεθα καὶ σὲ τυχεῖν, ποιοῦντα τὰ αὐτῷ εὐάρεστα". Ὁ δὲ βασιλεὺς ἐκ τοῦ περὶ αὐτὸν θαύματος καὶ τῶν τοῦ ὁσίου παραινέσεων, λίαν ψυχωφελῶν οὐσῶν, ὑπεραγασθεὶς πάλιν προσέπεσε τοῖς αὐτοῦ ποσί, δεόμενος εὔχεσθαι διατηρεῖσθαι Θεοῦ συνεργίᾳ τὰ αὐτῷ διαγγελθέντα βέβαια καὶ ἀνόθευτα, καὶ πρὸς τὸν ἅγιον εἴρηκεν· " Ἐγὼ μέν, ὦ τίμιε πάτερ, ἀπὸ τοῦ νῦν οὕτω ποιεῖν, ὡς ἐκέλευσας, σπουδάσω· ἀλλ' ὁ πολέμιος τοῦ γένους ἡμῶν Διάβολος, εἰ μὴ Κύριος βοηθήσει μοι, φοβοῦμαι μὴ παρεμποδίσῃ μοι καὶ ἐκκλῖναι ποιήσῃ τῆς εὐθείας ὁδοῦ, εἰς τὸ κατασπάσαι τὴν ἐμὴν ἀθλιότητα εἰς βυθὸν Ἅδου". Τοιούτοις ἤθεσι καὶ λόγοις καὶ πράγμασιν ἐκοσμεῖτο ὁ ἀοίδιμος καὶ φιλόχριστος βασιλεὺς Κωνσταντῖνος ὁ ἐξ ἀκάνθης φυεὶς ῥόδον· πρὸς ὃν ὁ τιμιώτατος φησὶ Κοσμᾶς· " Ἐὰν τὴν πρόθεσίν σου θεάσηται ὁ Κύριος, ἐξ ὅλης ψυχῆς καὶ ἐν ὅλῃ καρδίᾳ καὶ διανοίᾳ ἐπ' ἔργοις ἀγαθοῖς μετ' ἐξομολογήσεως καὶ ταπεινώσεως γενομένην, οὐκ ἐάσει τοὺς κύκλῳ συνεπιτιθεμένους καὶ κατὰ τὸ ὕψος περιπατοῦντας ἀσεβεῖς ἀδικεῖσθαί τε καὶ διαφθεῖραι τὰ κατὰ Θεόν σε διαβήματα".

23. Τούτων τῶν παραινετικῶν λόγων τοῦ μάκαρος καὶ εἰς εὐσέβειαν προτρεπτικῶν συμπαρῆσαν ἀκροαταὶ πολλοὶ καὶ ἄλλοι τῶν μεγιστάνων, σὺν τούτοις καὶ δύο τινὲς βικάριοι, τῆς αἱρέσεως ὄντες τῶν Εἰκονομάχων. Μάξιμος καὶ Φλωρέντιος τούτοις τὰ ὀνόματα· οὗτοι γὰρ ὁρῶντες τὴν τοῦ βασιλέως πρὸς τὸν ἅγιον διὰ τὸν Θεὸν ταπείνωσιν καὶ πίστιν, καθ' ἑαυτοὺς διεπρίοντο, καὶ ὡς ἐν πυρὶ καὶ ὕλῃ μεγίστῃ πνεῦμα βίαιον ἀναρριπίζει τὴν φλόγα, τὸν αὐτὸν κἀνταῦθα τρόπον ἐν ταῖς ἀσεβέσι ψυχαῖς αὐτῶν ὁ θυμὸς ἀνήπτετο, καὶ συλλαμβάνοντες πόνον ἔτικτον ἀνομίαν, καὶ ὑποψιθυρίζοντες πρὸς ἀλλήλους ἔλεγον· " Ἴδε παρρησίαν, ἣν ἔλαβον οἱ σκοτένδυτοι· θεάσασθε τοῦτον· πῶς οὐκ ἐρυθριᾷ ὁ ῥακοδύτης πρὸς τοῖς ποσὶν αὐτοῦ κείμενον ὁρῶν τὸν πορφύραν βασιλικὴν ἠμφιεσμένον; ἀληθῶς ὡς ἀνδράποδον λελόγισται παρ' αὐτοῦ. Φεῦ τῆς ἀβελτηρίας! τίς ὢν ποίους πόδας περιπτύσσεται ὁ μικροῦ δεῖν κο-

10 Ψαλ. μγ', 19. — 17 Ψαλμ. ια', 9. — 27 Ψαλμ. ζ', 15. Ἡσαΐα νθ', 4.

σμοκράτωρ! τῷ μονοχίτωνι, καὶ αὐτῷ ῥακώδει καὶ διερρωγότι καὶ ὀδωδότι, προσέρχεται καὶ τὰ ἴχνη τούτου κατασπάζεται! Ποῦ νῦν ἐστιν ὁ κράτιστος ἐκεῖνος Κωνσταντῖνος — τὸν Κοπρώνυμον παραδηλοῦντες—, ὁ περίδοξος, ὁ περίβλεπτος ἐν βασιλεῦσιν; ἦ γὰρ ἂν καὶ τοῦτον κακῶς οὐκ ἐνάρκησεν ἀποκτεῖναι, καθάπερ τὸν τοῦ Αὐξεντίου Στέφανον καὶ τοὺς λοιποὺς". Ταῦτα οἱ ἀλαζόνες καὶ ἀναιδεῖς ἠρέμα πρὸς ἀλλήλους διωμίλουν, μή τινος ἑτέρου τούτων ἀκούοντος. Ὁ δὲ πραότατος Κοσμᾶς, πλησθεὶς ἁγίου πνεύματος, ταῦτα διέγνω, καίπερ ἀφεστὼς μακρόθεν, καὶ προσεγγίσας εἶπε μεγάλῃ τῇ φωνῇ· «Ὦ δυὰς ἀσεβεστάτη, Μάξιμε καὶ Φλωρέντιε, τί καθ' ἑαυτοὺς ἀνομίαν στρέφετε καὶ τὸν ὁμόφρονα ὑμῶν καὶ παράνομον ἐκθειάζετε τύραννον, τὸν ἀλάστορα καὶ δυσσεβῆ Καβαλῖνον; ὃς ἐτόλμησεν ἐμπαροινῆσαι κατὰ τῆς τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰκόνος καὶ εἴδωλον αὐτήν, ὡς τοῦ Διός, ἀποκαλέσαι· διὸ καὶ τῷ ἀσεβεστάτῳ καὶ διαιωνίζοντι παρεδόθη πυρί. Τοίνυν, ἐπεὶ καὶ ὑμεῖς θέλετε σὺν αὐτῷ παραπολαῦσαι τῆς ἀφορήτου βασάνου, ὡς αὐτοῦ ὁμόφρονες καὶ μῦσται καὶ ὀπαδοί, σήμερον ταύτης ἐκ μέρους πειραθήσεσθε, εἴπερ καὶ ἐπαινέται τούτου τυγχάνετε καὶ τῶν αὐτοῦ πάντων ἐπιθυμεῖτε βακχευμάτων καὶ ἀσέμνων πράξεων, καὶ γνώσεσθε τίνος ἀντιποιεῖσθε". Καὶ πρὸς τούτους ἐνιδὼν καταπληκτικῶς ὁ ἀεὶ προσηνὴς καὶ μέτριος ἔφη· "Εἴπερ ἐγὼ Χριστοῦ δοῦλος ἀληθὴς καὶ Θεὸς ἀληθὴς ὁ Χριστός, ἐκ τοῦ πυροῦ, οὗ παραπολαύειν κατεκρίθη ὁ ἀσεβὴς αὐτῶν συμμύστης Κωνσταντῖνος ὁ δυσσεβὴς καὶ Κοπρώνυμος, ὁ ἀτίμως τὸ διάδημα ποτὲ ἀναδησάμενος, μέρος τι κυκλωσάτω τὸν Μάξιμον καὶ Φλωρέντιον". Καὶ ἅμα τῷ λόγῳ ζοφώδες πῦρ, ὡς πίσσης καὶ θείου ἀναπεμπομένου βαρεῖαν ὀδμὴν καὶ ἀηδῆ, περιεκύκλωσε τοὺς ἀθλίους, καὶ εὑρέθησαν ἐν μέσῳ τῆς αὐλῆς τοῦ μοναστηρίου οἱ δείλαιοι ἐν σκότει καὶ πυρὶ καιόμενοι, καὶ ἤρξαντο ὀλολύζειν, τρίζειν τε τοὺς ὀδόντας καὶ κράζειν· "Ἐλέησον ἡμᾶς, δοῦλε τοῦ Θεοῦ τοῦ ὑψίστου· οὐ φέρομεν τὰς ὀδύνας". Πάντες οὖν

6 Νικηφόρου πατριάρχου ἱστορ. σ. 72 ἐκδ. de Boor. — 9 καίπερ ἀφεστὼς] κῶδ. καὶ παρὰφεστὼς.

συμπαραγενόμενοι σὺν τῷ βασιλεῖ, καὶ οἱ μοναχοὶ μετὰ τοῦ προεστῶτος τῆς μονῆς, καὶ οἱ ἐν τέλει καὶ ἕτερον ἄπειρον πλῆθος, ἐώρων τὸ ζοφῶδες ἐκεῖνο πῦρ καὶ τὰς φωνὰς αὐτῶν ἤκουον, οὐδαμῶς δὲ τοὺς κολαζομένους ἔβλεπον. Μετὰ φόβου τοίνυν πολλοῦ τὸ "Κύριε ἐλέησον" ἔλεγον· ὁ δὲ συμπαθέστατος Κόσμας ὑπὸ συμπαθείας κινηθεὶς ἐδάκρυσεν· εἶτα πρὸς αὐτοὺς ἐπιστραφεὶς εἶρηκεν· "Ὦ κακότροπος δυάς, ἤσθου τῆς βασάνου; ἐπέγνωτε, ἄθλιοι καὶ ταλαίπωροι, τί πεπόνθατε, πρὸς Θεὸν ἀσεβήσαντες μᾶλλον, ἢ πρὸς ἐμέ; καλῶς καὶ ἀξίως τὰς ὕβρεις ἐπέμψατε καταφρονήσαντές μου ὡς εὐτελοῦς καὶ ἁμαρτωλοῦ· πῶς δὲ καὶ κατὰ τοῦ Χριστοῦ καὶ τῶν ἁγίων τὴν γλῶτταν κεκινήκατε, κατ' αὐτῶν εἰρωνευόμενοι; κἀγὼ δὲ παρὰ τοῦτο τὴν ἐνταῦθα διήνυον ὁδόν — αὐτή μοι μαρτυρεῖ ἡ ἀλήθεια —, γλιχόμενος ὑπὲρ τῶν τιμίων καὶ ἁγίων εἰκόνων τοῖς μάρτυσι καὶ πατράσι, τῷ τε μακαρίῳ Στεφάνῳ καὶ τοῖς λοιποῖς, συνοδεῦσαι καὶ τὸν ἴσον αὐτοῖς ὑπελθεῖν τοῦ μαρτυρίου δρόμον, ἐνδυναμοῦντός με πρὸς τοῦτο τοῦ καὶ τὰς παρειμένας χεῖρας ἐνισχύοντος. Ἀλλ' ὁ ποιῶν πάντα καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον Κύριος, ὡς ἠθέλησεν ἐποίησε, καὶ οὐχ ὑπερεῖδεν ἐπὶ πολὺ τὸν λαὸν αὐτοῦ κακουχεῖσθαι, ἀλλ' ἤγειρε φιλανθρωπευσάμενος ἕτερον βασιλέα καὶ τὸν μὲν ἀποστάτην, τὸν ὑπερήφανον, τὴν βδελυρὰν κόπρον, Κωνσταντῖνον φημὶ τὸν Καβαλῖνον, ἐκποδὼν ποιήσας ἐν πυρὶ Γεέννης κατεδίκασε διηνεκῶς καὶ αἰωνίως, ἀναστήσας ἀντ' αὐτοῦ βασιλέα πιστόν, ὃς πορεύεται κατὰ τὰς ἐντολὰς αὐτοῦ".

24. Κατιδόντες οὖν τὸν ὅσιον ὅ τε βασιλεὺς καὶ οἱ ἐν τέλει καὶ ὁ λοιπὸς ὄχλος, ὁ παραγεγονὼς πρὸς τὴν τοιαύτην θέαν, πρὸς δάκρυα κατενηνεγμένον, καὶ γνόντες τὴν τοῦ δικαίου συμπάθειαν, εἶπον ἐν ἑαυτοῖς· "Ὄντως, εἰ μὴ ἐσπλαγχνίσθη, οὐκ ἂν ἐκ τῶν τιμίων ὀφθαλμῶν αὐτοῦ κατέσταζε δάκρυα". Καὶ παραχρῆμα καθικέτευον, ἠντιβόλουν, τῶν ποδῶν αὐτοῦ τῶν ἁγίων ἥπτοντο, σπλαγχνισθῆναι καὶ ῥύσασθαι τῆς δεινῆς κολάσεως τοὺς ἀθλίους καὶ τῆς ζοφώδους λυτρώσασθαι φλογός· καὶ οἳ μὲν οὕτως

17/18 Ψαλ. ριγ', 11. ρλδ', 6.

ἐξελιπάρουν τὸν ἅγιον, ὁ δὲ συμπαθέστατος ἐκεῖνος ἀνὴρ μηδοτιοῦν ἀναβαλόμενος σύνδακρυς πρὸς τὸν βασιλέα καὶ τοὺς λοιποὺς ἔφη· "Τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ δεῖ καὶ ἡμᾶς μιμεῖσθαι τὴν ἀγαθότητα· καὶ [γὰρ] οὗτος ἐλθὼν εἰς ἡμᾶς, ὡς τὸ καθ' ἡμᾶς μορφωθείς, εὐεργεσίας καὶ ἰάσεις πολλὰς ἐνεδείξατο καὶ οὔ τινα τετιμώρηκεν, εἰ μὴ τὴν συκῆν ἐξήρανε, δεικνὺς τοῖς ἀποστόλοις, ὅτι οὐ μόνον ἰσχύει ἀγαθοποιεῖν καὶ θεραπεύειν καὶ ἰᾶσθαι τὰς ψυχικὰς καὶ σωματικὰς ἀσθενείας, ἀλλὰ δυνατός ἐστι καὶ τιμωρεῖν, εἴπερ καὶ βουληθείη. Τοῦτον οὖν τὸν δυνατὸν πάντα ποιεῖν κοινῇ πάντες ἐπικαλεσώμεθα, καὶ αὐτὸς ὁ πλούσιος ἐν ἐλέει καὶ φιλανθρωπίᾳ παράσχοι ἡμῖν ἑτοίμως τὸ πλούσιον αὐτοῦ ἔλεος, καθάπερ ἐλπίζομεν ἐπ' αὐτόν· οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν". Καὶ ποιήσας εὐχὴν σὺν τοῖς πατράσιν ἔψαλε τὸ "Ἅγιος ὁ Θεός", εἶθ' οὕτω καὶ τὸν πεντηκοστόν (=ψαλμόν)· καὶ γενομένης ἐκτενοῦς εὐχῆς παρὰ τοῦ θεομάκαρος Κοσμᾶ, πάντες σὺν τῷ βασιλεῖ μεγάλῃ τῇ φωνῇ τὸ "Κύριε ἐλέησον" ἐξεβόησαν, καὶ μετὰ ταῦτα στραφεὶς ὁ ὅσιος ἐσφράγισε τῇ χειρὶ τὸ ζοφῶδες ἐκεῖνο καὶ ἀφεγγὲς πῦρ, καὶ ἤρξατο μικρὸν ὑποχωρεῖν, ἕως παντελῶς ἀπέστη ἀπὸ τῶν ἀθλίων ἐκείνων. Ἐφάνησαν οὖν οἱ ἄνδρες παντελῶς ἀγνώριστοι, μηδὲ λείψανον περιβολῆς ἐν τῇ σαρκὶ φέροντες αὐτῶν, γυμνοὶ καὶ κατῃθαλωμένοι δεινῶς ὑπὸ τοῦ πυρός. Ἀνανεύσαντες γοῦν καὶ τὸν ὅσιον ἰδόντες ἐπὶ τοὺς πόδας αὐτοῦ κατέπεσον καὶ ἐξωμολογοῦντο πάντα μετὰ δακρύων, ἃ κατὰ τῶν ἁγίων εἶπον καὶ σεπτῶν εἰκόνων καὶ κατὰ τοῦ βασιλέως καὶ τοῦ ὁσίου τούτου Κοσμᾶ καὶ τῶν λοιπῶν μοναχῶν· ἐδέοντο δὲ λέγοντες πρὸς τὸν ἅγιον· "Τίμιε πάτερ, συγχώρησον ἡμῖν τοῖς εἰς τὸν Θεὸν καὶ σὲ τὸν αὐτοῦ λάτριν ἡσεβηκόσιν". Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· "Πῶς ἠσθάνθητε τοῦ πυρὸς καὶ ὅθεν ἐλθὸν περιεκύκλωσεν ὑμᾶς, εἴπατε πάντων ἔμπροσθεν". Οἱ δὲ προσεῖπον· "Ἐκ τοῦ κακίστου βασιλέως Καβαλίνου τῆς βασάνου ῥανὶς ἐξελθοῦσα μόνη περιεκύκλω-

4 προσέθηκα τὸ *γὰρ*. — 6 Ματθ. κα', 19. Μάρκ. ια', 13, 14, 20. — 10 Ἐφες. β', 4. — 11/12 Ψαλμ. λβ', 18-22. — 12/13 Ἰεζεκ. λγ', 11. — 28 κῶδ. *λάτρην*.

σεν ἡμᾶς". Τότε φρίκη πάντας κατέλαβε καὶ ἔκστασις, καὶ καθυπέβαλον ἀναθέματι πάντας τοὺς μὴ τιμῶντας καὶ προσκυνοῦντας καὶ σεβομένους τὰς σεβασμίας καὶ ἁγίας εἰκόνας· πρῶτοι δὲ οὗτοι, οἱ περὶ Μάξιμον καὶ Φλωρέντιον, ὅσους ἐγίνωσκον τῆς τοιαύτης ὄντας αἱρέσεως, ἀνεθεμάτιζον· πολλοὶ δὲ καὶ ἑκόντες ἤρχοντο καὶ ἐξωμολογοῦντο, τῆς κακοπιστίας ἀφιστάμενοι, καὶ τοὺς γενομένους αἱρεσιάρχας τῷ ἀναθέματι τρανῶς ἐδίδοσαν. Οἱ δὲ διὰ τῆς θείας μάστιγος παιδευθέντες Μάξιμος καὶ Φλωρέντιος ἐφ' ἱκαναῖς ἡμέραις συνεῖναι τῷ ἁγίῳ δυσωπήσαντες κατηχήθησαν ὑπ' αὐτοῦ καὶ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἔλεγον γὰρ μὴ τοῦ ἁγίου βαπτίσματος ἐν μετοχῇ γενέσθαι, τῶν πατέρων αὐτῶν βαρβάρων ὄντων καὶ σύντροφον ἐχόντων τὴν τοιαύτην αἵρεσιν. Βαπτισθέντες οὖν εἰς τὴν ἀρχαίαν αὐτῶν ἀποκατέστησαν ἰδέαν, ἰαθέντες αὐτίκα καὶ ἀπὸ τῶν φλυκτίδων, ὧν ἀπὸ τοῦ πυρὸς ἐπεφέροντο, καὶ γεγόνασιν ὀρθόδοξοι καὶ προσκυνηταὶ τῶν ἁγίων εἰκόνων πανοικεσίᾳ, καὶ σωτηρίας ἠξιώθησαν.

25. Ταῦτα ὁ τῶν ἁγίων Θεὸς καὶ τοῖς αὐτοῦ δούλοις ἐπικαμπτόμενος καὶ δοξάζων αὐτοὺς καὶ μεγαλύνων· ὁ δὲ μακάριος Κοσμᾶς καὶ ἕτερα πλεῖστα θαύματα ἐν Κωνσταντινουπόλει πεποιηκώς, καὶ λόγους διδασκαλικοὺς συγγραψάμενος καὶ βίους πατέρων καὶ στιχηρὰ ποιήσας καὶ κανόνας καὶ τριῴδια, νουθετήσας τε καὶ πάντας ἐπιστηρίξας καὶ διδάξας περὶ ἀκτημοσύνης καὶ τοῦ καταφρονεῖν πλούτου καὶ δόξης, μόνης δὲ ἀρετῆς ἀντιποιεῖσθαι καὶ φροντίζειν τῶν ἑστώτων καὶ μενόντων καὶ μὴ τῶν ῥευστῶν καὶ παρερχομένων, καὶ παραινέσας τὰς τοῦ Χριστοῦ τηρεῖν ἐντολάς, δι' ὧν ὁ βιοτεύων τῆς τῶν οὐρανῶν καταξιοῦται βασιλείας, ἐπεὶ καὶ ἀποδημεῖν ἐβούλετο καὶ τὴν βασιλίδα καταλιπεῖν τῶν πόλεων, ἀφίκετο πρὸς τὸν βασιλέα συντάξασθαι αὐτῷ καὶ οὕτως ἀπιέναι· ὁ δὲ βασιλεὺς μαθὼν ὅτου χάριν πρὸς αὐτὸν ἐληλύθει, καὶ ἀδημονήσας καὶ συγχυθεὶς καὶ ὑπεραλγήσας, "Ὦ πάτερ" ἔφη "τίμιε, διατί μέλλεις ἐντεῦθεν ἀναχωρεῖν, τῶν ἐμῶν ὀφθαλμῶν φῶς ὑπάρχων; ἀλλὰ δός τι παρηγόρημα τῇ ἐμῇ ψυχῇ, καὶ

10 Ματθ. κη', 19.—20 Κοσμᾶ τοῦ μελῳδοῦ λόγους τε καὶ βίους ἁγίων ἀγνοοῦμεν.

μὴ ἐάσῃς ἀπαραμύθητον· χρῄζω γὰρ τῆς σῆς πρὸς Θεὸν μεσιτείας, μέσον θορύβων πολλῶν συστρεφόμενος". Ταῦτα λέγων καὶ δακρύων ὀχετοὺς τῶν ὀφθαλμῶν ἀπέρρεε· ὡς δὲ τὸν ἅγιον εἶδε τὴν ἀποδημίαν προσεπισπεύδοντα καὶ τὴν γνώμην ἀμετάθετον ἔχοντα, μόλις εἴασε τοῦτον καὶ μὴ βουλόμενος, δεδιώς, μήπως ἀπᾷδον τι ποιήσηται κατέχων αὐτὸν καὶ κωλύων τοῦ σκοποῦ καὶ τῆς πρὸς τὴν πορείαν ὁρμῆς. Ὁ δὲ ἅγιος τοῦτο μόνον ἐπιφθεγξάμενος τῷ βασιλεῖ "Τέκνον, Χριστὸν ἔχων βοηθὸν ἀνθρωπίνην οὐ πτοηθήσῃ βλάβην, καὶ τὴν ἡμῶν μετριότητα μηδαμῶς ἀπείργων ἔσο· σὺν σοὶ γάρ ἐσμεν, καὶ μὴ παρόντες, καὶ ὑπερευχόμεθα, καὶ μᾶλλον, ἐὰν εἰς τέλος ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ μείνῃς καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῇς καὶ τὴν τῶν ἁγίων καὶ σεβασμίων εἰκόνων τιμᾶς προσκύνησιν· μέλλουσι γὰρ καὶ ἔτι λύκοι ἄγριοι τὸ τίμιον τοῦ Χριστοῦ σπαράττειν καὶ βλάπτειν ποίμνιον, ἀλλ' οὐδαμῶς κατισχύσουσι".

26. Ταῦτα εἰπὼν καὶ κατασπασάμενος ἐξῆλθε τῶν βασιλείων· ὁ δὲ βασιλεὺς χρήματα ἱκανὰ πέμπει τῷ ἁγίῳ τῶν βασιλείων ἐξιόντι, ὃ δὲ οὐδὲ ὀφθαλμοῖς ἐπείσθη θεάσασθαι, εἰρήκει δὲ πρὸς τοὺς φέροντας· "Εἴπατε τῷ βασιλεῖ ταῦτα δοῦναι τοῖς δεομένοις καὶ μὴ τοῖς μηδενὸς τούτων χρῄζουσιν ἡμῖν, οἷς ἀρκεῖ καὶ χιτώνιον ἓν δι' ὅλης τῆς ζωῆς"· καὶ γὰρ ἦν μονοχίτων, καὶ τὸ τρίχινον ἱμάτιον, ὅπερ ἐκ τῆς Δαμασκοῦ φορῶν ἐξῆλθεν, εἰς εἴκοσι καὶ τρεῖς χρόνους διήρκεσεν αὐτῷ, μὴ ἐκδυσαμένῳ τοῦτο, μηδὲ ἀλλάξαντι, καὶ τὸ δὴ θαυμαστὸν οὐδόλως ἐφαίνετο παλαιωθέν, ἀλλ', ὡς χθὲς γεγονός, καινότατον ἦν· πέδιλα δὲ μόνα διὰ τὸ τελείως διαρραγῆναι ἅπερ ἐφόρει λαβὼν ἕτερα ὑπεδήσατο. Προσιὼν δὲ τῷ ἁγιωτάτῳ πατριάρχῃ περὶ τῶν μελλόντων καταλαβεῖν τὴν ἐκκλησίαν προφητικῷ διεσάφησεν ὄμματι καὶ τέλος ἀνεῖπε, περιπτυξάμενος αὐτόν, ὅτι "Τοὺς ἀγρίους θῆρας τοὺς κατὰ τῆς ἐκκλησίας κινεῖσθαι μέλλοντας, πνευματικὲ καὶ ἅγιε πάτερ, οὐκ ὄψει· ἔτι γὰρ δύο χρόνοι καὶ ἐκ τούτου τοῦ βίου πορεύσῃ πρὸς Κύριον ἐκδημήσας"· ὃ καὶ γέγονε, κατὰ τὴν τοῦ ὁσίου πρόρρησιν. Συνταξάμενος δὲ καὶ τῷ τῆς ἐκκλησίας κλήρῳ καὶ τῷ πι-

στοτάτῳ λαῷ, καὶ λόγοις προσηνέσι καὶ μειλιχίοις χρησάμενος καὶ πρὸς αὐτοὺς εἰπών "Ὦ φυτὰ τῆς εὐσεβείας ἀειθαλῆ καὶ τῆς ἀληθινῆς πίστεως ἐρασταί, χαίρετε φυλάττοντες καλῶς τὸ τάλαντον, τὴν εἰς Θεὸν εὐσέβειαν", καὶ παρακαλέσας εὔχεσθαι περὶ αὐτοῦ, καὶ πάντων ὑπερευξάμενος καὶ βαλὼν μετάνοιαν καὶ κατασπασάμενος, τῆς πόλεως ἐξῆει. Τὸν δὲ μοναχὸν Γρηγόριον, ὃν ἤγειρεν ἐκ νεκρῶν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, διδάξας καὶ τοῖς θείοις καὶ ἱεροῖς ἐνασκήσας γράμμασι, καὶ πρὸς ἄκρον ἀρετῆς πεφθακέναι ποιήσας, παρέθετο τῷ ἡγιασμένῳ πατριάρχῃ Ταρασίῳ· τοῦτον δὲ προθύμως ὁ ἀρχιερεὺς δεξάμενος καὶ πεῖραν εἰληφὼς τῆς αὐτοῦ γνώσεως καὶ χρηστῆς διαγωγῆς, προεχειρίσατο χαρτοφύλακα, τοῖς πᾶσιν ἀξιόλογον εὑρών.

27. Ὁ δὲ ἅγιος μόνος ὥδευε διὰ Θράκης ἐπὶ Μακεδονίαν, καὶ διαπεραιωσάμενος ἐκεῖθεν εἰς Ῥώμην ἀφίκετο, ὥσπερ ἥλιος ἐξ Ἑῴας πρὸς Δύσιν διαδραμὼν καὶ ὅλην τὴν Ἑσπέραν, μᾶλλον δὲ τὴν οἰκουμένην κύκλῳ μικροῦ περιλαβών, κατὰ τὸν μέγαν ἐν ἀποστόλοις Παῦλον, οὗπερ ζηλωτὴς ἐχρημάτισε, στηρίζων πανταχοῦ τὰς ἐκκλησίας καὶ τὸν λόγον κατασπείρων τῆς πίστεως καὶ θαύματα τῇ τοῦ ἁγίου πνεύματος ἐνεργῶν χάριτι· δι' ὧν γνώριμος ἐν πάσῃ Ῥώμῃ καὶ ταῖς πλησιαζούσαις χώραις καὶ πόλεσι γενόμενος ἔκρινε δεῖν κἀκεῖθεν ἀναχωρῆσαι, τὴν ματαίαν ἐκφεύγων τῶν ἀνθρώπων δόξαν, καὶ πλοίου ἐπιβὰς ἀπῆρεν εἰς Αἴγυπτον. Εἶτα τὰ Ἱεροσόλυμα κατέλαβε, καὶ προσκυνήσας τὸν ζωοποιὸν Τάφον τοῦ Σωτῆρος εὗρεν ἐκεῖσε τὸν τίμιον Στέφανον, ἀδελφιδοῦν τοῦ μακαρίου Ἰωάννου τοῦ Δαμασκηνοῦ (φυτεία δὲ καὶ αὐτὸς ὑπῆρχε τοῦ ὁσίου πατρὸς ἐν τοῖς μαθήμασιν), ὃς καὶ ἐν τῇ ἀθλήσει τοῦ θείου αὐτοῦ καὶ ἀοιδίμου Ἰωάννου συμπαρῆν καὶ τὸ μαρτυρικὸν αὐτοῦ καὶ πολύαθλον σῶμα ἐντίμως ἔθαψεν ἐν τῇ τῶν Περσῶν χώρᾳ· οὗ τὸν τάφον ὁ μέγας Κοσμᾶς ἰδών, ὁπότε πρὸς Πέρσας ἦκεν ἐξ Ἰβήρων, ἐδομήσατο ναὸν ἐπ' ὀνόματι τούτου τοῦ ἁγίου καὶ μάρτυρος ὄντως Ἰωάννου. Ἦν δὲ καὶ αὐτὸς ὁ Στέφανος τὸν μοναδικὸν ἐπανηρημένος βίον καὶ τῆς τοῦ Σαββαΐτου μονῆς προεστώς· ὃς ἰδὼν τὸν ἅγιον, εὔθυμος γεγονώς, πεσὼν εἰς τοὺς

πόδας αὐτοῦ ἤτει εὐχήν· ὃ δὲ εἰρηκώς "Ἡ χάρις τοῦ ἁγίου πνεύματος διατηρήσοι πάντας ἡμᾶς ἀβλαβεῖς ἀπὸ τῶν τοῦ πονηροῦ σκανδάλων", ἀνίστησί τε αὐτὸν καὶ κατησπάσατο, καὶ πρῶτον μὲν περὶ τοῦ παμμάκαρος Ἰωάννου ἐπήρετο καὶ οἵῳ τέλει τὸν βίον ἀπέλιπε καὶ πῶς μαρτυρικῶς ἐναθλήσας δόξαν ἀπέλαβεν ἀμάραντον. Καὶ μαθών, τῷ δεσπότῃ Χριστῷ τὴν εὐχαριστίαν ἀναπέμψας, ἠκολούθησε τῷ Στεφάνῳ καὶ πρὸς τὴν αὐτοῦ μονὴν κατήντησεν· οἱ δὲ μοναχοὶ πάντες τοῦ Σαββαΐτου διακούσαντες εἰς συνάντησιν ἐξῆλθον, καὶ προσιόντες εὐλογηθῆναι παρ' αὐτοῦ παρεκάλουν, καὶ τυχόντες εὐλογίας μετὰ πολλῆς χαρᾶς ἐδέξαντο τὸν μακάριον εἰς τὴν αὐτῶν μονήν.

28. Ἰδὼν δὲ τὸν τόπον ὁ ἅγιος, μέγα στενάξας, "Οὗτός ἐστιν" ἔφη "τῶν πολλῶν κόπων καὶ τῶν ἀπείρων ἱδρώτων ἡ ἀνάπαυσίς μου σὺν Θεῷ, καὶ ἐνθάδε κατοικήσω, ζήσας ἀπό γε τοῦ νῦν χρόνον σὺν τρισὶ μησί". Ζητήσας δὲ δίκελλαν, ταῖς οἰκείαις χερσὶν ἤρξατο διορύττειν τὴν γῆν καὶ τὸν ἑαυτοῦ τάφον ποιεῖν, λέγων· "Σπεῦδε, ταπεινὲ Κοσμᾶ, ὅπως θεοφιλῶς βιώσας ἀποδώσῃς ἐνταῦθα τὸν χοῦν τῷ χοΐ καὶ τὴν ψυχὴν τῷ Κυρίῳ". Κατὰ γοῦν τὴν αὐτοῦ πρόρρησιν, μετὰ τὴν περαίωσιν τοῦ ἑνὸς χρόνου καὶ τῶν τριῶν μηνῶν, μεταβαίνει πρὸς τὰς οὐρανίους μονὰς ὁ τούτων ἄξιος καὶ πρὶν ἂν μετασταίη τοῦ φθαρτοῦ τούτου βίου· καὶ πρὸς τὸν δεσπότην ἐκδημήσας, ὃν ἁπάντων προέκρινε ταῖς ἀγγελικαῖς χορείαις ὁ ἰσάγγελος καὶ πρὸ τῆς ἐκδημίας σύνεστι, τῷ τῆς ἁγίας τριάδος φωτὶ καταλαμπόμενος· κοιμηθεὶς τὸν ἥδιστον ὕπνον καὶ τοῖς ἁγίοις πρέποντα, προστεθεὶς τοῖς πατράσι καὶ διδασκάλοις καὶ ἀρχιερεῦσιν ὁ πατὴρ καὶ διδάσκαλος καὶ ἀρχιερεύς, ὁ ἐπίγειος Ἄγγελος καὶ οὐράνιος ἄνθρωπος, καὶ πρὸς σκηνὰς μεταβαίνει τὰς οὐρανίους, τῇ γῇ παραδοὺς τὸ σῶμα, τὴν δὲ ψυχὴν τῷ Θεῷ. Ὁ δὲ τιμιώτατος Στέφανος καὶ καθηγούμενος τοῦ Σαββαΐτου μετὰ τῶν αὐτοῦ μαθητῶν τὰ ἐπικήδεια τῶν ἁσμάτων ἄσαντες, καὶ προσκυνήσαντες καὶ ἁγιασμοῦ ἀξιωθέντες ἐκ τῆς

18 τὸν χοῦν τῷ χοΐ] Γενέσ. γ', 19 «ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ». — 20 οὐρανίους μονάς] Ἰωάν. εὐαγ. ιδ', 2.

ἐπαφῆς τῆς τοῦ ὁσίου σώματος, κατέθεντο τοῦτο πρὸς τὸν τάφον, καθὼς ἔτι ζῶν ὁ μακαριώτατος παρήγγειλεν, ὃν αὐτὸς οἰκείαις χερσὶν ἀνώρυξε. Σεβασμίως γοῦν ἐνταφιάσαντες, στίχους ἰαμβικοὺς ἄνωθεν τῆς τιμίας αὐτοῦ σοροῦ διεχάραξαν, οὕτωσί πως ἔχοντας·

Ἔχειν σε τύμβος κἂν δοκῇ κεκρυμμένον,
λέληθεν· οὐρανὸς γὰρ ὄντως νῦν φέρει
τὸν ὡς ἀληθῶς ἥλιον φαεσφόρον·
οὐ γὰρ κάτω σε σὺν νεκροῖς ὥραν μίαν
ἀφῆκεν ἡ πρόνοια, Κοσμᾶ παμμάκαρ,
ἀλλ' οὐρανὸς φέρει σε σὺν τοῖς Ἀγγέλοις.

Οὕτως ὁ μακάριος βιώσας καὶ οὕτως εὐαρεστήσας Θεῷ, παρ' ἐκείνου τοῦ δοξάζοντος τοὺς δοξάζοντας αὐτὸν ἀξίως ἐδοξάσθη, προσμείνας τῷ βίῳ καὶ τῷ σαρκίῳ ὁ ἄσαρκος, ὡς εἰπεῖν, καὶ μετὰ σαρκὸς ἔξω ταύτης πολιτευσάμενος ἔτη ὀκτὼ πρὸς τοῖς ἑβδομήκοντα· καὶ γὰρ ὅτε τῆς Κρητῶν αἰχμάλωτος ἀπηνέχθη νήσου, χρόνων ἦν τριάκοντα καὶ τριῶν, καὶ ἐν τῇ Δαμασκῷ καὶ πᾶσι τοῖς ὁρίοις αὐτῆς ἔτη διέτριψεν εἴκοσι καὶ ἕξ, ἐν δὲ ταῖς τῶν πόλεων καὶ χωρῶν περιόδοις διήνυσεν ἔτη δέκα καὶ ὀκτὼ καὶ χρόνον ἐν τῇ μονῇ, παρ' ἣ μετέστη πρὸς τὸν ποθούμενον.

29. Ταῦτα τοῦ σεβασμιωτάτου πατρὸς τὰ ἐν τῷ βίῳ κατορθώματα καὶ κατὰ τῶν παθῶν τρόπαια καὶ ἀριστεύματα καὶ μέγιστα θαύματα καὶ ἀνδραγαθήματα· καὶ οὕτω κοσμήσας τὴν ἐκκλησίαν, οἷς ἐποίησε καὶ οἷς ἐπόνησε καὶ οἷς ἐδίδαξε, περιπόθητος ὤφθη τοῖς φιλαρέτοις καὶ ἀριδείκετος βασιλεῦσι καὶ μεγιστᾶσι καὶ ἄρχουσι καὶ ἀρχιερεῦσι καὶ ἱερεῦσι καὶ μονάζουσι καὶ πᾶσι πιστοῖς. Τοῦτον καὶ ἡμεῖς ἅπαντες ζηλώσωμεν καὶ μιμησώμεθα, καὶ ποιμένες καὶ ποίμνιον, ἐν διανοίᾳ τὰς αὐτοῦ κατέχοντες ἀρετάς, εἴ γε καὶ τῶν ἴσων στεφάνων ἱμειρόμεθα τυχεῖν καὶ συγκληρονόμοι Χριστοῦ γενέσθαι καὶ ἀκοῦσαι ποθοῦμεν τῆς εὐκταίας ἐκείνης φωνῆς, "Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου".

13 Βασιλ. 1, β', 30. — 30 συγκληρονόμοι Χριστοῦ] Ῥωμ. η', 17. — 31 Ματθ. κε', 34.

30. Ταῦτά σοι παρ' ἡμῶν, ὦ παμμακάριστε πάτερ, καὶ εἰ μὴ κατ' ἀξίαν, ἀλλ' οὖν κατὰ δύναμιν· σὺ δὲ ἄνωθεν ἐποπτεύοις ἡμᾶς, εἰ καὶ ὀλίγα ἐκ τῶν πολλῶν καὶ μεγίστων σου θαυμάτων ἐρανισάμενοι τοῖς σπουδαίοις ὡς ἐντρύφημα παρεθήκαμεν. Ἀλλ, ὦ τρισόλβιε πάτερ, μὴ τὸ τοῦ λόγου ἀσθενές, ἀλλὰ τὸ πρὸς σὲ φίλτρον ὁρῶν πρόσδεξαι τὸ παρ' ἡμῶν εὐτελὲς πόνημα. Κατὰ τὸν σὸν δεσπότην — ἐκεῖνος γὰρ καὶ τὰ δύο λεπτὰ τῆς χήρας ὑπὲρ τὰ τῶν ἀφνειῶν προσεδέξατο δῶρα — καὶ σὺ τὸ βραχὺ τοῦτο δεξάμενος ἀντιμέτρησον ταῖς ἱκεσίαις σου, παριστάμενος τῇ ζωαρχικῇ τριάδι, πταισμάτων ἡμῖν ἄφεσιν, καὶ δὸς ἀναψυχὴν εὑρέσθαι τῶν παρόντων δεινῶν, καὶ ἀνακωχὴν τῶν περιεχουσῶν θλίψεων, ὀδυνῶν τε καὶ στενώσεων καὶ νόσου παντοίας ἀποτροπὴν καὶ τῶν ἐπηρεαζόντων ἐχθρῶν ἀπαλλαγήν. Εἰ δὲ χρεία περισσοτέρας δεήσεως, πρὸς ἡμετέραν διόρθωσιν, συμπαράλαβε διδασκάλους ἀρχιερεῖς ὁσίους πατέρας καὶ τὸν χορὸν τῶν μαρτύρων καὶ ἀποστόλων καὶ πάντων τῶν ἁγίων σου ταῖς ἄνω δυνάμεσι, καὶ κοινῇ δεήθητι τοῦ φιλανθρώπου καὶ ἐλεήμονος Θεοῦ κατοικτειρῆσαι καὶ διασώσασθαι λαὸν ἀπεγνωσμένον καὶ ἐν αὐτῷ μόνῳ τὴν ἐλπίδα σαλεύοντα, καὶ εἰρήνην ταῖς ἐκκλησίαις καὶ τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ καταξιῶσαι τῆς τῶν σῳζομένων μερίδος καὶ τάξεως, πρεσβευούσης συνήθως καὶ τῆς ἀχράντου καὶ παναμώμου Θεοτόκου πρὸς τὸν αὐτῆς υἱὸν καὶ βασιλέα Χριστόν· ᾧ πρέπει σὺν τῷ ἀνάρχῳ πατρὶ τῷ ζωοποιῷ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

7 Μάρκ. ιβ', 42-44.

XVI.

Μηνὶ Δεκεμβρίῳ δ΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν
καὶ αὐταδέλφων καὶ μελισσῶν τῆς τοῦ Θεοῦ ἐκκλησίας,

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ ΚΑΙ ΚΟΣΜΑ,

ἐκτεθεὶς παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου
Ἱεροσολύμων

ΙΩΑΝΝΟΥ ΤΟΥ ΜΕΡΚΟΥΡΟΠΩΛΟΥ

(Cod. Athen. 983, an. 1267, f. 315β-357β)[1].

1. Μετὰ τὴν εἰς οὐρανοὺς τοῦ δεσπότου ἀνάβασιν καὶ τὴν τῶν μαθητῶν πανταχόσε διασποράν, καθὼς τὴν μέχρι τερμάτων αὐτοῖς ἰέναι ἐκέλευσε, πᾶσα μὲν ἡ κτίσις τοῖς αὐτῶν ὑπέκυψε δόγμασί τε καὶ θεσπίσμασιν, πᾶσα δὲ θρησκεία τῶν Δαιμόνων ἀνήρητο καὶ εἰς δένδρον μέγα τὸ τῆς πίστεως σίνηπι παρηλλάττετο· οὐκ ἦν δὲ ἐπὶ τούτοις ἀνεκτὸς ὁ τῆς κακίας σπορεύς, οὐδὲ ὑπο-

[1] Ἰωάννου καὶ Ἀλκιβιάδου Σακκελίωνος κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος. Ἐν Ἀθήναις 1892, σ. 177. Τὸ ἀντίγραφον ἐξ αἰτήσεως ἡμῶν ὑπὸ τοῦ Ἀλκιβιάδου Σακκελίωνος ἐγένετο. Μετὰ τὸ συγγραφέως ὄνομα γέγραπται τὸ *Πάτερ εὐλόγησον* ἐν τῷ κώδικι.

3 ἐκέλευσε] Ματθ. κή, 19 «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη». Μάρκ. ις΄. 15 «πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει». Πρβλ. Λουκᾶν κδ΄, 47. — 5 τὸ τῆς πίστεως σίνηπι] Ματθ. ιγ΄, 31. ιζ΄, 20. Μάρκ. δ΄, 31, Λουκ. ιγ΄, 19. ιζ΄, 6 || κῶδ. *παρηλάττετο.*

τετριγὼς τὸν ὀδόντα μόνον καὶ πολλὰ κατὰ τῶν πιστευόντων διαμωσάμενος καὶ διανεύων τὴν κεφαλὴν ἐφ' ἑκάτερα, ὡς ἐν σκήψεσιν, ἀλλὰ καὶ πῦρ μανίας ἀπὸ καρδίας ἀναδιδούς· καὶ ὅσα μὲν τῆς οἰκουμένης μέρη ληίζεται καὶ τῷ αὐτοῦ ὑπείκει θελήματι καὶ φορολογεῖ τὴν ἁμαρτίαν καὶ εἰδωλολατρείᾳ ἐπιχειρεῖ, ἐργῶδες εἰπεῖν καὶ μακρᾶς οὐ πόρρω τῆς διηγήσεως· μετὰ πάντων δὲ καὶ τὴν Δαμασκὸν αὐτὴν ὑποσύρεται καὶ τῆς θήρας ἐντὸς τὸ θήραμα γίνεται. Ἀλλ' ὁ καταλιμπάνων σπέρμα τῷ Ἰσραὴλ μετρητοὺς ἀνθρώπους, οἳ τῇ Βάαλ οὐ προσεκύνησαν, αὐτὸς καὶ τοὺς γεννήτορας τῶν νῦν ἡμῖν προκειμένων καὶ κροτουμένων, τοῦ Ἰωάννου τέφημι καὶ Κοσμᾶ, ὡς στάχυν ἕνα μετὰ τὸν ἄμητον, ἢ ῥᾶγα μίαν μετὰ τὸν τρύγητον, καταλέλοιπε καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ ἐπ' ὄρους τῆς πίστεως ἵστησιν· τὴν γὰρ ὁδὸν ἐκείνης, εἰ καὶ τραχεῖαν, οὗτοι ἀλλ' ὅμως οὐ παντελῶς ἄβατον καὶ ἀπεγνωσμένην εἶναι εἰδότες, τὸν χρηστὸν ζυγὸν αὐτῆς ὑπεισήεσαν καὶ τὸν φόρτον ἦραν ἐκείνης τὸν ἐλαφρότατον· εἰ γὰρ ἐν μέσῳ φυτοκομίας, ὅπου σκαπάνη καὶ συχνῶν ὑδάτων ἐπιρροαί, εὑρεθῇ φυτὸν εὐθαλὲς καὶ πολύκομον, οὐ χάρις αὐτῷ, τῷ δὲ κήπῳ τὰς εἰς αὐτὸ προφάσεις ἀφθόνους παρέχοντι· ὅταν δὲ ἴδῃς ἐπὶ πετρῶν καὶ ἄλλων τόπων ξηρῶν τὰ τοῖς παραδείσοις μόνοις ἀνήκοντα, τότε διὰ θαύματος ἄγεις τὰ καθορώμενα.

2. Τῶν οὖν εἰς ὑπόθεσιν τοῦ λόγου κειμένων ὁ πατὴρ αὐχεῖ πατρίδα τὴν Δαμασκόν, ἥτις ὑπὸ τὴν Κοίλην κεῖται Συρίαν καὶ τῶν ὁρίων ταύτης ἐστὶν ἀκροτελεύτιον· παραρρεῖ δὲ αὐτῇ Ὀρόντης ἡδὺς καὶ πολύς. Τὸ δὲ ὄρος τὸ καὶ παρὰ Δαβὶδ ἐπαινούμενον, ὃ καὶ Λίβανον ἐγχωρίως κατονομάζεται, ἐκ βορεινοτέρων μερῶν τῇ πόλει παράκειται, οἶμαι τὴν κλῆσιν πλουτῆσαν ἀπὸ τοῦ πολλοῦ ἐκεῖθεν συλλεγομένου τοῦ λιβάνου ἀρώματος, ἢ καὶ τῶν οὕτως ὠνομασμένων φυτῶν, ἀδρᾶς που τὰς ἐκδόσεις τῶν ὀρπήκων ἀποτελούντων. Τοῦτο πολλὴν παρέχει τῇ πόλει τὴν ἡδονὴν καὶ δαψιλεῖ καὶ τερψιθύμῳ ἀέρι τὰ παρακείμενα τῆς πόλεως εὐο-

9 Βασιλ. 3, ιθ', 18. Παύλου πρὸς Ῥωμ. ια', 4. — 24 κῶδ. *ὀρρόντης*. — 25 Δαβὶδ] Ψαλμ. οα', 16. ηα', 13. — 29 κῶδ. *ἀρπήκων*.

σμεῖ· μυρρῖναι γὰρ ἐκεῖσε δασεῖαι, κυπάριττοί τε καὶ κέδροι τῶν νεφῶν ἐφαπτόμεναι, καὶ οὐκ ἔστι βοτάνην ἰδεῖν ἢ καὶ φυτὸν ἐκεῖσε φυόμενον, ὃ μὴ τὴν ὀσμὴν ἡδύνουσαν ἀποπνεῖ· ἐν αὐτῷ καὶ φοῖνιξ ἐγκατοικεῖ καὶ ψιττακοὶ καὶ εἴ τι ἄλλο πτηνὸν ἁρωματίζεσθαι πέφυκε. Τούτοις οὖν εἰ καὶ Δαμασκὸς ἐπιγάννυται, ἀλλ' οὐδὲν ἧττον, ὥσπερ τῷ λουτρῷ καὶ τῷ φωτὶ τοῦ κήρυκος πρότερον, οὕτω δὴ καὶ τῷ πατρὶ τῶν νῦν κροτουμένων καθωραΐζεται. Οὗτος, εἰ μή τι ἄλλο, πλουτεῖ τὴν εὐσέβειαν, τὸ δὲ γένος λαμπρὸς καὶ τὸν πλοῦτον λαμπρότερος ὢν τὰ πρῶτα φέρει παρὰ τῷ τῆς χώρας κατάρχοντι· τολμᾷ δὲ πρᾶγμα τῷ τότε καιρῷ δυσκολώτατον καὶ πολλοῖς, εἰ φωραθείη, φέρον τὸν κίνδυνον· εὐκτηρίους οἴκους πηξάμενος καὶ τὸν οἶκον ἅπαντα τῷ λουτρῷ καθάρας τοῦ πνεύματος, οὕτως ἐλευθέρᾳ γνώμῃ καὶ γλώττῃ τοὺς θείους ὕμνους ἀπτοήτως τῷ ἑαυτοῦ Θεῷ καὶ δεσπότῃ ἀνέπεμπε. Τὴν δὲ κτῆσιν, ὑπῆρχε γὰρ αὐτῷ βαρεῖά τε καὶ πολυαρκής, εἰς αἰχμαλώτων λύτρον συνεχῶς ἐπεμέτρει· εἰ γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιεῖν ὁ Παῦλος μαρτύρεται, ἀλλ' εὕρηταί τις ἐξ ἔθνους οὐ φύσει μόνον καὶ αὐθορμήτῳ τῇ προαιρέσει τῷ θείῳ νόμῳ στοιχῶν, ἀλλὰ καὶ χρόνου μελέτῃ καὶ διεσκεμμένῃ περὶ τούτου ψυχῇ μηδὲν ἐῶν τῶν ἐνταλθέντων ἀτέλεστον, καὶ ἦν ὡς ἐν νυκτί τις λύχνος εἰπεῖν ἢ σπινθὴρ ἐν σποδιᾷ τότε κρυπτόμενος. Τὴν δὲ δημοσίαν ἅπασαν διοίκησιν ἀναδεδεγμένος, ὥσπερ οὐ διώξας ἀλλὰ διωχθεὶς ὑπὸ τῆς ἀρχῆς * ὁ γὰρ

2 τῶν νεφῶν] κῶδ. *τῶν ἐφῶν*. — 5/8 Ἰωάννου πατρ. Ἱεροσολύμων, βίος Ἰωάννου τοῦ Δαμασκηνοῦ [Migne τ. 94, σ. 433], § δ'. «Δαμασκὸς πόλις αὕτη ἐστίν· ὡς γὰρ ἐπὶ Παύλου μέγα φρονεῖ, πρώτη τὸν οὐρανοδρόμον ἰδοῦσα μεταθέμενον τὴν δυσσέβειαν καὶ ἀντὶ μισοχρίστου γεγονότα φιλόχριστον, οὕτω κἀπὶ τῷ ἀνδρὶ τούτῳ ἀγερωχεῖ» κτλ. — 7 κῶδ. *καθοραΐζεται*. — 15 βίος Ἰωάννου Δαμασκηνοῦ § ς'· « ἦν δὲ ἄλλην εἶχε κτῆσιν ἀκίνητον (πλείστη δὲ τούτῳ ἐτύγχανεν κατὰ τὴν Ἰουδαίαν καὶ Παλαιστίνην), εἰς ἀνάπαυσιν ἐδίδου καὶ τὴν τοῦ βίου αὐτάρκειαν τοῖς ὅσοι τῶν ἐξωνημένων χριστιανῶν τὴν ἐν ἐκείνοις τοῖς τόποις προήρηντο κατοίκησιν· τοὺς δ' ἄλλους ἐλευθέρῳ φωτὶ καὶ ποδὶ ὅποι βούλοιντο συνεχώρει πορεύεσθαι». — 17 Ῥωμ. β', 14. — 23 μετὰ τὸ *ἀρχῆς* καὶ τὸ κατόπι *γὰρ* καὶ τὸ μετέπειτα *ἀνδρῶν* φράσεις τινὲς ἐξερρύησαν· ὃ δὲ βούλεται λέγειν ὁ συγγραφεὺς ὅρα ἐν τῷ βίῳ Ἰωάννου τοῦ Δαμασκηνοῦ τῷ ἐπ' ὀνόματι φερομένῳ Ἰωάννου πατριάρχου τῶν Ἱεροσολύμων [Migne τ. 94·

[Θεὸς ὥσπερ ἐδόξασε] Δανιὴλ τὸ πρὶν καὶ τὸν Ἰωσὴφ ἄρχοντας ἀνόμων καταστήσας ἀνδρῶν, [οὕτως] αὐτὸς καὶ τὸν εὐσεβῆ Τερέντιον, τοῦτο γὰρ ἐκείνῳ τὸ ὄνομα, ἐγκρατῆ τῆς χώρας τῶν Δαμασκῶν ἀποδέδειχεν.

3. Οὕτως οὖν ἔχων ἐκεῖνος ἕνα καὶ μόνον, τὸν Ἰωάννην, τίκτει υἱὸν (εἰ καὶ μὴ ἐξ ἐπαγγελίας, ἀλλ' ἐκ θείας προγνώσεώς τε καὶ προρρήσεως· προῄδει γὰρ ὁ Θεὸς ὁποῖος οὗτος ἀναφανήσεται καὶ πῶς τῇ πίστει πολλὰ ἐπισυσταθήσεται), ὅν, εἰ καὶ τότε σπάνιον ἦν, οὐδὲ μόνον ἐν μέσοις ἐκείνοις τοῖς ἔθνεσι θαρροῦντα πολιτεύεσθαι εὐσεβῶς, ἐν ἀπαλῷ ἔτι τῷ σώματι τῷ λουτρῷ τοῦ πνεύματος καθηγίασε. Δέχεται οὖν ἡ κολυμβήθρα τὸν Ἰωάννην, τὴν δὲ τεκοῦσαν μετ' ὀλίγον ἡ γῆ, τὸν μὲν τῆς φθορᾶς ἐξιστάμενον, τὴν δὲ τῇ φθορᾷ ὑπρκύπτουσαν, καὶ γίνεται τοῦτο τῷ τεκόντι οὐκ ἀγεννὴς πρὸς φιλοσοφίαν ὑπόθεσις· ὅλος γὰρ αὐτίκα τῆς ἀρετῆς καὶ τῶν αὐτῆς λεπτουργημάτων ποικίλων ἐραστὴς διάπυρος γίνεται, τὸν ἐντὸς ἄνθρωπον χρυσαΐζων καὶ εὐφυᾶ καὶ ἐξαίρετον ἀστείως ἐμφαίνων. Καί ποτε μετὰ τῆς εἰωθυίας περιφανείας παρεστῶτι τῷ ἄρχοντι καὶ κοινολογουμένῳ περί τινων αὐτῷ πρὸς τὸ οὗς ἐφίσταταί τις ἀπόβλητος, μὴ τοῖς ἄλλοις μονονουχὶ καὶ ἀθέατος, μόνῳ δὲ αὐτῷ ὁρατός, τραχὺς φαινόμενος τὴν στολήν, τὸ εἶδος κατεσκληκώς, ὡς ἐξ ἐρήμου ἥκειν δοκῶν, καὶ νύσσει τοῦτον ἐκ τῶν ὀπίσω, μεθέλκων τάχα πρὸς ἑαυτόν· ὃ δὲ αὐτίκα στραφεὶς καὶ τὸ μὲν τῷ ξένῳ τοῦ εἴδους καταπλαγείς, τὸ δὲ καὶ τῷ φόβῳ τοῦ ἄρχοντος ταραχθείς (βαρὺς γὰρ ἦν κατὰ τῶν τοιούτων ἐκεῖνος φερόμενος), καὶ κυνοδους οἷα περιτρώγων τι τῶν σαρκῶν αὐτῶν, "Πόθεν οὕτως εἰσήεις" φησί "τολμηρῶς, καὶ τίς ὑπάρχεις, οὕτω μὲν ἀκοινώνητος ὢν πρὸς ἡμᾶς, οὕτω δὲ καὶ ἕως τοῦ νῦν ἀνομίλητός τε καὶ ἀθέατος"; Καὶ

σ. 437]· «Ἔνθεν τοι ἡ ἀρετὴ αὐτοὺς (= τοὺς προγόνους) ἐπισήμους πεποίηκεν ἐν μέσοις τοῖς ἀσεβέσιν, ὡς αἰδουμένων αὐτὴν καὶ τῶν πολεμίων αὐτῶν· ἢ μᾶλλον, ὡς Δανιὴλ ἐδόξασε Θεὸς παρὰ τοῖς Ἀσσυρίοις, δι' ἣν εὐσέβειαν ἐνεδείξατο, καὶ Ἰωσὴφ ἐν Αἰγύπτῳ, ἐπιτρόπους καὶ κυρίους ἐν ἀλλοτρίοις καὶ ἐχθροῖς τοὺς αἰχμαλώτους καταστησάμενος, οὕτω κἀνταῦθα τοὺς τοῦ Ἰωάννου προπάτορας πραγμάτων καθίστησιν ἐπιτρόπους ἐν αὐτοῖς τοῖς Σαρακηνοῖς». — 10 κῶδ. *κολυμβῆθρα*. — 17 κῶδ. *εἰωθυῖας*.

ἦν ἐκ τῶν ὁρωμένων τάχα σχημάτων διαταρασσόμενος πρὸς αὑτὸν καὶ ἔνθεν κἀκεῖθεν περιστρεφόμενος δι' οἵου τάχα ὀργάνου μυριότρωτον θήσει τὸν ὁρώμενον· οἱ δὲ παρεστῶτες συσχηματιζόμενοι τῷ δοκεῖν καὶ συμφρονοῦντες τῷ "Ἀλλὰ" τοῦ καθημένου ἐπὶ τοῦ βήματος ἄρχοντος, "Καὶ τίς οὗτος" φασίν, "ὃς ὑπεναντίος σοι φαίνεται καὶ ἀκαταθύμιος (ἡμῖν γὰρ ἕως τοῦ νῦν ἀθέατός ἐστι καὶ ἄγνωστος), ὃν εὐθὺς ἐξαναλώσει ἡ μάχαιρα, ἐπειδὴ μηδὲ ἀνεκτὴ ἡ ὄψις σοι τούτου ἥγηται"; Μετὰ χρονίαν οὖν ποτε ἡσυχίαν φησὶν εἰς ἐπήκοον ὁ τοῖς πᾶσιν ἀθέατος, ὡς "Ἦν σοι μὲν δι' ἐφέσεως καὶ δεύτερον τόκον ἰδεῖν ἐκ τῆς γαμετῆς, ἀπεβίω δὲ αὕτη τὴν ἔφεσιν μὴ περάνασα· καὶ νῦν μὴ ἀνιῶ· δῴη γάρ σοι παῖδα ὁ Θεὸς πολὺ τοῦ ὅστις ὤφειλέ σοι τεχθῆναι διαφορώτερον". Καὶ γέγονεν ἀθέατος ὁ συνόμιλος.

4. Ἀμέλει καὶ πολὺς ἐν μέσῳ παρῄει καιρός, καί ποτε ἐξιόντι πρὸς τὸ πεδίον καὶ τὴν στρατιωτικὴν ἐφοπλίζοντι χεῖρα καὶ τὰ νενομισμένα τούτοις ἀπονέμοντι σιτηρέσια, πρόσεισί τις ἐφέλκων παῖδα τῇ θατέρᾳ χειρί, καὶ πρὸς γόνυ πεσὼν ἐδεῖτο τούτου τὸν ἑλκόμενον ὑποδέξασθαι, πρὸς αἷμα μὲν οὐ πόρρω διεστηκότα, τῇ δὲ προστριβούσῃ πενίᾳ τὸ πρὸς ἀναγωγὴν παιδείας ἀβοήθητον κινδυνεύοντα. Οὗτος δὲ ἦν ὁ θεῖος Κοσμᾶς, ἐκείνην πατρίδα κτησάμενος, περὶ ἧς ποτε καὶ Ναθαναὴλ εἰ ἀγαθὸν ἐκεῖθεν ἔξεισι διηπόρηκεν· ὅς, εἰ παρῆν, τῆς ἀπορίας ἀπέστη ἂν μετὰ τὸν δεσπότην Χριστὸν τὸν τοῦ Χριστοῦ καὶ μόνον Κοσμᾶν καθορῶν. Εἶξεν οὖν πρὸς τὴν αἴτησιν ὁ θεῖος ἐκεῖνος ἀνήρ, καὶ οὐ μόνον τὸν παῖδα χερσὶν ὑπτίαις καθυπεδέξατο καὶ εἰς υἱὸν ᾠκειώσατο, ἀλλὰ καὶ τῶν αὑτοῦ πραγμάτων συγκληρονόμον τῷ Ἰωάννῃ ἐναπεγράψατο. Γίνεται γοῦν φροντὶς τῷ πατρὶ οὐ κελητίζειν τοὺς παῖδας, οὐδὲ τοῖς ἀνακτόροις ἐνδιατρίβειν, οὐ θηρίοις μάχεσθαι καὶ ἐκ τόξου βάλλειν τὸν ὀϊστόν, ἀλλ' ὅπως ἂν τὴν ἀλογίαν καθυποτάξαιεν καὶ βασιλεῖς ὀφθῶσι παθῶν καὶ τοὺς ἀγρίους θῆρας, τοὺς

2 κῶδ. *ὀργάνον*. — 4 κῶδ. *ἀλλὰ* = !الله. — 5 κῶδ. *ἄρχοντι*. — 8 κῶδ. *ποτὲ*. — 9 κῶδ. *ἥν σοι*. — 21 Ἰωάνν. εὐαγγ. α', 47-51. — 25 κῶδ. *καθ' ὑπεδέξατο*. — 30 κῶδ. *θήρας*.

*

Δαίμονας, κατατρώσαιεν· ὁ δὲ τὸν σκοπὸν τοῦ πατρὸς εἰς ἔργον ἐλέγξων ἀνερευνᾶτο μετ' ἐπιτάσεως, καὶ Θεὸς ὁ πᾶσι συνεργῶν εἰς τὸ ἀγαθὸν τὴν ἱερὰν ἐπιθυμίαν ἀποπληροῖ τῷ ἀνδρὶ καὶ τῷ ζητοῦντι εὕρηται ὁ ζητούμενος· ὁ δὲ τρόπος τῆς τοῦ ποθουμένου εὑρέσεως τοιοσδί.

5. Οἱ ἐκ Δαμασκοῦ τὴν κατὰ θάλασσαν, ὡς ἔθος, ποιούμενοι ἔφοδον — τὸν γὰρ ἀπὸ σκύλων πλοῦτον οὐ βέβηλον ἐδοκίμαζον—, ποτὲ καταβάντες ἐν πλοίοις εἰς θάλασσαν, ἐν ἀκρωλενίας τε λιμένος ὑποκρυψάμενοι ἑαυτοὺς καὶ ἰχθυοβολεῦσι τοὺς ἰχθῦς ἐφεδρεύοντές τε καὶ ἀνιμώμενοι, ὑπολαιφώσεις ἑωρακότες πλοίων ποθὲν καὶ κατεπιθέμενοι χαίροντες, εὐθυμοῦντες, τὰ ἱστία οἴκαδε μετεστείλαντο· μέχρι γὰρ ἑσχάτης ζώνης τὰς αὐτῶν τριήρεις τὸ τῆς θαλάσσης ὕδωρ ἀνέθλιβε, πλήρεις μὲν λαφύρων, οὐ μετρητῶν, πλήρεις δὲ καὶ ἀπείρων ἀνδρῶν. Τῷ οὖν κρατοῦντι τότε τὴν λείαν διακομίσαντες, κατὰ τὸ εἰωθός, ἀπάξειν ἐξ ἀποφάσεως καὶ τῷ δεσμωτηρίῳ ἐγκλείειν τοὺς σεσυλημένους ὡρίσθησαν· ὃ δὴ κρίμασιν ἀρρήτοις τοῖς ἄνωθεν ἐγένετο μέν, ἠνία δὲ τοὺς κατακρίτους οὐ φορητῶς, προμαντευομένους οὐκ εἰς καλὸν ἑαυτοῖς. Ὡς οὖν ἔργου εἶχοντο οἱ ἐγκλείσοντες, ἑκάστου τῶν ἀγομένων τὸν κατεπείγοντα προσκεπτομένου θάνατον, θρήνοις ἑαυτοὺς ἀπαρακλήτοις συνέκοπτον, καί τις συνδεσμώτης ἀνήρ, τὴν κλῆσιν Κοσμᾶς, τὴν τύχην μοναδικός, τὴν φρόνησιν σταθηρός, τὸν βίον θεοειδής, τὸ εἶδος σεμνοπρεπής,—ἐπέλαμπε γὰρ ἡ τριχῶν λευκότης καὶ τὸ τίμιον ἀνεκήρυττεν, — ἐξ Ἰταλίας ὁρμώμενος, ἀνακτᾶσθαι τούτους τάχα βουλόμενος, "Ἵνα τί", φησίν, "οὕτως ἀνοήτως τὸν ἐπικερδῆ καιρὸν παρορώμεθα καὶ συληθέντες ὑπὸ τῶν ὁμογενῶν τὰ σωμάτια καὶ τὰς ψυχὰς ὑπὸ τῶν ἑτερογενῶν ἀφαιρούμεθα, καθ' ἑαυτῶν ἀκονοῦντες — τὸ τοῦ λόγου — τὴν μάχαιραν; λογισμῶν γὰρ ἔλεγχος οὐκ ἐρρωμένων τοῦ πρὸς Θεὸν ἐλπίζειν τὰ δάκρυα φαίνεται". Καὶ πολὺς ἦν τῶν ὀδυρομένων περιαλγῶν καὶ ἀποστολικῶς φάναι τὴν

6 πρβλ. βίον Ἰωάννου Δαμασκηνοῦ, § ή'. — 9 κῶδ. *ἑαυτοῖς κ. ἰχθυοβελεῦσι.* — 15 κῶδ. *εἰωθῶς.*— 19 κῶδ. *ἐγκλείσαντες.* — 28 *ἀκονοῦντες τὴν μάχαιραν*] Ἀθηναίου δ', 173d. Kock, Fragm. I, σ. 560.

καρδίαν πωρούμενος (οὕτω σοφόν ἐστιν εὐγενὴς ψυχὴ τὸ συμφέρον ἰδεῖν ἀνάγκαις περιπεσοῦσα), καὶ ταῖς εἱρκταῖς ἐν τῷ ταῦτα τοῦτον λέγειν ἐναπερρίφησαν.

6. Χρόνος οὐ μετρητὸς μετὰ τὴν κατάκλεισιν καὶ τὰ νενομισμένα πράξειν ἐπὶ τοῖς ἐγκλεισθεῖσιν ἐφέστηκεν. Ὀψέ, μετὰ χρόνον συχνόν, ἐξῆλθε μὲν λαμπρὸς ἐπιβάτης ὁ Φαραὼ κατοφρυώττων τῶν ἑπομένων, συνείπετο δὲ ἱππασία τῷ τυράννῳ οὐ φορητή, καὶ εὐθὺς ἐκ συνθήματος καὶ μόνου τοῦ πρὸς αὐτὸ τεταγμένου καὶ τὰ πρῶτα παρὰ τῷ ἄρχοντι φέροντος ἐξάγονται μὲν πάντες τὰς χεῖρας ὀπίσθιοι, ἐλεεινοὶ τὰς ὄψεις, ἐλεεινότεροι δὲ ταῖς τύχαις ἀποφαινόμενοι, σκιαὶ σωμάτων, ὅτι μηδ' ἄρτος ὁ καθ' ἡμέραν τούτοις ἐδίδοτο (τριετὴς γὰρ ἦν ἡ κατάκλεισις), κατησβολωμένοι τὰς ὄψεις καὶ μέλανες, πάντες πρὸς τὴν ἀπόφασιν μόνην ὁρῶντες καὶ τὴν ψῆφον ὀνειροπολοῦντες τοῦ ἄρχοντος· ὁ δέ γε Κοσμᾶς τῇ θείᾳ κρίσει ἀνήρτα τὰ κατ' αὐτὸν καὶ τὰ δεξιώτερα χρὴ προσδοκᾶν ἠρέμα τοῖς σύνεγγυς ἔφασκεν· πρὸς ὃν ὁ τοῦ Ἰωάννου πατὴρ λίχνους εὐθὺς ἐπέβαλεν ὀφθαλμούς, ἰδὼν αὐτὸν πρὸς τὴν γῆν τῷ νεύματι κεκυφότα καὶ κατ' οὐδὲν τεθορυβημένον, κἂν ὀπίσω τὰς χεῖρας ἐδέδετο καὶ προεώρα τὸν θάνατον· οἱ γὰρ ἔξω τῆς ὄψεως κήρυκες ἀκριβῶς τῶν ἔσω τὴν πίστιν ἐσήμαινον. Καὶ προδήλως μὲν οὐκ ἐξέφαινε τὰ ἐσκεμμένα τῷ ἄρχοντι, κύκλῳ δὲ καὶ δι' αἰνιγμάτων εἰς τὸ συνιέναι προβιβάζειν δοκῶν τὰ γενησόμενα μετ' ὀλίγον ἀνέμενε.

7. Ὡς οὖν εἰς μοῖρας τρεῖς, κατὰ τὸ ἔθος, τούτους διείλοντο, τὴν μὲν τῇ μαχαίρᾳ, τὴν δὲ τῇ δουλείᾳ, τὴν δὲ τῷ Μωάμεδ, οὓς τινας ἐλευθέρῳ ποδὶ πανταχοῦ περιιέναι, ὅποι βούλοιντο, διετάττοντο· ἔπεσε δὲ ὁ κλῆρος ὁ τοῦ Κοσμᾶ πρὸς τοὺς κακῶς διὰ τὸν δαιμονόληπτον ζήσαντας· θυμηδίας ὅσης, οὐ φορητῆς, τὸν τοῦ Ἰωάννου πατέρα τοῦτο ἐνέπλησεν. Αὐτὸς δὲ ὁ Κοσμᾶς ὥσπερ ἐπιλαθόμενος ἑαυτοῦ καὶ τὴν τοῦ Χριστοῦ ζημίαν ἀνύποιστον λο-

1 κῶδ. *πυρούμενος* || οὕτω - - - περιπεσοῦσα] ἐν τῇ ᾧα γέγραπται τοῦτο *γνωμικὸν* εἶναι.—6 κῶδ. *κατωφρυώττων*=*κατοφρυώττων*: τύπος ἄγνωστος ἐκ τοῦ κατοφρυόω.— 10 κῶδ. *ὀπίσθιοι*. — 15 κῶδ. *θεῖα κ. ἀνῆρτα*. — 24 ὅρα βίον Ἰωάννου Δαμασκηνοῦ, § θ' καὶ ι'. — 28 κῶδ. *φορητὴς*.

γιζόμενος, μὴ ἔχων ὅ τι καὶ δράσειε, ταῖς χερσὶ τὴν καθειμένην ὑπήνην καὶ τὰς παρειὰς ἐφ' ἁπάντων κατέξαινεν, καὶ "Ἵνα τί" φησίν "οὕτως κακῶς, εἰ καὶ ζῶ, παραπόλλυμαι καὶ τὸν μισητόν μοι καθορᾶν κατακρίνομαι ἥλιον; ὡς ὄφελον μηδὲ τὴν ἀρχὴν κατεῖδον αὐτόν, οὕτω κινδυνεύων τοῦ νοητοῦ ἡλίου διαπεσεῖν· αἱροίμην γὰρ πλειστάκις ἀποθανεῖν, ἢ διὰ τὸν παρ' ὑμῖν τιμώμενον τῷ βίῳ ἐμπολιτεύεσθαι. Μισῶ ζωὴν τοῦ ἀνὰ χεῖρας θανάτου κατὰ διάμετρον ἀποπίπτουσαν καὶ κέρδος, ὅθεν ζημία πολλή, ἀποτίθεμαι. Ἄλλον ἀντ' ἐμοῦ τῷ βίῳ χαρίσασθαι· ἄφρων γὰρ ἐκεῖνος καὶ ἀνόητος ἰσχυρῶς, ὃς τῆς ἐπικήρου ταύτης ζωῆς παρὰ τὸν εἰς Χριστὸν ἀνθέξεται θάνατον"· καὶ τὴν γλῶτταν ἣν ἀναιδὴς καὶ τὸ στόμα ἀπύλωτον, κατὰ τοῦ Μωάμεθ φερόμενος, καὶ τὸν ξιφηφόρον εἵλκεν πρὸς ἑαυτόν, καὶ τὸν τράχηλον ἔτεινεν πλήξειν ἤδη τῷ κρούματι δυσωπῶν, καὶ "Τὸ διατεταγμένον ἐπ' ἄλλοις" φάσκει "ποίει καὶ ἐπ' ἐμοί, κρίσεως καὶ λόγου φροντίζων οὐδέν". Ὁ δὲ τοῦ Ἰωάννου πατὴρ ἠρέμα πως προσιών "Ἔσο μικρὸν ἡσυχῇ" φησί "καὶ κατὰ σκοπόν σοι ἐφέψεται", καὶ δρομαίως ἄπεισι πρὸς τὸν ἄρχοντα "Ταύτην σοι" φάσκων "τὴν τελευταίαν καὶ μείζω προσάγω αἴτησιν, ἵνα εἰς ὑπηρετῶν μοι τύχην ἐναπογράψειας τὸν ὀχληρὸν ἐκεῖνον καὶ παραπαίοντα", τῇ χειρὶ δείξας· ὃ δὲ οὐκ ἀνένευσε, καὶ μᾶλλον τῆς ἀκαίρου φιλονεικίας ἀποτιννύειν δοκῶν μετ' ὀργῆς εἰς δούλους αὐτὸν ἀπεπέμψατο, ἄλλον ἕνεκεν τῆς ὑπὲρ Μωάμεθ ἐλευθερίας ἀντιλαβών.

8. Ὁ δὲ τοῦ Ἰωάννου πατὴρ τῷ δώρῳ ἡσθεὶς ἅπερ ἕτεροι τῷ χρυσῷ πρόσεισι μὲν εὐλαβῶς εἰς μέρος ἀπολαβών, βάλλει τε ἑαυτὸν κατὰ γῆς, ἅπτεται δὲ τῶν ἱερῶν ἐκείνου ποδῶν, καθαπερεὶ τῷ ταῦτα ποιεῖν μεῖζον ἢ κατὰ βασιλέα τιμᾶσθαι ἐνόμιζε, καὶ "Σύγγνωθί μοι" φησίν, "ὅτι μὴ πάλαι τὴν λυτήριον πρεσβείαν ὑπὲρ τῆς σῆς προσήγαγον τιμιότητος· ὡς ἔοικε γὰρ ὁδοῦ τῆς ὧδε φερούσης, ὥσπερ οἶμαι, Θεὸς προηγάγετο· πάλαι γὰρ

8 κῶδ. *καταδιάμετρον*. — 9 *χαρίσασθαι*] οὕτως ἐν τῷ κώδικι.—13 κῶδ. *ξηφϊφόρον*. — 16 κῶδ. *πᾶς*. — 19 κῶδ. *μεῖζω*. — 20 κῶδ. *ἐναπογράψοιας*. — 21 *ἀποτιννύειν*] οὕτως ἐν τῷ κώδικι.

ἐζήτουν τινὰ κατὰ σὲ ἐπὶ τῆς ἐρήμου ταύτης τῷ ὄντι καὶ θείων ἀνδρῶν ἐστερημένης ἰδεῖν. Ἀλλ' ἤδη χαῖρε καὶ τοῦ πολλοῦ τῆς λύπης ἄχθους ἀνάνηψον· καὶ γὰρ ἐγὼ τοῦ μισθοῦ τῶν τοσούτων πόνων οὐκ ἀφυής σοι ἔσομαι βραβευτής· παρέξω γάρ σοι τὰς ἀφορμὰς καὶ λίαν περιφανεῖς, ἀφ' ὧν, εἰ βούλει, κερδαίνειν καὶ τοὺς ἐν ἀσύλῳ θησαυροὺς ἐμπλατύνειν ὁ κωλύσων οὐδείς· ἔσο γὰρ εἰδὼς ἀκριβῶς, παῖδές μοι πρόσεισι δύο, ὧν τὸν μὲν ἡ φύσις, τὸν δὲ ἡ θέσις, υἱὸν ἀνεγνώρισεν· ὑπὲρ ὧν οὐχ ὅπως αὐτοῖς τὰς οἰκίας εὐμεγέθεις καὶ κάλλει περιφανεῖς, ἢ τῶν χωρῶν τὰς κτήσεις πολυαρκεῖς, ἢ τῶν χρημάτων θησαυροὺς καταλεῖψαι διὰ σπουδῆς πρωτίστης πεποίημαι· εἰ γὰρ καὶ τούτων ἐν μηδενὶ τὰ δευτερεῖα φέρειν οὗτινος κινδυνεύουσιν, ἀλλὰ σκέπτομαι κατὰ νοῦν καὶ φροντίσι μειζόνων κτήσεων περιπείρομαι, πῶς ἐπιτύχω τινὸς ἀνδρὸς κατὰ σὲ θείαν πρώτως παιδείαν, εἶτα καὶ ἦθος σεμνοπρεπὲς καὶ θεοφιλές, μετέπειτα δὲ καὶ τὴν ἀδομένην ἔξω λόγων σοφίαν τοὺς ἐμοὺς υἱοὺς ἐκπαιδεύσειε".

9. Καὶ τοῦτον λαβὼν τῆς ἐπὶ τὰ οἴκοι φερούσης ἐνήρξατο, καὶ "Λέγε μοι", φησὶ καθ' ὁδόν, "τίς τε εἶης καὶ πόθεν ἐφώρμησαι, ποῖον δ' οἶδας τὸ ἐπιτήδευμα καὶ πῶς εἰς τήνδε τὴν τύχην ἐλεεινῶς ἠὐτομόλησας". Ὁ δὲ φαινόμενος μὲν ὡς διαμασώμενος τὰ ζητούμενα καὶ ἐν ἀπορρήτῳ ταῦτα κεῖσθαι βουλόμενος, ὅμως γοῦν τῇ πολλῇ ἐνστάσει τοῦ ζητοῦντός ποτε μαλαχθείς, "Ἐγώ" φησιν "ἐξ Ἰταλίας μὲν ὥρμημαι, ἐν ἀπαλῷ δὲ ἔτι καὶ ἀώρῳ τῷ σώματι τοὺς τεκόντας ἀποβαλὼν ἔρωτι μαθημάτων τὴν Βασιλίδα κατέλαβον, καὶ δῆτα τοῖς ἐλλογίμοις περιτυχὼν καὶ τὰ τῆς Δημοσθένους ἐκείνου γλώσσης ἀποσυλήσας, εἶτα δὲ καὶ ταῖς διαλεκτικαῖς μεθόδοις καθοπλισθείς, τὸ ἦθός τε κοσμηθείς, πρὸς δὲ σὺν τοῖς ἀριθμοῖς καὶ μουσικῆς καὶ γεωμετρίας καὶ ἀστρονομίας μετειληχώς, ναὶ μὴν ἐκμαθὼν καὶ εἴ τις ἄλλη παρ' ἐκείνοις μάθησις ἤδετο, ἔρωτι φιλοσοφίας ὑψηλοτέρας τῆς ἐνεγκούσης μιμνήσκομαι· πρὸς ἣν ἀπάρας καὶ τόπιον εὑρηκὼς δεινῶς ἔρημον ὂν

12 κῶδ. *οὕτινος*. — 15 κῶδ. *ἐξωλόγων*. — 17 πρβλ. § ϑ' τοῦ βίου Ἰωάννου Δαμασκηνοῦ.—22 κῶδ. *ποτὲ*.—23 κῶδ. *ὥρμημαι*.—29 εἴ τις] κῶδ. *ἥτις*.— 30 κῶδ. *ἥδετο*.

καὶ πολλὴν ὅσην φέρον ἀπανθρωπίαν, ἔρημος, ἄμικτος τοῖς πολλοῖς, ἐκεῖσε προσεκαρτέρησα τὴν ἀνωτάτω μάθησιν ἐκζητῶν καὶ τῶν πατουμένων λόγων τοὺς ἐντίμους κατασπαζόμενος. Καὶ ἐπεὶ τὸ μάλιστα πάντων βούλεσθαί με λαθεῖν τοῦτο δὴ καὶ μᾶλλον τοῦ μὴ λαθεῖν με γέγονεν αἴτιον, τοὺς θορύβους ἐκκλίνων τῆς ἐπὶ τὰ Ἱεροσόλυμα φερούσης εἰχόμην ὁδοῦ καί, ὡς ὁρᾷς, ὑμῖν πειραταῖς ἐντυχὼν εἰς τόδε τύχης ἀβουλήτως κατήνεγμαι". Τούτων ἀκηκοὼς τῶν ῥημάτων, ἐρῶν τοιοῦδε τοῦ θησαυροῦ, ἀπεκρίνατο "Ἔα μοι τοῦ λοιποῦ"· καὶ ἀναγαγὼν εἰς τὸν ἴδιον οἶκον παρηγόρει τε τὸν ἄνδρα καὶ τῆς μακρᾶς κακοπαθείας ἀνέψυχε καὶ τοιῶνδε λόγων ἐνήρχετο πρὸς αὐτόν· "Μὴ οἴου τὸ λοιπόν μοι δοῦλος ἢ καὶ ἐλεύθερος ἔσεσθαι, ἀλλὰ κοινωνόν σε τοῦ οἴκου παντὸς ἀπογράφομαι καὶ συνδεσπότην καὶ συμμέτοχον πάσης χαρᾶς τε καὶ θλίψεως ἔμοι γε· τοῦτο δὲ μόνον πρὸς τῆς σῆς αἰτῶ ἀρετῆς· τοῦτον δή μοι τὸν ἐκ φύσεως υἱὸν Ἰωάννην καὶ τοῦτον δὴ τὸν ἕτερον καὶ συνωνυμοῦντά σοι, ὃν καὶ εἰς υἱὸν εἰσεποιησάμην, ἐκ Παλαιστίνης μὲν ἥκοντα, ἐκ δ' αὐτοῦ τοῦ ἄνθους τῆς ἡλικίας τοὺς φύντας ἀποβαλόμενον, πάσης μετασχεῖν ὡς ἐκ πηγῆς τῆς σῆς σοφίας θείας τε καὶ ἀνθρωπίνης ἀνάπεισον, μηδὲν τῶν κατ' εἶδος καὶ κατ' ἦθος φροντίδων καὶ ὅσα ψυχὴν ἐξεικονίζειν οἶδε πρὸς τὸ πρωτότυπον ἐξιστάμενος· τοῦτο γάρ μοι μέλον, κατὰ πολὺ βρίθουσαν ὁρῶντι κἀνταῦθα τὴν τῆς ἀκάνθης μανίαν οὐ φορητὴν καὶ ὡσπερανεί τις ἐκ συνθήματος τῆς ὧδε πάσης ἀρούρας πονηρὸς σπορεὺς ζιζανίων ἐγένετο· ἀμέλει ῥᾷον εἶδος μεταλαβεῖν κακίας ἐπιτρόχους τὰς ἀπαλωτέρας ψυχὰς οἶδα, τῆς ἀρετῆς [εἰωθυίας] πρὸς ὕψος ἀποτείνειν ὀξύτερον· εἰσὶ δὲ φθορεῖς οὐ μετρητοὶ τὸν ὧδε τόπον ἀναιδῶς λῃζόμενοι, καὶ δύσκολον οὕτως ἄλλο μηδέν, ὡς τὸ τὴν μοχθηρίαν ἀπομαθεῖν. Ῥόδον οὖν ἐν μέσῳ ἀκαν-

9 κῶδ. ἕα. — 15 *καὶ τοῦτον δὴ τὸν ἕτερον*] ἐκ τοῦ βίου Ἰωάννου Δαμασκηνοῦ· κῶδ. *καὶ τὸν θάτερον δὴ*. — 16 ὃν] κῶδ. *υἱόν*. — 18 κῶδ. *φῦντας ἀποβαλλόμενον*. — 22 κῶδ. *μέλλον*. — 23 κῶδ. *ἀρούρας*. — 24/26 ῥᾷον - - ὀξύτερον] πρβλ. Ἡσιόδου ἔργων καὶ ἡμ. στίχ. 287-291.— 25 ἐπιτρόχους] κῶδ. *ἐπιτραχεῖς*. — 26 προσέθηκα τὸ *εἰωθυίας*. — 27 τὸν] κῶδ. *τῶν*.

θῶν ἀξιῶ αὐτοὺς ἀποτέλεσον, ἵνα, ὥσπερ εἰρήκει τὸ τῆς ἡμετέρας πόλεως θήραμα καὶ τῆς οἰκουμένης οἷς ἐνταῦθα πέπονθεν ἀγρευτής, σὺ μὲν ἐπ' εὐλογίαις ἀκινδύνως σπερῇς, οὗτοι δ' ἐπ' αὐταῖς οὐ φειδομένως θερίσωσιν· ἄλλος γὰρ ὁ σπείρων, κατὰ τὸν τοῦ Κυρίου λόγον, καὶ ἄλλος ὁ θερίζων ἐστίν".

10. Ἤσθη τοῖς λεγομένοις ὁ πολιὸς καὶ νοῦν καὶ ψυχὴν καὶ χάριτας ὡμολόγει Θεῷ οὐχ ὅτι μόνον ἀνδρὶ τοιούτῳ περιτύχοι χρηστῷ, ἀλλ' ὅτι καὶ βαρβαρώδης χώρα καὶ τῶν ἐντεθραμμένων θείοις ἀλλόκοτος φέρει κλάδον ἕνα καὶ μόνον τῷ οὐρανίῳ ὕψει παραμιλλώμενον, καὶ "Ἐκ πολλοῦ με τοῦτο ἔρως" φησίν "ὑπέκνιζε καὶ τὴν ψυχὴν ὑπένυττε καὶ ἐσφάδαζε, σπέρματα τῶν λόγων πρὸς ἀκοὰς ἐνθεῖναι εὐγνώμονας καὶ παῖδα τεκεῖν οὐκ ἐκ σπέρματος οὐδ' ἐξ αἵματος ἀνδρὸς προσαγόμενον, ἀλλ' ἐκ σπέρματος Θεοῦ". Εἶπε καὶ ὁ πατὴρ τοὺς παῖδας λαβὼν τοῖς ποσὶν αὐτοῦ καταρριπτεῖ τοῦ ἀνάξοντος· οἳ καὶ τρέφονται μὲν δεξιῶς, παιδεύονται δὲ ἐπιμελῶς καὶ τὸ ἦθος ῥυθμίζονται οὕτως, ὥσπερ οἱ τῆς ἀρετῆς κλάδοι μετ' ὀλίγα παραδηλώσουσιν· τῶν γὰρ ἀρετῶν αἱ σκιαὶ ἤδη τοῖς διὰ φωτὸς ὁδεύουσιν ἐπηκολούθουν· οὕτως ἡ τῶν παίδων πρόθεσις καὶ ἀπ' αὐτῆς εἰπεῖν γραμμῆς ἐγνωρίζετο. Ὁ οὖν κηδεστὴς ἐκείνων καὶ μᾶλλον πατήρ, ἅπερ ὁ κατὰ φύσιν πατήρ, καιρὸν αὐτοῖς καὶ ποσὸν ἀποτάττει τροφῆς, μακρὰ χαίρειν εἰπὼν ταῖς σιτοπόνων περιεργίαις, καὶ ὡς ἐν τάξει ποιμένος ἀγαθοῦ καταβόσκων εἰς εὐθυμίαν τὴν κατὰ πνεῦμα ὕπνου τε τοσοῦτον μετέχειν, ὅσον ἀπόχρη τὸ σῶμα διακρατεῖν, ἐνετέλλετο. Τῆς δὲ σελήνης ἤδη πληρεστάτῳ φωτὶ τὴν γῆν ὑπολευκαινούσης, αὐτὸς ἀνίστα πρώτως τοὺς παῖδας εἰς προσευχήν· δεῖν γὰρ ἔκρινε πρώτως καὶ ψυχὴν καὶ γλῶσσαν καὶ νοῦν εὐχαῖς ἁγιάζεσθαι καὶ μὴ — οὕτως εἰπεῖν — ἀνιέρως πρὸς ἄλλ' ἄττα τὴν φροντίδα κατα-

3 κῶδ. *σπερεῖς*.—4 Κορινθ. 2, θ', 6 || κῶδ. *φειδωμένως*. — 5 Ἰωαν. εὐαγγ. δ', 37.— 6 κῶδ. *ἤσθη*.—7 κῶδ. *ὡμολόγει*.—10 κῶδ. *τοῦτον* || ἔρως ὑπέκνιζε] Πινδαρ. Πυθ. ι', 92.— 11 κῶδ. *ὑπένιττε*. — 14 αὐτοῦ] κῶδ. *αὐτοὺς*. — 19 ἀπ' αὐτῆς γραμμῆς] Corpus paroem. II, σ. 145.—22 σιτοπόνων περιεργίαις] Φίλων ἐν βίῳ Μωϋσέως § 37 [II, σ. 114 ἐκδ. Mang.]. — 28 κῶδ. *ἄττα*.

σχολεῖν· εἶτα καὶ ταῖς βίβλοις αὐτοὺς ἐγκύπτειν ἔπειθε καὶ ταῖς φυσικαῖς τῶν νέων χάρισι τὰς ἐκ τῆς τέχνης προσέθετο, καὶ ἦν ἰδεῖν αὐτῶν ἕκαστον ἀετὸν ὑψιπέτην ὀξέως εἰς ἀέρα διαπετόμενον καὶ πτέρυξι δικταῖς, εὐφυΐᾳ φύσεως καὶ σπουδῇ προαιρέσεως, χρώμενον, ἢ ταῦτα καὶ φοίνικα πολυχρόοις ἰδέαις καταγραφόμενον· ὡς δ' ἐν ἔαρι τὰς χελιδόνας ὁρᾷ τις πρὸς ἀλλήλας συνιπταμένας καὶ προσκελαδούσας καὶ προσλαλούσας ἑαυταῖς, οὕτως τριβῆς ἀγῶνι καὶ ἀκόνης ὀξύτητι ἕκαστος αὐτῶν ἡμιλλῶντο καὶ διελέγοντο.

11. Ἅπερ ὁρῶν ὁ καθηγητὴς καὶ μή τι τῶν ἀδοκήτων συμβαίη ὑπωπτευκώς—"Κοῦφον γὰρ" ἔλεγεν "ὡς ἐπίπαν ἡ νεότης καὶ πρᾶγμα ἀστάθμητον, ὀξείας ῥοπὰς ἐφ' ἑκάτερα λαμβάνον καὶ μεταβολαῖς ἀνέμων οὐκ ἀνθιστάμενον"—, οὐχ ὑποψίας πάσης τὸν τῆς οἰήσεως ἀπέλυε Δαίμονα· "καὶ γὰρ δεινός ἐστι" φησίν "οὕτως ψυχὴν ὑπελθεῖν καὶ κυμῆναι ταύτην παλιρρόοις ὑποτυφώμασιν", καὶ συχνῶς ὑπῇδεν ὡς σοφὸς ἐπάσματα σοφὰ τοῖς σοφοῖς κατὰ τοῦ σοφοῦ· "Ἡ γνῶσις, τέκνα, φυσιοῖ, καὶ εἴ τις εἶναι δοκεῖ σοφὸς ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, γενέσθω μωρός, ἵνα γένηται σοφός" ὁ Παῦλος μαρτύρεται· "ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία ἐστὶ παρὰ τῷ Θεῷ· ὑμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβατε, ἀλλὰ τὸ πνεῦμα τοῦ Θεοῦ, ἵν' εἰδῆτε τὰ ὑπὸ Θεοῦ χαρισθέντα ὑμῖν, ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς ὑμῖν πνευματικὰ ἀνακρίνοντες· εἴ τις δὲ ψυχικός, οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ ἐκείνῳ ἐστὶ ταῦτα καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται· ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· κἀγώ, ἀδελφοί (οὐκέτι γὰρ λέγω ὑμᾶς μαθητάς), οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς σαρκικοῖς, ἀλλά γε [ὡς] πνευματικοῖς· πρώην μὲν γὰρ ὡς νηπίους ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα· οὐ βρῶμα

3 πρβλ. βίον Ἰωάννου Δαμασκηνοῦ, § ια΄· «ὁ δὲ Ἰωάννης ἀετὸς ἦν ἀέρα διαπετώμενος, ὡς πτέρυξι χρώμενος εὐφυΐᾳ φύσεως καὶ σπουδῇ προαιρέσεως». — 6 κῶδ. *συνυπταμένας*. — 11 κῶδ. *ὀξεῖας*. — 16 ἡ γνῶσις φυσιοῖ] Κορινθ. 1, η΄, 1. — 17/19 Κορινθ. 1, γ΄, 18, 19. — 17 κῶδ. *γινέσθω μορὸς*. — 19/28 Κορινθ. 1, β΄, 12-16. γ΄, 1, 2.

προτέθεικα· οὔπω γὰρ ἠδύνασθε· νῦν δὲ καὶ τὰ στερρὰ τοῦ πνεύματος διατρέφεσθε· τίς γὰρ τῶν ὧδε ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτὸν ἐν ἑαυτῷ; καὶ ὁ βραχίων Κυρίου τίνι τῶν ἐνταῦθα ἀποκεκάλυπται; Ἀλλ' ἐπεὶ Θεοῦ ἐσμὲν ἡμεῖς συνεργοί, Θεοῦ δὲ ὑμεῖς γεώργιον καὶ οἰκοδομή, κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τοῦτον πρῶτον ὑμῖν ὑποτίθεμαι, τὴν ταπείνωσιν· ἄλλον γὰρ θεμέλιον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστὸς Ἰησοῦς· ἐφ' οὗ τὸ πρὶν οἱ Ἰουδαῖοι λυττήσαντες, πρὸς τὸ Ἱερὸν ἀναβάντος ἐν μέσῳ τῆς ἑορτῆς καὶ διδάσκοντος, πῶς οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς ἐξηρεύγοντο, καὶ ἠνέσχετο τῆς περιττῆς ἐκείνων ἀμαθίας καὶ ἰταμότητος, χαλεπήνας οὐδέν, καὶ τὸ ἀμαθὲς ἠρεῖτο καὶ ταπεινὸν τοῦ σοφοῦ τε καὶ σοβαροῦ. Ἕκαστος ὑμῶν βλεπέτω, πῶς ἐπὶ τῷ θεμελίῳ τούτῳ οἰκοδομεῖ, χρυσὸν καὶ ἄργυρον, λίθους τιμίους, οὐ ξύλα, χόρτον, καλάμην· τὰ γὰρ αὐτὰ καὶ τίμια φαίνεται, συνδεούσης τῆς ταπεινώσεως, καὶ χορτώδη αὖθις καὶ ἄτιμα, διασπώσης τῆς οἰήσεως".

12. Ταῦτα λέγων ἐκεῖνος οὐκ ἦν εἰς πέτραν τὸ σπέρμα κατατιθέμενος, ἀλλὰ ψυχαῖς ἁγίαις θαρρούντως συνέσπερε, καὶ ἦν ἰδεῖν ὥσπερ τὰ τῶν φυτῶν εὐγενῆ ἐπὶ πληθύνοντι τῷ καρπῷ βαρυνόμενα κάτω νεύει πρὸς γῆν, οὕτω δῆτα καὶ οὗτοι ταῖς τῶν λόγων ἐπικαρπίαις ὡς βρίθοντες κάτω πρὸς τὸ βάθος καὶ τὴν ὑποσμήχουσαν τῇ ταπεινώσει ῥίζαν διώπτευον· οὕτω μακρὰν ἀπεῖχον τοῦ ἥττους εἶναι φιλοδοξίας, ἐπεὶ καὶ μᾶλλον ἀγαθόν τι ποιοῦντες ἢ ἕτεροι πονηρὰ δρῶντες, τὸ λαθεῖν ἔσπευδον. Ἐπὶ τούτοις ὁ τούτων διδάσκαλος ἐκ τῶν μαθητῶν, ὡς ἔοικε, κεντριζόμενος καὶ τὸν ποταμὸν ἀνάρρουν ὁρῶν, πρὸ τῆς γενειάδος τῶν

1 Ῥωμ. ια', 34. — 3 Ἡσαΐα νγ', 1. Ἰωάν. εὐαγγ. ιβ', 38. — 4/8 Κορινθ. 1, γ', 9-11. — 10 Ἰωάν. εὐαγγ. ζ', 15. — 12 κῶδ. *ἰταμότητος*. — 13 κῶδ. *ἕκαστος*.— 16 κῶδ. *αὖθις*. — 18 εἰς πέτραν τὸ σπέρμα] Λουκ. η', 6. — 19 κῶδ. *ἀγείαις θ. συνέσπερε*. — 25 κῶδ. *ἐπιτούτοις*. — 26 ἐπὶ τούτοις - - κεντριζόμενος] βίος Ἰωάν. Δαμασκηνοῦ, § ιγ'. «Ἐπὶ τούτοις ὁ τούτου διδάσκαλος ἐκ τοῦ μαθητοῦ, ὡς ἔοικεν, ὁδηγηθεὶς πρὸς τοῦτον τὸν ἔρωτα»· πρβλ. § ιβ'. Καὶ πάλιν § 13 «πρόσεισι τῷ πατρὶ τοῦ παιδὸς καὶ φησιν· Ἰδού σοι τὰ τῆς ἐπιθυμίας τετέλεσται» κτλ.

τέκνων ὁ γέρων διδάσκεται καὶ — εἰ καινὸν ἐρεῖν — οἱ κλάδοι τῇ ῥίζῃ πιότητα νέμουσι· καὶ λαμβάνει τοῦτον ἔρως τῆς μελετωμένης ἡσυχίας τὸ πρίν, ἀποπτάσης δ' αὐτοῦ τῶν χειρῶν, λῃστρικαῖς χερσὶν ἐμπεσόντος, ὡς εἴρηται, καὶ γίνεται ταύτης ὅλως· ἀφ' ὧν ἑώρα τοὺς μαθητὰς ἡσυχάζοντας καὶ πρόσεισι τῷ πατρὶ καὶ φησί. «Ἰδού σοι τὰ κατὰ σκοπὸν ἐκτετέλεσται καὶ τὰ τῆς ἐπιθυμίας πέρας εἴληφε, καὶ οἱ παῖδες ἐμοῦ κατὰ σοφίαν ὑπέρκεινται· οὐ γὰρ ἤρκεσε τοῖς μαθηταῖς γενέσθαι ὡς ὁ διδάσκαλος, ἀλλὰ Θεοῦ συναρρήγοντος τῷ μεγέθει τῆς σπουδῆς καὶ τῆς φύσεως ὑψιπετέστεροί μου πρὸς φιλοσοφίας λόγον γεγόνασιν. Οὐ χρειώδης αὐτοῖς εἰμι τοῦ λοιποῦ· ἔργῳ γὰρ τὰ τῆς ἥττης καὶ τῆς νίκης σοι πρόκειται. Ἤδη, καθὼς ὁρᾷς, μαθητιᾶν αἱροῦμαι τὰ πλεῖστα καὶ σιγῶν ἐπαινέτης τῆς μεγαλονοίας αὐτῶν ἀπελέγχομαι· ἀλλ' ἕν σε τούτων ἁπάντων χάριν αἰτῶ καὶ μίαν δόσιν δικαίου μισθοῦ, τὴν τῶν ἐνθένδε μὲν ἀπανάστασιν, πρὸς δ' ἱερῶν ἀνδρῶν φροντιστήριον ἐπανάσωσιν· δεῖν γάρ, φησίν, εἶναι τὸν μοναχὸν σπουδαῖον, διακριτικόν, νηφάλιον, σώφρονα, κόσμιον, διδακτικόν, οὐ τῆς ἑτέρων μᾶλλον διδασκαλίας δεόμενον, ὡς ἄρα δή μοι τὰ νῦν συμβέβηκεν, ἱκανόν τε τὸν νοῦν τηρεῖν ἀσφαλῶς· περὶ τοῦ τοιοῦδε γάρ, φησίν, εἰρῆσθαι καὶ τῷ Δαβίδ· "Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ". Ἵνα οὖν μὴ διαπέσῃ μοι τοῦ γνωρισμοῦ τὰ τοιάδε γνωρίσματα, ἄφες ἰέναι τὴν ὅπου Θεὸς αὐτὸς κινεῖ τὰ ἡμέτερα· τί γάρ, εἰ γνῶσιν θείων τε καὶ ἀνθρωπίνων ἐσχήκαμεν, εἰ μὴ καὶ ὁμοίωσιν Θεῷ, κατὰ τὸ δυνατὸν κτησαίμεθα ἀνθρώπῳ»;

13. Ἤλγησεν ἐπὶ τοῖς λόγοις τούτοις ὁ αἰτηθείς, τὸ μέν, ὅτι μελῶν οἰκείων ἐφῆκει ζημιοῦσθαι διάζευξιν (οὕτω γὰρ προσήνωτο τῷ ἀνδρί), τὸ δέ, ὅτι μὴ θαρρεῖν ἐδόκει ταῖς λαμπραῖς ἐπαγγελίαις ἐπὶ τοῖς παισίν· ἐδεδοίκει γὰρ τὴν τινὸς ὑστέρησιν, δέοντος ἐλπίδι τοῦ μέλλοντος καὶ ἐφέσει. Ὅμως, ὡς ἂν μὴ δόξῃ φαῦλα τὰ μισθώματα τῆς ἐπὶ τῷ λόγῳ σπουδῆς αὐτῷ ἀποδιδούς, κατέχειν μὲν οὐκ εἶχεν, οὐδὲ ἐπεχείρησεν, δαψιλεστέροις δὲ καὶ

11 κῶδ. *εἰμὶ*. — 20 κύριος-οἴκῳ] Κυρίλλου Σκυθοπ. βίος ὁσίου Σάβα, σ. 132 Pomialowsky. — 25 πρβλ. § ιγ' τοῦ βίου Ἰωάννου Δαμασκηνοῦ.

τοῖς δάκρυσιν αὐτὸν αὐτίκα μετ' εἰρήνης ἀπέλυσεν, ἓν ἐπὶ τέλους καὶ τελευταῖον τοῖς μαθηταῖς ἐπειπόντα· "Φυλάσσετέ μοι τὴν καλὴν παρακαταθήκην ἣν αὐτὸς τῆς ἀγάπης ἐντέθεικα, πρός τε πρὸς ἡμᾶς καὶ πρὸς ἀλλήλους συνδούμενοι· ἐγὼ δὲ ἀπέρχομαι τόπον ὑμῖν ἑτοιμάσαι, ὅπου μετ' ὀλίγον καὶ ὑμεῖς ἐπανίητε"· τοῦτο δ' ἦν τῆς ἐπὶ τῇ τοῦ μεγάλου Σάβα μονῇ τῶν νέων κατοικήσεως πρόρρησις, ὡς ὁ λόγος ὑποδείξει μετέπειτα. Ὁ μὲν οὖν θεῖος οὗτος ἀνὴρ ἀπάρας ἐκ Δαμασκοῦ καταλαμβάνει τὴν ἔρημον, καὶ φέρων ἑαυτὸν τῇ τοῦ μεγάλου Σάβα ἐκδίδωσι, κἀκεῖ δεκάδα χρόνων ἐπιβιούς, ἐν οἷς τὰ πρὸς χρείαν ἐκ Δαμασκοῦ ἐκομίζετο, πολλά τε πυκτεύσας, πολλὰ θ' ἑαυτοῦ καταμεμψάμενος ἐπὶ τῷ προβαθέντι καιρῷ τῆς φίλης ἕνεκεν ἡσυχίας, ἀπῄει τῇ μὲν γῇ τὸ σῶμα λιπών, τοῖς Δαίμοσι δὲ τὸν μετάμελον. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ τῶν παίδων πατὴρ τῆς παρούσης ἀπεφοίτα ζωῆς καὶ ἐξ ἀνθρώπων, οἷα ἄνθρωπος, ἀπηλλάττετο· γίνονται δὲ ἐπίσης ἐγκρατεῖς ἐκεῖνοι τοῦ κλήρου καὶ τῆς περιουσίας διάδοχοι.

14. Ὁ δὲ τῶν Ἀγαρηνῶν ἀρχηγὸς τὸν Ἰωάννην εἰσκαλεσάμενος, "Οἶσθα" φησίν "οἵων τῶν πρωτείων διὰ τὸ περιὸν τῆς ἀγχινοίας καὶ τῆς ἀρετῆς ὁ σὸς πατὴρ κατηξίωτο· καὶ νῦν, ἵνα μὴ δοκῇ χηρεύειν τοιούτων τὰ καθ' ἡμᾶς, τῶν αὐτῶν τιμῶν καὶ βαθμῶν ἀξιοῦμέν σε· οὐ γὰρ φέρειν, οἶμαι, δευτερεῖά σε πρὸς τὸν φύσαντα, εἰ μὴ καὶ μᾶλλον εὐδαιμονέστερος ἄρτι φανήσεσθαι πέπεισμαι ἐπὶ σοῦ". Ἠνιάθη δὲ ὁ Ἰωάννης ἐφ' οἷς ἀκήκοεν, ἀλλαχόθεν προσνενευκυῖαν ἔχων τὴν ἔφεσιν· ὅμως ἱκανῶς βιασθείς, ἐπεὶ μὴ ἀντιτείνειν ἐξῆν, "Πρόσεστί μοι καὶ ἕτερος ἀδελφός, ἐμοῦ παρὰ πολὺ καὶ λόγῳ καὶ χρόνῳ διαφορώτερος" ἀπαγγέλλει τῷ ἄρχοντι, "καὶ εἴ γε βούλει μή τι παρακεκινδυνευμένον τὰ τῆς ἀρχῆς σοι καὶ τὰ τῆς πρωτοσυμβουλίας παθεῖν", — τοῦτο γὰρ ἦν αὐτῷ τὸ

9 κῶδ. *δεκάδι*. — 12 προβαθέντι] οὕτως ἐν τῷ κώδικι. — 14 κῶδ. *ἀπεφοῖτα*. — 17 βίος Ἰωάν. Δαμ. § ιγ'· «ὁ δὲ τῶν Σαρακηνῶν ἀρχηγὸς τὸν Ἰωάννην εἰσκαλεσάμενος προεχερίζετο πρωτοσύμβουλον· ὁ δ' ἀνένευεν, ἀλλαχόσε προσνενευκυῖαν ἔχων τὴν ἔφεσιν· ὅμως ἱκανῶς βιασθεὶς ἀντιτείνειν ἔτι οὐκ ἴσχυσε, καὶ καθίσταται οὗτος ἐν μείζονι ἀρχῇ παρὰ τὸν γεννήσαντα».

ἀξίωμα—, "συμπαρέστω κἀκεῖνος κοινωνὸς καὶ συνέριθος· οὐ γὰρ ἀξιόπιστόν μοι δοκεῖ τὸ ἀνεπισφαλὲς διὰ τὴν νεότητα". Ἀλλ' ὁ Κοσμᾶς οὐδὲ κώνωπος ἠχὼ — τὸ τοῦ λόγου — τὴν παρ' ἐκείνων βίαν ἠγήσατο, καὶ ἦσαν ὃ μὲν ταῖς βίβλοις ὃ δὲ τοῖς δημοσίοις ἐγκύπτοντες. Ἀλλ' ἵνα μὴ καταφρόνησις τὸ τοῦ Κοσμᾶ ἀνήκοον λογισθῇ καὶ μῶμος ἐντεῦθεν τῷ ἄρχοντι προστριβῇ, οὐκ ἀνῆκεν ἐκεῖνος· τὴν δ' ἀρχικὴν δεικνύων τάχα ἰσχύν, τῶν δημοσίων ἀπογραφῶν τοῦτον ἐφίστησι φύλακα, οἰκείαν τὴν λειτουργίαν τῷ δοκεῖν τῇ αὐτοῦ λογιότητι ἐφευρών, καὶ ἀσεκρήτιν αὐτὸν προχειρίζεται. Ἀλλὰ τοῖς καθ' ἑξῆς τοῦ λόγου ἐνδιατρίψωμεν, ἃ δή μοι καὶ μὴ βουλομένῳ συναρπάζει τὸν λόγον, ἡδίω παρὰ πολὺ τῶν ἄλλων ὄντα καὶ χαριέστερα.

15. Κατ' ἐκεῖνο καιροῦ τῶν τῆς Ῥωμαϊκῆς ἀρχῆς ἐπειλημμένος σκήπτρων ὁ ἐξ Ἰσαυρίας Λέων ὁ δείλαιος, πᾶν τὸ τῆς εὐσεβείας θρέμμα καὶ ποίμνιον ἁρπάζων ἦν ὡσεὶ λέων καὶ ὠρυόμενος κατ' αὐτοῦ· "λέων γὰρ ἐρεύξεται καὶ τίς οὐ φοβηθήσεται", φησὶν ἡ Γραφή. Οὗτος τῶν ἱερῶν εἰκόνων—ὦ δίκη Θεοῦ—καὶ τῶν εὐσεβῶν ἐκτυπωμάτων ἀσεβῶς κατορχούμενος εἴδωλα τοὺς ναοὺς ἀθέσμως ὠνόμαζε, καὶ ἦν ἰδεῖν τὸν μὲν κόσμον περιῃρημένον τῆς ἐκκλησίας καὶ τὴν εὐπρέπειαν εὐθὺς ἀποστᾶσαν (τὴν γὰρ δόξαν, ἣν ἐκέκτητο, ἀπεκείρατο), τὴν δ' εὐσέβειαν ὑπολισθαίνουσαν ἤδη καταπεσεῖν. Ταῦτα ὡς εἰς ἀκοὰς τῷ Ἰωάννῃ ἐνέπεσεν, ἀκατάσχετος ἦν τὴν ὁρμήν, διοίδαινέ τε πρὸς τὴν ἀτοπίαν τοῦ πράγματος, τὴν ψυχὴν διερρήγνυτο καὶ ἀπεπνίγετο τῷ θυμῷ. Τὸν ζῆλον μιμεῖται τοῦ Ἡλιού, ἵνα καὶ ζῆλος εἴη καὶ ἀρετὴ ὁ θυμός, τοῦ συνωνυμοῦντος τὸν ἔλεγχον· σπᾷ καθάπερ τις Πέτρος τὴν μάχαιραν καὶ κατ' οἰκείου χωρεῖ οὐδαμῶς, κατὰ βασιλέως δ' αὐτοῦ καὶ τὴν ἐκείνου πλήττει ψυχήν, οὐδαμῶς δὲ τὸ

4 κῶδ. *ταῖς δημ.* — 13 ἐν τῇ ᾠᾳ: *Κάθισμα. Στάσις* || κῶδ. *ἐκείνω.* — 15 κῶδ. *ὠρυόμενος.* — 16 Ἀμὼς γ', 8. — 23 κῶδ. *ὁρμὴν.* — 25 Βασιλ. ιγ', 10, 14. — 26 συνωνυμοῦντος] βίος Ἰωάνου Δαμασκηνοῦ § ιδ'· «καὶ τοῦ ὁμωνυμοῦντος τὸν ἔλεγχον» = Ἰωάννου τοῦ βαπτιστοῦ. — 27 Πέτρος τὴν μάχαιραν] Ἰωάννου εὐαγγέλ. ιη', 10.

οὗς· ἐπιστολιμαίως γὰρ ἐγχαράξας τόμους δύο ὑπὲρ τῆς τῶν εὐσεβῶν εἰκόνων τιμῆς τοῖς εἰδόσιν αὐτὸν ὀρθοδόξοις εἰς τὴν Βασιλίδα διέπεμπεν· ὧν ὁ μὲν πρῶτος περὶ προσκυνήσεως καὶ περὶ εἰκόνων διέξεισιν, εἰς πόσα διήρηνται καὶ τίνα τούτων τιμῶνται καὶ προσκυνοῦνται λατρευτικῶς, τίνα δὲ σχετικῶς, ἐπεὶ καὶ εἰκὼν τοῦ ἀοράτου Θεοῦ ὁ υἱὸς καὶ εἰκὼν τοῦ Ἀβραὰμ καὶ Ἰσαάκ· ὁ δὲ δεύτερος, ὅτι ἀρχῆθεν ἡ τῆς εἰκόνος ἐδόθη παράδοσις, ἔκπαλαι μὲν εὑρεθεῖσα, παρὰ τῶν πάλαι πατριαρχῶν τε καὶ προφητῶν πρὸς τὸν τῶν ὅλων Θεὸν τὴν τιμὴν ἀναφέρουσα, νῦν δ' ὑστέρως παρὰ τῆς ἐκκλησίας τὸ κῦρος λαμβάνουσα· καὶ ἄλλαις πλείσταις ἠδείαις Σειρήναις τὰς ἁπάντων εἵλκε ψυχὰς πρὸς τὴν σχετικὴν τῶν θείων ἐκτυπωμάτων προσκύνησιν· ἐν οἷς τισι τόμοις καὶ τὴν τῆς γυναικὸς ἐκείνης τῆς Σαμαρείτιδος ἐρώτησιν περὶ προσκυνήσεως εὐφυῶς διηυκρίνησε. Καὶ τοῦτο δ' ἐν ταῖς ἐπιστολαῖς διεχάρασσεν, ἀπὸ χειρῶν εἰς χεῖρας ὡς διὰ κύκλου διαβαίνειν ταύτας πρὸς ἅπαντας καὶ κατὰ Παῦλον εἰ μὴ ποδὶ ἀλλ' οὖν γε γραφῇ περιιέναι πᾶν τὸ περίγειον.

16. Ἤκουσται ταῦτα τῷ βασιλεῖ καὶ ἐβέβλητο μὲν τῇ δυνάμει τῶν λόγων ὡς ὑπὸ τρώσεων ὁ ἄφρων ἐκεῖνος καὶ ἰσχυρῶς ἀνόητος τὴν ψυχήν, ὡς ἀνόνητόν τε καὶ σκαιὰν τὴν πεπαρρησιασμένην μισήσας ἀλήθειαν, κλύδωνί τε λογισμῶν αὐτίκα περιεστοίχητο. Καίτοι ἄρας ἀξιώματι τὴν μεγαλαυχουμένην ἀρχὴν οὐδὲν ἤγεῖτο παρ' οὐτιδανοῦ καὶ ξένου καὶ ἐθνικοῦ, ὡς ἔφασκεν, ὑβριζόμενος· αὐτίκα τε ὠχριῶσαν καὶ κυλοιδιῶσαν τὴν ὄψιν πρὸς τῆς ἀγρυπνίας ὑπέφαινεν καὶ τροφῆς μετεῖχεν ὀψέ, τοὺς κυλικοφόρους τρίποδας καὶ τὰς φιάλας τῶν πολυτίμων μετ' ἰταμότητος ἀπωσάμενος, "οὐκ ἂν ἀλύπως βιώσαιμι" φάσκων, "εἰ μὴ τὸν ὅστις εἴη κατὰ τοῦ ἡμετέρου κράτους τολμῶντα τοῦ ζῆν ἐξάρω κακῶς διαθέμενος". Καί τινας οὖν τῶν ὁμογνωμόνων εἰσκαλεσάμενος,

1 τόμους δύο] γινώσκονται λόγοι τρεῖς περὶ εἰκόνων ἐπ' ὀνόματι τοῦ Δαμασκηνοῦ, ὧν ὁ τρίτος ἔχει σχέσιν πρὸς τὸν ὧδε πρῶτον σημειούμενον. — 11 κῶδ. *σειρῆναις*. — 18 βίος Ἰωάννου Δαμ. § ιε'. — 24 κῶδ. *κυλλοιδιῶσαν*. — 25 κῶδ. *κυλικηφόρους*. — 28 κῶδ. *τολμῶν*.

"Κείσθω μοι" φησίν "ἐν ἀπορρήτῳ καὶ τὸ τοῦ λόγου μηδ' ὁ ἥλιος γνοίη αὐτὸς ἅπερ ὑποθῆναι βούλομαι πρὸς ὑμᾶς" (καὶ γὰρ ἦν εἰς τὸ πλάσασθαι ψευδῆ καὶ συγχέαι ἀλήθειαν τῶν πάντων ἐπιβολώτατος)· "τὸ τῆς εὐσεβείας περιθέμενοι πρόσωπον καὶ σχηματισμὸν φιλίας τὸν καθ' ἡμῶν ἔλεγχον ὑπενδυσάμενον διὰ σπουδῆς παντοίας ποιήσασθαι οἰκειόγραφον εὑρεθῆναι τοῦ Ἰωάννου γραμμάτιον". Οἳ δ' οὐκ ἀνῆκαν πάντα κάλων κινοῦντες, τὸν δόλον ὕφαλον ποιησάμενοι, καὶ ἀνεζήτουν ὃ προσετάγησαν, ἕως οὗ εὑρόντες τῷ βασιλεῖ ἐνεχείρισαν· καὶ οὗτος δὴ προσκεκληκὼς τῶν ὑπογραφέων τινάς, τῶν τοῦ Ἰωάννου γραμμάτων προετίθει τοὺς τύπους εἰς μίμησιν, ὅσον ἐν διανοίᾳ, ὅσον ἐν λέξει, ὅσον ἐν σχήματι κατ' οὐδὲν αὐτῶν ἀποπίπτοντας. Εὗρεν οὖν εἰς αὐτὸ τοὺς ὑπηρετήσοντας οὐκ ἀφυεῖς κακογράφους καὶ τὸν δόλον ἐντέχνως συρράπτοντας· καὶ δὴ κελεύει πρὸς ἑαυτὸν ἐκ τοῦ Ἰωάννου χαράξαι γραμμάτιον, τοιᾶσδε τῆς διανοίας ἐχόμενον· "Χαῖρε ὦ βασιλεῦ, κἀγὼ συγχαίρω τῷ κράτει τῆς βασιλείας σου διὰ τὴν ταὐτότητα καὶ τὴν ὁμογνωμοσύνην τῆς πίστεως, δι' ἣν τὸ προσῆκον σέβας ἀπονέμων τῇ βασιλικῇ σου καὶ θείᾳ ὑπεροχῇ, καὶ τάδε πρὸς γνῶσιν ταύτης ποιῶ· ὡς ἡ καθ' ἡμᾶς ἐλεουμένη πόλις αὕτη καὶ δυστυχὴς περὶ τὴν φυλακὴν ἠμελημένη πάντῃ τυγχάνουσα τῶν τειχῶν, τὸ ἐνταυθοῖ στρατιωτικὸν ἀσθενέστερον καὶ εὐαρίθμητον κέκτηται. Φεῖσαι οὖν, πρὸς Θεοῦ, τῆς πόλεως ταύτης, ἣ τῶν ἀφ' ἡλίου ἀνατολῶν εὐτυχεστέρα μὲν ἐνομίζετο, δυστυχεστέρα δ' ἁπάσης τῆς οἰκουμένης εὑρίσκεται, καὶ παρ' ἐλπίδα πᾶσαν χεῖρα βαρεῖαν καὶ πολυπληθῆ πεπομφώς, ἀλλαχοῦ που προσποιουμένην ἀπευθύνειν τὸν ἵππον καὶ τὸ κοντόν, ἔξεις τὴν πόλιν ἀπονητὶ καὶ σὺν αὐτῇ τὰ ταύτης ὑπόσπονδα ὅρια, ἐν ὀλίγῳ χρόνῳ μετὰ σπουδῆς ἐλῶντος ἱππέως περιγραφόμενα· οὐ μετρίως δὲ κἀγὼ πρὸς τοῦτο συναροῦμαι τοῖς ἐπιφθάσασι τοῦ σκοποῦ, ὅτι καὶ ὑπὸ χεῖρά μοι πᾶσα σχεδὸν ἡ χώρα καὶ ἡ πόλις τελεῖ. Ταῦτα διὰ βραχέων ὁ πρωτοσύμβουλος Ἰωάννης τῷ κράτει σου διεχάραξα".

7 Corpus paroem. II, 107, 129, 145. — 20 κῶδ. *πάντα*. — 21 κῶδ. *τιχῶν*.— 22 ἣ] κῶδ. ἧ. — 29 κῶδ. *συναροῦμαι*. — 30 κῶδ. *χῶρα*.

Τούτου γενομένου τοῦ γράμματος ἀντεπιστολιμαῖον διαχαράττει γράμμα ὁ δυσσεβὴς πρὸς τὸν ἐν Δαμασκῷ δυσσεβέστερον ἄρχοντα, οὕτως ἐχόμενον τοῦ σκοποῦ· "Οὐδὲν οἶδα τῆς εἰρήνης μακαριώτερον, οὐδὲ τῆς φιλίας εὐδαιμονέστερον, καὶ τὸ τηρεῖν τὰς εἰρηνικὰς συνθήκας ἐπαινετὸν καὶ φιλόθεον· δι' ἃς καὶ πόλεις ἰθύνονται καὶ βίος ἡδὺς πολιτεύεται καὶ μάχαιρα κατιοῦται καὶ ἵππος παχύνεται. Διὰ ταῦτα παντὸς ἄλλου προτίθεμαι φυλάττειν ἀδιαλύτους ἃς διεθέμην εἰρηνικὰς πρὸς τὴν σὴν ὑπεροχικωτάτην εὐγένειαν, καίτοι πρὸς τὸ παραλῦσαι ταύτας κρυφίως καὶ παρασπονδῆσαι δολερῶς ὑπό του τῶν ὑπὸ σὲ τελούντων χριστιανῶν συνεχῶς ἐκκαλούμενος· οὐχ ἅπαξ γὰρ οὐδὲ δίς, ἀλλὰ πλειστάκις διὰ γραμμάτων αὐτοῦ χεῖρα συχνὴν τὰ αὐτόθι λῃΐσουσαν πεπομφέναι με ἐβιάσατο, πολλὰ διαβεβαιούμενος ἀσφαλῶς καὶ πρὸς τὸ τὴν ὑπὸ σὲ χειρώσασθαι πόλιν οὐκ ἀδόκιμος φανησόμενος. Ἔνθεν τοι καὶ ἓν τῶν ὑπ' ἐκείνου μοι πεμπομένων γραμμάτων ἀντεξαπέστειλά σοι τῷ φιλουμένῳ τοῦ κράτους μου, βέβαια παριστάνον ἅπερ σοι γέγραφα, ἵνα γνῷς οἷος ἐγὼ περὶ τὰς φιλίας ἀληθής τε καὶ ἀπαράσπονδος, ἐπιγνοίης δὲ καὶ τὸ δύσνουν καὶ δολερὸν τοῦ ταῦτα γράψαι πρὸς ἡμᾶς μελετήσαντος".

17. Ταῦθ' ὡς ἀνέγνω διὰ γραφῆς ὁ παντάπασιν ἄπειρος ἐν τοῖς τοιούτοις ἐκεῖνος καὶ τὴν ἀκρίβειαν τῶν ἀκουσμάτων μὴ συνιέναι δυνάμενος, εὐθὺς ὀργῆς ἐμπίπλαται τὴν ψυχήν, ἔμμονον ἄνοιαν καὶ διαρκῆ κατὰ τοῦ δεδρακότος ταῦτα νοσῶν, καὶ εἰσκαλεῖται τὸν Ἰωάννην, καὶ τὸ δολερὸν ἐκεῖνο γράμμα συνεδριάσας ὑπ' ὄψιν ἐμμάρτυρον τίθησιν· ὃ δὲ εἰς χεῖρας λαβὼν καὶ τοῦτο διεξιὼν τῷ νῷ καὶ τοῖς ὀφθαλμοῖς — ὦ δίκη Θεοῦ δραττομένη καὶ τῶν σοφῶν ἐν τῇ πανουργίᾳ αὐτῶν καὶ ἄσοφον τὸν σοφὸν ὅτε βούλεται ἐλέγχουσα καὶ ἀφαιρῶν ἐξ ὀμμάτων ὁράσεις καὶ ἰσχὺν ἀπὸ δυνατῶν—τοὺς τῶν γραμμάτων τύπους τοῖς ἑαυτοῦ παρείκαζε καὶ συνέβαλλε, τὰ δ' ἐν αὐτοῖς διειλημμένα καὶ σημαι-

1 πρβλ. βίον Ἰωάννου, § ις' || γράμματος] κῶδ. *δράματος*. — 2 κῶδ. *γρᾶμμα*.— 5 κῶδ. *συνθῆκας*. — 20 βίος Ἰωάν. Δαμασκ. § ιζ'. — 23 κῶδ. *ἄνιαν*. — 24 κῶδ. *γρᾶμμα*. — 27 Κορινθ. 1, γ', 19. — 28 ἀφαιρῶν] οὕτως ἐν τῷ κώδικι.

νόμενα μὴ τὸ παράπαν εἰδέναι μηδ' εἰς νοῦν βαλέσθαι ποτὲ τὰ τοιαῦτα ἐνίστατο· οὐκ ἠγνόησε δὲ τὸν δόλον, καὶ τὴν τοῦ βασιλέως ζητήσας ἐπιστολὴν καὶ ἀναγνοὺς διεμαρτύρετό τε πολλά. "Μὴ ἂν μανείην οὕτω κατὰ τῆς ἐνεγκαμένης καὶ τῶν ἠδικηκότων μηδέν, οἵ με μᾶλλον" φησίν "ἐκ περιόπτου περιφανέστερον ἀπειργάσαντο". Ἀλλ' ὁ τἀληθῆ λελωβημένος ἐκεῖνος καὶ παρακεκομμένος τὴν κρίσιν περὶ τὸ δίκαιον πρὸς τὰ παρὰ [τοῦ] Ἰωάννου λεγόμενα θύρας ὡσὶ βεβήλοις ἐπέθετο, καὶ ἐκωφώθη μὲν ἐξ ἀγαθῶν — φάναι τὸ τοῦ Δαβὶδ — καὶ τὸ ἄλγημα αὐτοῦ κατ' Ἰωάννου ἀνεκαινίζετο, σεσίγηκε δὲ ἐξ ἀγαθῶν τοῦ μὴ ἄδικόν τι καὶ ἀπόφημον φθέγξασθαι· καὶ εὐθὺς κελεύει τὴν δεξιὰν ἐκείνην, ἣ τοῖς κατ' αὐτοῦ, ὡς ἐνομίσθη, ὑπούργησε γράμμασιν, ἀερίαν δημοσίᾳ ἐκπομπευθῆναι, τῆς αὐτῆς ἐκτετμημένην ὁλότητος· ἐπεὶ γὰρ εὐέμπτωτος τινῶν ἡ ψυχὴ πρὸς τὰ χείρω, καὶ μᾶλλον ἐφ' ὧν οὐ λόγος τὰς αὐτῶν ἡνίας ἐδέξατο, οὐ βραδεῖς εἰσι παράτολμόν τι καὶ ἀπηχὲς διαπράξασθαι· ὀλίγον δὲ φασι τὸ ὑγιαῖον ἀεί, τὸ πλεῖον δὲ μετὰ τοῦ χείρονος. Ὁ γοῦν Ἰωάννης βραχὺν καιρὸν εἰς ἀπολογίαν ζητῶν καὶ ὅτι πάθοι κακῶς ἐλέγχους παραστήσας οὐκ ἀγεννεῖς ἀπεπέμπετο· οὐ γὰρ ἀνῆκεν οὐδὲ ἠνέσχετο μικρὸν ἡ ἀπόφασις· καὶ ὃς "Ποίει τὰ δεδογμένα" φησί· "πάλαι γὰρ ἐγὼ διέσκεμμαι περὶ τῶν παρόντων καὶ οὐκ ἀμελέτητά μοι ὅλως προσέβαλες νῦν, ἐπεὶ πολλοῖς πρότερον λογισμοῖς τὸ βουληθὲν ἐβασάνισα". Συναπέστη δὲ καὶ ὁ Κοσμᾶς τῷ ἑαυτοῦ ἀδελφῷ (πῦρ ἄλλο καλάμης δραττόμενον), καὶ πρῶτα μὲν ἱκετείαις, ἔπειτα δὲ αὐστηρίαις κατὰ τοῦ κεκριμένου ἐχρήσατο,—τὰς γὰρ ὑπεροχὰς οὐ δυσωπεῖτο τὸ δίκαιον· ἐκεῖνος δέ ἐστιν ἰσχυρότερος, ὁ τοῖς εὐλογωτέροις κρατῶν—, καί φησιν· "Οἱ τὰ δημόσια τῆς τῶν Ῥωμαίων ἀρχῆς ἀναδεδεγμένοι, οἳ κατά τινα χρείαν ἐξ ἐπιτροπῆς τοῦ κρατοῦντος ἐκεῖσε γράμματα πρὸς τὴν σὴν ἐξουσίαν πολλάκις πεπόμφασιν, αὐτοὶ κοινωνοῦντες ἡμῖν καὶ τῆς αὐτῆς συμμετασχόντες θηλῆς, ὑπὸ γὰρ μίαν πίστιν γεγόναμεν, τὸ δρᾶμα τὸ

8 κῶδ. *ἐκωφώθημεν.* — 9 Ψαλμ. λή', 3 || κῶδ. *καθ' ἰωάννου.* — 10 δὲ] κῶδ. *τε.* — 25 τὰς ὑπεροχὰς—δίκαιον] ἐν τῇ ὥρᾳ *γνωμικόν.*

νῦν ἡμᾶς κατασεῖον διά τινων τὰ ὧδε παροδευόντων ἐμπορίας χάριν, ἐκεῖθέν τε ἀφικνουμένων, ἐπιστολιμαίοις λόγοις τὸ πρὸς τὸ οὗς ἐκεῖσε μὲν λαληθέν, κηρυχθὲν δ' ὑστέρως ἐπὶ δωμάτων, δῆλον τεθήκασι, καὶ νῦν παρέστωσαν οἱ κομίσαντες, πάρεισι γάρ· ἐξαγαγέτω δὲ καὶ ὁ ταμειοφύλαξ τὰ προαποκείμενα γράμματα, ἐξισούσθωσαν δὲ καὶ ἀμφότερα, καὶ εἴ γε πρόσθεν θεῖναι βούλει παντὸς τὴν ἀλήθειαν, ἐξ αὐτῆς ἡμᾶς τῆς ποινῆς ἀθωώσειας". Καὶ ὃς "Τίς οὗτος ὁ κοινωνὸς αὐτόθεν φαινόμενος τῆς καθ' ἡμῶν αἰχμαλωσίας καὶ εἰς δουλείαν ἀπαγωγῆς; τῶν ἔνθεν ὅτι τάχος ἀπόδραθι, μήπως καὶ καθ' ἑαυτοῦ τὴν δικαίαν ἔλξῃς ἀπόφασιν". Ὁ δέ "Τὰς διττάς, εἰ βούλει, τεμνέτωσαν· εἰ δ' ἀνάγκη, καὶ τὴν κεφαλὴν ἀφαιρείτωσαν· τί γὰρ τοῦ παρόντος καιροῦ δεξιώτερον τὴν ψυχὴν αὐτὴν τῆς ἀληθείας καὶ τῆς τοῦ ἀδελφοῦ μου θεῖναι προκινδυνεύουσαν γνησιότητος"; Καὶ ἵν' ἐκκόψῃ τὸ πεπαρρησιασμένον τῆς ἀληθείας ὁ τύραννος, κατὰ πρόσωπον αὐτὸν τυφθῆναι κελεύει καὶ τῇ δημοσίᾳ εἱρκτῇ ἐπὶ τοῦ ξύλου κατασφαλίσασθαι.

18. Καὶ γεγόνασιν οὕτως ἀμφότεροι. Τοῖς γοῦν δυσὶν ἀδελφοῖς ἐπιξέειν τὰς αὐτῶν ψυχὰς περιωδυνίαις ὁ τύραννος μηχανώμενος ἔτι—μείωσιν γὰρ ποιεῖται τῶν συμφορῶν ψυχή, πολλαῖς αὐταῖς προσπαλαίουσα, εἰ μόνον εἰς ὀφθαλμοὺς γνωρίμους ἐμβλέψειε—, διίστησι τὸν Κοσμᾶν, καὶ οὕτως ἀφαιρεῖται τῷ Ἰωάννῃ τὴν δεξιὰν ἐξ ἐπιταγῆς, κἀκείνην τὴν δεξιὰν Κυρίου, ἵν' οὕτως ἐρῶ, ἐπὶ τῆς ἀγορᾶς ἀναρτᾷ. Ἑσπέρας οὖν ἤδη καταλαβούσης καὶ λῆξαι τοὺς τοῦ τυράννου θυμοὺς ὁ Ἰωάννης ὑπωπτευκώς, πρός τινα τῶν ἐμπεπιστευμένων τὸ σῶμα τοῦ ἄρχοντος ἰατρῶν πρεσβείαν ἐστείλατο περί τε τῆς τμηθείσης, περί τε τοῦ κεκλεισμένου· καὶ ὃς εἰσιὼν εἰς τὸν κοιτωνίσκον, καὶ εὐθέτου καιροῦ μετ' ἀδείας

16 κἄδ. *εἱρκτῇ*. — 22 δεξιὰν Κυρίου] Ψαλμ. ριζ', 15, 16. Πρβλ. βίον Ἰωάννου Δαμασκηνοῦ, § ιζ'· «Καὶ δὴ ἐκκόπτεται δεξιὰ ἡ ποιήσασα δύναμιν τοῖς ὀρθοδόξοις ἐν Θεῷ, δι' ὧν γέγραφεν· ἐκκέκοπται δεξιὰ ἡ ἐλέγχουσα τοὺς μισοῦντας τὸν Κύριον, καὶ ἀντὶ μέλανος, ᾧ ἐβάπτετο πρότερον λογογραφοῦσα τὴν τῶν εἰκόνων προσκύνησιν, οἰκείῳ αἵματι βάπτεται. Ἐκκοπεῖσαν τοίνυν ἐκείνην τὴν δεξιὰν Κυρίου, ἵν' οὕτως εἴπω, ἐπὶ τῆς ἀγορᾶς ἐμετεώρισαν». — 23 Ἑσπέρας οὖν ἤδη καταλαβούσης κτλ] Βίος Ἰωάν. Δαμ. § ιή'.

*

ὀραξάμενος, "Τὰ τῆς ὀδύνης" φησὶ "τῷ πεπονθότι ἐκτείνεται καὶ φορητὰ καθέστηκεν οὐδαμῶς· ἴσμεν δ' αὐτόν σε μὴ ἂν ἐθέλειν τὸν τετμημένον ἐξᾶραι τοῦ ζῆν· ἦ γὰρ ἂν ἐκ πρώτης ὁ σίδηρος μέσον διέβη τὸν τράχηλον, καὶ ταῖς σαρξὶν ἐκείνου συνήνωτο· οὐκ ἀνεθείη οὖν ἡ τῆς ἀλγηδόνος ἀκίς, ἕως ἐπ' ἀέρος ἡ κοπεῖσα ἐξήρτηται· οὕτω γὰρ αἱ δόξαι τῶν Γαληνείων βίβλων φασί. Κέλευσον οὖν αὐτήν που ῥιφῆναι καὶ ὑποκρυβῆναι τῇ γῇ· ἀλλὰ καὶ τὸν ἐγκεκλεισμένον, εἴ γε τιμωρίᾳ φιλανθρωπίαν συγκεράσαι πέφυκας δεξιός, λῦσον τοῦ ξύλου, ἵνα ὁμοῦ τὸν θρῆνον μερίσωνται". Εἶξεν οὖν ὁ τύραννος πρὸς τὴν δέησιν καὶ δεξιὰν ἐξήνεγκε τὴν ἀπόφασιν πρὸς ἄμφω δὴ τὰ ζητούμενα.

19. Τῶν γοῦν οἰκετῶν τις, ὁ παρ' ὅλην ἡμέραν παρακαθήμενος τῇ χειρὶ καὶ πολλὰ προσεπιστένων αὐτῇ οἷ προσαπερρίφη παραβαλὼν καὶ ταύτην λαβὼν ὁρμαῖος ἐπάνεισιν, τὴν ἐκτμηθεῖσαν ἐγκεκρυμμένην ἀποκομίζων τῷ δεσποτεύοντι· ὃ δ' αὐτὴν εἰλῆφὼς εἴσεισιν εἰς τὸ κατ' οἶκον εὐκτήριον σὺν τῷ ἐκ δεσμωτηρίου ἐπανιόντι Κοσμᾷ, καὶ ἄμφω πεσόντες πρηνεῖς πρός τινος θείας εἰκόνος, τὸν χαρακτῆρα φερούσης τῆς Θεομήτορος, καὶ τὴν ἐκτετμημένην τῇ πρὶν ἁρμονίᾳ συμπαραθέμενοι, τοιῶνδε λόγων πρὸς ταύτην ἐνήρξατο· "Οἶδας, δέσποινα καὶ μήτηρ τοῦ υἱοῦ τοῦ Θεοῦ, τὸν τρόπον δι' οὗ ἡ χεὶρ ἀποκέκοπται· οὐκ ἀγνοεῖς τὴν αἰτίαν δι' ἣν τὸ ξίφος ἠκόνηται· σὺ τῆς τομῆς ἡ ὑπόθεσις· τὸ πάθος οὐκ ἄλλῳ, τῷ δὲ υἱῷ σου καὶ σοὶ ἀνατίθεται· σὺ καὶ πρὸς τὴν θεραπείαν ἀπόδυθι· εἰ μὴ γὰρ οὐκ ἦν ἐφορμῶσα κατὰ τῶν τοῦ τυράννου Λέοντος θεσπισμάτων καὶ στήλην ἔνθεν ἀνατανήγειρεν ὀρθοδοξίας διὰ γραμμάτων, τάχα ἂν οὐκ ἂν ἀδοκήτοις ἐμπέπτωκεν· ὁ δὲ ζῆλος ὁ περὶ σὲ καὶ τῆς σῆς εἰκόνος καὶ τοῦ υἱοῦ σου ἡ ὕβρις καὶ ἡ ἀθέτησις ταὐτί μοι ἐπήγαγε τὰ δεινὰ

1 κῶδ. *ὀδύνης*. — 3 κῶδ. *ἐξαῖραι* || ἦ] κῶδ. ἤ. — 9 κῶδ. *λύσον*. — 13 κῶδ. *καί πολλα* || κῶδ. *οἱ*. — 15 κῶδ. *ἐγκεκρυμένην*. — 16 κῶδ. *δεσμωτηρίω* || κῶδ. *πρηνῆς πρός*. — 20 δέσποινα] ἐν τῇ ᾠᾷ *εὐχῇ*· ἔχει δὲ αὕτη ἄλλως ἐν τῷ βίῳ Ἰωάννου τοῦ Δαμασκηνοῦ, § ιη΄· ὅρα καὶ Edmond Bouvy ἐν τῇ Byz. Zeitschrift, II, σ. 110-111 || μήτηρ] οὕτως ἐν τῷ κώδικι.

σωρηδόν". Τούτων οὕτω λεγομένων ὁ Ἰωάννης εὐχῇ καὶ σταυρῷ καὶ δάκρυσι κέχρηται, τῇ μὲν ὡς φαρμάκῳ, τῷ δὲ ὡς ὀργάνῳ, τοῖς δὲ ὡς χρίσμασιν, οἷς καὶ τὴν τετμημένην τὸ δεσποτικὸν ἐπάσας ὄνομα περιήλειφε, καὶ εἰς ὕπνον αὐτίκα τρέπεται. Ὁ δὲ Κοσμᾶς ὑπῆρχεν ἐγρηγορώς, καὶ ὁρᾷ τῶν φώτων ὑπαυγαζόντων ὅτι ἡ γραφὴ τῆς εἰκόνος τῆς Θεομήτορος — ὦ τοῦ θαύματος — ἐκλέλοιπεν ἐκ τοῦ πίνακος, καί, ὡς ἂν μὴ Ἰωάννης ἀφυπνισθῇ, ὑπῆδεν ἡσύχως πρὸς τὴν ἔκπληξιν, θαῦμα τί τὸ γενησόμενον ἀναμένων ἰδεῖν· ἡ δὲ παρθένος ἐφίσταται κατ' ὄναρ τῷ πάσχοντι, καὶ τῶν τμημάτων καθαπτομένη καὶ δοκοῦσα συναρμόττειν αὐτά "Ἴδε γέγονας" φησίν "ὑγιής· χρεία μοι γὰρ τῆς ἀρτιουμένης πρὸς τὴν μεγίστην τῶν διοικήσεων, ἐν ᾗ Θεὸς αὐτὸς συνεισέρχεται· γράψει γὰρ οὐ πλάσματα, ἀλλὰ ἄσματα καὶ δογμάτων ὕμνους ἐμοὶ προσαρμόττοντας".

20. Ὁ γοῦν ἰαθεὶς ὡς ἐκ ταράχου διυπνισθεὶς "Ἀδελφὲ Κοσμᾶ" φησίν, "τίνα τὰ νῦν γινόμενα"; καὶ ἀφασίᾳ ἄμφω συνεπεδήθησαν ἐπί τε τῷ τῆς εἰκόνος ἀγράφῳ καὶ τῷ τῆς χειρὸς ὁλοκλήρῳ. Μόλις γοῦν ὀψὲ τὰ συμβάντα καὶ ὅπως ἐπηκολούθησαν ἀλλήλοις ἐξετραγῴδησαν, χειρὶ χεῖρα ψηλαφῶντες, τὴν ὑγιεινοτέραν τῇ ὑγιεῖ, ἔτι δὲ τὰ λείψανα περιφέρουσαν τῆς τομῆς καὶ διεσχισμένην τὴν σάρκα μικρόν τι δεικνύουσαν· κατέρρει δ' ἐκεῖθεν αἷμα πρὸς τούτοις καὶ διεφοίνισσεν. Ἦν οὖν ἰδεῖν τὰς χεῖρας ἐκτεταμένας τῶν δεσποτῶν καὶ τῶν οἰκετῶν καὶ χορείαν κοινὴν συγκεκροτημένην ἐν τῷ αὐτῷ, καὶ τὰ τῷ καιρῷ ὑπῄδετο προσφορώτατα· "Ἡ δεξιά σου χείρ, Κύριε, δεδόξασται· ἐν ἰσχύι ἡ δεξιά σου χείρ, Κύριε, τὴν ἐκτμηθεῖσάν μου δεξιὰν ἐξιάσατο, καὶ διὰ ταῦτα θραύσει ἐχθροὺς καὶ τῷ πλήθει τῆς δόξης σου τοὺς ὑπεναντίους εἰκονοκαύστας συντρίψειε". Καὶ πάντων ὁρώντων ἡ τῆς παρθένου γραφὴ τῷ πίνακι πεφανέρωται. Ἦν οὖν ἐκείνη ἡ νὺξ ἡμέρα καὶ οὐχὶ σκότος καὶ φῶς, τὸ προφητικὸν ἐρεῖν μεθ' ὑπαλ-

4 κῶδ. *περιείληφε*. — 11 κῶδ. *χρεῖα*. — 15 βίος Ἰωάν. Δαμ. § ιθ || κῶδ. *διύπνισθείς*. — 17 κῶδ. *τὸ τῆς χ*. — 24 κῶδ. *ἐντοαυτό*. — 25 Ἐξόδ. ιε', 6, 7.— 30 Ἀμὼς ε', 20.

λαγῆς· ἦχος ἐκεῖ καθαρὸς ἑορταζόντων καὶ φωνὴ ἀγαλλιάσεως ἐν σκηνῇ ἀνδρὸς δικαίου ἠκούετο. Ταῦτ' οὖν οὐκ ἐν κρυπτῷ ἐτελεῖτο, οὐδ' ἡσυχῇ ἐπανηγυρίζετο, ἀλλ' ὁ φθόγγος ἐκεῖνος καὶ ἡ ἐναρμόνιος ἀγαλλίασις καὶ εἰς τοὺς ἐκ γειτόνων διέβαινεν κυκλόσε, καὶ εὐθὺς ἀπήεσάν τινες, οἷς περὶ πολλοῦ τὸ τῆς ἀνοίας ἦν περισπούδαστον, τὸ μὴ ἐκκεκόφθαι τὴν δεξιὰν τῷ Ἰωάννῃ τῷ ἄρχοντι ἀπαγγέλλοντες, ἄλλου δέ τινος δούλου τυχὸν προδεδωκότος δι' εὔνοιαν ἑαυτόν, τοὺς δὲ τὴν ἐκτομὴν ἐνεργήσαντας χρήμασιν αὐτοὺς τὴν ποινὴν ἀνταλλάξασθαι· ὁ γὰρ Ἰωάννης οἴκοι καθήμενος οὕτως ᾄδει καὶ τέρπεται, ὡς εἰπεῖν γαμήλια πανηγυρίζειν αὐτὸν καὶ ἐπιθαλάμιον ὑμεναίων ποιεῖσθαι ἠχήν.

21. Οὕτω προσαγγελθέντων τῶν κατὰ γνώμην, προσεκαλεῖτο καὶ Ἰωάννης αὐτός· ὃ δ' ἀφικόμενος ἐκελεύετο δεικνύειν τὴν δεξιάν· ἧς ἐμφανισθείσης ἐπεφαίνετο καὶ ἔτι ἡ σὰρξ διεσχισμένη καὶ οὐ συνειλημμένη τῷ ἄνωθεν δέρματι· διατμίζον δὲ καὶ τὸ αἷμα ἀπέρρεεν καὶ τῶν ἄκρων ἡ σύμφυσις τῶν ὀστῶν δήλη τοῖς ὁρῶσι προέκειτο· ἦν δὲ καὶ τῆς χειρὸς ἡ κίνησις εὐχερής. Ἐφ' οἷς ὁ βάρβαρος ἔφησεν ἐκπλαγείς· " Τίς ὁ ἰασάμενός σε, ὦ Ἰωάννη, καὶ τίνα τὰ ἐπιτεθέντα σοι φάρμακα"; Ὁ δὲ λαμπρᾷ καὶ διαπρυσίῳ φωνῇ κῆρυξ τοῦ θαύματος γίνεται καὶ " Ὁ Χριστός μου" φησίν, "ὁ παντοδύναμος ἰατρός, ὃς οὐχ ὑστερίζουσαν ἔχει τὴν δύναμιν πρὸς τὴν θέλησιν, τῆς αὐτὸν τεκούσης πρὸς τοῦτο συμπονουμένης μοι, ταῦθ' ὡς ὁρᾷς μοι διέθετο". Καὶ ἅμα τῷ ταῦτα εἰπεῖν ἐφ' ἁπάντων ὄψει τὸ ἐλλεῖπον πρὸς τὴν ὑγείαν ἀποδίδοται, καὶ συνούλωτο οὕτως ἡ σάρξ, ὡς εἰσέτι γραμμὴν τῆς διακοπῆς ὡς ἐν κύκλου τάξει περὶ τὸν μώλωπα φαίνεσθαι, ἣ καὶ συναπέθανεν, ὡς διὰ γραφῆς εἰς πολλῶν ᾀσμάτων πρὸς τὴν παρθένον ὑπόμνησιν αὐτὴν περικείμενος. Καὶ ὁ βάρβαρος· " Ὡς ἔοικεν, ὑπ' ἀνευθύνοις χεῖρα τιμωρὸν ἡ χεὶρ καθυπέμεινε καὶ ἐν οὐχ ὑγιαίνουσι λογισμοῖς ἀπερισκέπτους καὶ ἀλογίστους τὰς ἀποφάσεις σοι ἐξηνέγκαμεν. Ἴσθι οὖν ἡμῖν εὐνοῶν καὶ τὴν προτέραν ἐφέπων

1 Ψαλ. μα', 5. — 4 κῶδ. *κύκλοσε*. — 12 βίος Ἰωάν. Δαμ. § κ'. — 15 κῶδ. *συνηλειμμένη*.—23 κῶδ. *ταῦθως*.—29 κῶδ. *ὑπὰνευθένοις*.

ἀρχήν, καὶ πρῶτος ἔσο ἐν τοῖς συμβούλοις ἡμῶν· ἄνευ γὰρ τῆς σῆς παρεμφάσεως οὐ πράξομέν τι πώποτε τοῦ λοιποῦ". Τῷ δὲ Ἰωάννῃ ταῦτα λῆρος ἐδόκει μακρὸς καὶ περιττὴ φλυαρία, πρὸς ἄλλο νεύοντι τῷ σκοπῷ. Καὶ ὁ Κοσμᾶς "Οὐ δεῖ" φησίν "τοὺς ἅπαξ ἠδικημένους ἠδικηκότας μηδέν, καὶ μᾶλλον εἰ παράφοροι εἶεν [οἱ] ὑποτάττοντες, παραλόγως ὑπείκειν καὶ ἄρχεσθαι· φόβος γάρ, μήπως ἀπὸ χειρὸς τὸ ξίφος τὴν κεφαλὴν ἡμῶν καταλήψεται, προσολισθήματός τινος, ἢ τὰ ἀνθρώπινα, περιπίπτοντος· οἱ γὰρ δεσπόται εὔνοοι τοῖς οἰκέταις πρώτως εἶναι ὀφείλουσιν, ἵν' οἱ ὑπηρέται μᾶλλον τούτοις εἶεν εὐνοϊκώτεροι· ὅταν δὲ τὸ ὑπὸ χεῖρα πιέζηται καὶ εἴη τὸ δεσποτικὸν ἰταμῶς ἀπηνέστερον, παρεκκλίνειν οἶμαι δεῖν τὴν μετ' αὐτῶν συμβιώτευσιν". Καὶ ἀφέντες τὸν οὕτως ἐμβρόντητον ἐξήεσαν οἱ ὁμαίμονες.

22. Δύο γοῦν προκειμένων αὐτοῖς ἀποφάσεων, τῆς μὲν πωλεῖν τὰ ὑπάρχοντα καὶ πένησι διανέμειν ὁριζομένης, τῆς δὲ καταλιμπάνειν οἰκίας ἀγροὺς καὶ τἆλλα πάντα, ἕνεκεν τοῦ ὀνόματος τοῦ δεσποτικοῦ, οὔτε περὶ τὴν πρώτην ποιοῦνται σχολήν, ὅπως μὴ ἐμβραδύνοιεν, οὔτε κατὰ τὴν δευτέραν ἐμπολιτεύονται, ἵνα μὴ ὡς ἔτυχε ταῦτα οἱ ἀκηκοότες καὶ οἱ ἀνήκοντες ἔρισι καὶ μάχαις τὸ καθ' αἷμα συγγενὲς διατέμωσιν, ἄλλων ἄλλο προβεβλημένων κληρονομίας τὸ δίκαιον· ἀλλὰ μέσοι χωροῦσι καὶ τὰ ὑπάρχοντα πάντα διανειμάμενοι πένησιν, αἰχμαλώτοις, δούλοις ἑαυτῶν, οὓς δὴ καὶ ἐλευθερίας ἠξίωσαν, καὶ θείοις σηκοῖς οὐχ ἧττω τούτων καθιερώσαντες, ὡς ἐκ κοιλίας ἐξῆλθον γυμνοί, καὶ ἐξ οἰκίας γυμνότεροι φεύγουσιν, πλὴν τῶν ἀναγκαίων ἐπιβλημάτων. Καὶ ἀπιόντες τοὺς Θείους Τόπους καταλαμβάνουσιν, καὶ τὴν προσήκουσαν αἰδῶ καὶ τὰ νενομισμένα τελέσαντες, τῇ τοῦ θεοφόρου Σάβα λαύρᾳ

1 ἄνευ γ. τῆς σῆς παρεμφάσεως κτλ.] ὁ βίος Ἰωάννου τοῦ Δαμασκηνοῦ παρεμβάλλει κατόπιν ἐπεισόδιόν τι (§ κα'), καθ' ὃ τῆς Δαμασκοῦ ὁ ἀμηρᾶς οὐκ ἐπέτρεπε τῷ Ἰωάννῃ τὴν ἀναχώρησιν. — 6 προσέθηκα τὸ οἱ. — 7 κῶδ. ἀποχειρὸς. — 14 βίος Ἰωάν. Δαμ. § κβ'. — 15 Ματθ. ιθ', 21. Μάρκ. ι', 21. Λουκ. ιβ', 33. — 16 Ματθ. ιθ', 29. Μάρκ. ι', 29. Λουκ. ιη', 29. — 19 ἀνήκοντες] οὕτως ἐν τῷ κώδικι. Ἐν τῷ ἑτέρῳ βίῳ Ἰωάν. Δαμ. § κβ' [Migne τ. 94, σ. 461] τὸ κείμενον ὅλως ἐφθαρμένον· ἔχει γὰρ ὧδε· «ἵνα ὡς ἔτυχε ταῦτα εἰακότος [!] ἔριδες προβαῖεν».

προσέρχονται, κατὰ τὰς προρρήσεις ἐκείνας, ἃς ὁ πρὶν καθηγητὴς αὐτῶν Κοσμᾶς προεσήμανεν. Ὁ γοῦν θεῖος Νικόδημος, ὃς καὶ τῆς λαύρας τότε προὐκάθητο, τοὺς θείους ἐκείνους παιδιογέροντας τῷ πνεύματι κατιδὼν ὀφθαλμῷ ὡς μὲν φωτεινούς, ὡς δὲ καὶ θεοειδεῖς, ἥσθη τῆς προσελεύσεως καὶ ὑπτίαις χερσὶν ὅλως καὶ ἀγκάλαις αὐτοὺς ὑπεδέξατο, καὶ τὸν μὲν Κοσμᾶν, οἷα δὴ καὶ τῷ χρόνῳ προσήκοντα — ἓξ γὰρ πρὸς τοῖς εἴκοσιν ἦν ἐτῶν — καὶ τὸ ἦθος μὲν ἐμβριθέστερον, τῷ δὲ λόγῳ στιβαρώτερον, εὐθὺς μετ' ὀλίγον θαρρήσας ἰδιωτικώτερον μένειν ἀποτέταχε· τὸν δὲ Ἰωάννην, ἐπειδὴ ἑώρα τὸ βέβαιον οὔπω καὶ ἀπὸ χρόνου κτησάμενον — πρῶτον γὰρ ἔτος μετὰ τὴν εἰκάδα διήνυεν — ἀνδρὶ πολλὰ τῇ πείρᾳ μαθόντι καὶ γνῶσιν ἔμπρακτον ἔχοντι ἀναθεῖναι τοῦτον ἐσκέπτετο.

23. Ἀλλ' ὁ μὲν περὶ τοῦ Ἰωάννου λόγος ἀναμενάτω· ὁ δὲ Κοσμᾶς, ἐπειδὴ παρῆλθε χρόνος συχνός — δέκα γὰρ ἐφ' ἑνὶ πρὸς τὸν μονήρη βίον ἐπύκτευσε —, δοὺς τὸ δοκίμιον ἀναντίρρητον τοὺς ἀνὰ πᾶσαν εἶχε τὴν χώραν ἐκείνην ὡς υἱῷ Θεοῦ προσανέχοντας· οὐ γὰρ ἦν ταχὺς τοῦ εἰπεῖν, οὔτε μὴν εὐπρόσιτος τοῦ ἀκούειν παντός· ὃ δ' εἰρήκει, μέτριον ἦν καὶ συλλαβαῖς βραχέσι μετρούμενον, ὁ δὲ νοῦς τῶν οὐρανοῦ ἀψίδων παραψαύειν ἐμάχετο· λακωνίζειν γὰρ ὡς ἐπίπαν ἐβούλετο, ὅπερ οὐκ ὀλίγας γράφειν ἐστὶ συλλαβάς, ἀλλὰ περὶ πλείστων ὀλίγας· καὶ ἡ μὲν φράσις μία καὶ ἡ αὐτή, ὁ δὲ νοῦς ποικίλος καὶ πολλαπλοῦς· τὸ δὲ ἦθος καὶ εἶδος περιεσκεμμένος ἦν καὶ ἐγρηγορώς, ὡς κεκραμένος μεθ' ἡμερότητος· τοῖς πολλοῖς προσηνής. Λέγεται δὲ καὶ ὕπνου τοσοῦτον μετέχειν, ὅσον ἀπόχρη τὸ σῶμα τοῦτο διακρατεῖν· ὁ δὲ τρόπος τοιόσδε· λίθον ὡσεὶ μιᾷ χειρὶ βασταζόμενον μέσον τῆς κέλλης ἐνθέμενον ἐπάνω τούτου καθῆσθαι ὅτε καλέσει ὕπνου καιρός· τὸν δὲ μηδέ που ἐπικλινόμενον, πανταχόθεν δ' ἀπαιωρούμενον, σπᾶν βραχέως αὐτοῦ, καὶ παρεψευσμένου καὶ κατ' οὐδὲν τὴν φύσιν ἀναρ-

2 Νικόδημος] τούτου τὸ ὄνομα παντελῶς ἐσιώπησεν ὁ τοῦ γνωστοῦ βίου Ἰωάννου τοῦ Δαμασκηνοῦ συγγραφεύς, § κγ΄. — 5 κῶδ. ἥσθη. — 24 κῶδ. *ἐγρηγορὸς ὡς κεκραμμένος.*

ρωννύοντος. Τοῦτον, ἐπεὶ καὶ τῆς Ἱερουσαλὴμ ποιμένος διὰ θαύματος εἶχον αἱ ἀκοαὶ Ἠλία—οὐχ οὗτος ἐκεῖνος ὁ διὰ τὸ μόνο θέλητον τὴν ἐν Σινὰ θεοπτίαν ὑπερόριος κατιδών, παρ' Ἀναστασίου τοῦ τότε τὰ σκῆπρα Ῥωμαίων διέποντος τοῦτο παθών,—καὶ περιλάλημα ἦν ἠδὺ τοῖς πάντων στόμασι, ψῆφος ἄνωθεν θεία καὶ κάτωθεν χειρὸς ὑπουργία πρὸς τὸν τοῦ Μαϊουμᾶ περίοπτον θρόνον ἐγκαθιδρύουσιν, ὅτε καὶ τῆς κυρίας ἐπιστάσης τῶν ἡμερῶν, ἡνίκα τὴν κεφαλὴν αὐτὸς τῇ χειρὶ τοῦ ποιμένος ὑπέβαλεν, ἀφανῶς ἀπέπτη καὶ ἦν ὁρώμενος οὐδαμοῦ, ἕως ἐφ' ἱκανὸν καιρὸν πάλιν ὡράθη πυρὸς λαμπάδα τῆς κεφαλῆς ἀποπάλλων εἰς οὐρανοὺς καὶ τῇ μυστικῇ τραπέζῃ χρισθησομένην ταύτην ἐπιτιθείς· ἐφ' ᾧ καὶ τὸν ποιμένα πάντων ἐν ὑπηκόῳ τοιάδε εἰπεῖν· "Χαίρωσοι, δέσποτα παντοκράτορ καὶ σῶτερ ἡμέτερε, ὅτι τῷδε τῷ ἀνδρὶ ἐγὼ μὲν ἐνεχείρισα σώματα σὺ δὲ ψυχὰς καὶ τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας· τὴν γὰρ ἱερωσύνην ἄχραντόν τε καὶ καθαρὰν διασώσειαν".

24. Ἀπῄει γοῦν πρὸς τὴν λαχοῦσαν ὁ κληρωθείς, καὶ οὕτως ἐν ὀλίγῳ τὰς ἐκεῖσε βαρβαρώδεις ψυχὰς μεταβέβληκεν, ὡς ὅτι μὴ πάλαι Κοσμᾶς ἐπέστη πικρῶς ἐπωδύροντο· τίς γὰρ οὕτω καὶ νῷ καταλαβεῖν ὀξύτερος καὶ λόγῳ περιλαβεῖν ἱκανώτερος τὸ ζητούμενον καὶ τοῖς ἄλλοις μεταδοῦναι φιλοτιμότερος καὶ φαρμακεῦσαι φαρμάκοις λόγων ἡδέσιν ἅμα καὶ στύφουσιν τὰ τῆς ψυχῆς ἀρρωστήματα; Ὅτε καὶ τοὺς ποικίλους ὕμνους καὶ τὰς Σειρῆνας Ἀγγέλων ἐξετραγῴδησεν, ὧν τὸ βρῖθος καὶ ἐγκατάσκευον καὶ τὸ πλεῖον εἰπεῖν ποικιλώτερον καὶ πορφυρώτερόν τε ὁμοῦ πρὸς τὸ πανηγυρίσαι καὶ λαμπρότερον ἢ ἐπιχαριτώτερον ἀμίμητον εἰσέτι ἐστὶ καὶ ἔσεται· τὸ δ' ἡρωϊκὸν τῆς λέξεως καὶ εὐσύνθετον ὁμοίως ἀσύγκριτον· τὴν δ' ἁρμονικὴν μουσουργίαν καὶ τὸ τοῦ μέλους οἶμαι θελκτήριον αἱ τῶν Ἀγγέλων λύραι πάντως ἠδέσθησαν· ἔοικε γὰρ ἀφεῖναι ταύτας τοῦ Τρισαγίου τὰ κρούματα, ὅταν αἱ τῶν ὕμνων

5 κῶδ. *παραλάλημα* || κῶδ. *θεῖα*. — 24 ἐξετραγῴδησεν] ἐν τῇ ᾠᾷ τοῦ κώδικος· «*Δοκεῖ μοι τὰ τριαδικὰ τροπάρια λέγειν*» || βρῖθος] κῶδ. *βρίθον*. — 26 κῶδ. *εἰς ἔτι ἔστι*. — 28 κῶδ. *ἁρμονικὴν*.

τούτου χορδαὶ καταπλήττωνται καὶ ἐννεοὺς ἀκλίτοις ἑστάναι ὠσί, μή τι παραδράμῃ τῶν λιγυσμάτων ἀνήκοον. Ἥττηται πρὸς ταῦτα Μωσέως ᾠδὴ καὶ χορὸς Μαριὰμ καὶ Δαβὶδ μουσουργῶν, ἔτι δ' ὁ μυθικώτατος Ὀρφεὺς ἐκεῖνος δοκεῖ ἀνόνητα κελαδεῖν· οὐ γὰρ μόνον ἔχων [ἦν ὁ Κοσμᾶς] τὸ στιβαρὸν καὶ ποικίλον τῶν νοημάτων ἀπό τε φύσεως καὶ μαθήσεως, ἀλλὰ δὴ καὶ ἀπὸ τῆς χάριτος· εἶχε προσεπιτούτοις καὶ τὸ τοῦ πνεύματος ἥμερόν τε καὶ σύμμετρον πρὸς εὐηχῆ πεμπόμενον ἀρτηρίαν ἀπὸ τοῦ πνεύμονος καὶ ποικίλως συγκλωμένην πρὸς ῥυθμοὺς εὐήχους καὶ ἐφηδύνοντας· καὶ ἦν ἡδύφωνος ἐξ ἀποτελέσματος καὶ τῆς μουσικῆς ἐπιστήμης τοσοῦτον μετεῖχεν, ὡς δοκεῖν τὰς ἀντιθέτους εἰς ταὐτὸ συμβαδίζειν καὶ συνιστᾶν δυνάμεις καὶ ἓν ἐξ αὐτῶν τι συνιστᾶν ἀποτέλεσμα—καὶ αὐτὴ γὰρ κατὰ Πυθαγορείους πολυμηνέων καὶ διχὰ φρονεόντων ἐστὶν ἕνωσις—καὶ τὴν δὶς διαπασῶν τελειοτάτην τάσιν τείνειν αὐτῇ καὶ τὴν ἐσχάτην μείωσιν ἄχρι τοῦ ἐπιτρίτου λόγου λαλεῖν.

25. Ποτὲ γοῦν τις τῶν αὐτῷ συνήθων καὶ κοινωνῶν τοῦ τρόπου τε καὶ τῆς ἀρετῆς ὁρῶν αὐτὸν ἐμμελῶς τοῦ μέλους ἐχόμενον καὶ τὰ φρικτὰ συνείροντα ταὐτὶ καὶ θεῖα μυστήρια—οὕτω γὰρ δέον εἰπεῖν, εἰ καὶ κινδυνεύει ἔτι τῆς πρὸς ἀξίαν ὁ λόγος προσκλήσεως—οὐχ ὑπονοίας ἔξω μὴ προσηκούσης περὶ τὸν φιλούμενον ἦν, ὅτι θρύπτοιτο, φησί, καὶ κατακλᾷ τὸν νοῦν, μετεωρίζοιτό τε τὴν διάνοιαν καὶ ὡς ἐν ὀρχήστραις ὑποκεκινημένην φέρει ψυχήν, καὶ ἰδοὺ φησὶν ὁ τῆς θυμέλης ἐπίσκοπος. Συμβὰν οὖν τι τῶν τυχηρῶν ἔνδημος ὁ φίλος τῷ φιλουμένῳ καθίσταται καὶ τοῦτον καταλαμβάνει μέλος τῶν ᾀσμάτων τοῦ θείου δείπνου ἀνακρουόμενον, καὶ "Ἵνα τί" φησίν "οὕτως ἐκτραγῳδεῖς σεαυτὸν καὶ μέλος ᾄδεις, πόρρω καὶ ποιμένος καὶ ἀσκητοῦ πρὸ τῆς ἀληθείας βαλλόμενον, καὶ θείων ἐπιλέλησαι θρήνων, οὓς ἁπάσης ἡδίω κέκρικε Δαβὶδ διαχύσεως; οὓς, εἰ ἐπέγνως, θρήνοις ἂν ἀπαρακλήτοις

1 κῶδ. *καταπλάττονται*. — 5 προσέθηκα τὰ *ἦν ὁ Κοσμᾶς* ὡς ἀναγκαῖα. — 13 Πυθαγορείους] Iamblichi de vita Pyth. σ. 80-84 Nauck. Sexti empir. opera, ἐκδ. Fabric. (Lipsiae 1841), τ. II, σ. 240-241 || κῶδ. *πολυμινέων*. — 15 κῶδ. *λαλᾶν*. — 20 κῶδ. *ὑπονίας*. — 23 κῶδ *συμβᾶν*. — 26 κῶδ. *ἵνατί*· οὕτω καὶ ἑξῆς.

κατέκοπτες ἑαυτὸν στερισκόμενος". Οὕπω γοῦν καὶ ἔτι ἀποσκώπτειν ἐκεῖνος ἠβούλετο μετέστη τῆς ὁρμῆς εὐθὺς ὁ Κοσμᾶς· καταλαβούσης δὲ ἑσπέρας καὶ νυκτῶν ἐκκαλουμένων εἰς ὕπνον τὸν γέροντα, ἐφίσταταί τις ὄψις αὐτῷ τοιάδε ἐνσκήπτουσα καὶ δεικνύουσα· ἐδόκει γὰρ ὁρᾶν ὡς ἐν ἀρχείοις πολλοὺς πονουμένους πρὸς ἕνα τινά, καὶ τοῦτον ἀνακεκλιμένον ἐπὶ στιβάδος λαμπρᾶς, καί τινας ἑτέρους ἔξωθεν εἰσκεκλημένους καὶ στιχηδὸν εἰσιόντας, χλανίσι κεκοσμημένους χρυσαῖς, φακιολίοις τε λευκοῖς περιειλημμένους τὰς κεφαλάς, καὶ τὸν καθ' ἕνα τούτων τῷ δορυφορουμένῳ προσκύνησιν ἀπονέμοντας, εἶτα στιχηδὸν ἑκατέρωθεν παρεμβάλλοντας καὶ ὡς σιγῆς ἀκηκοέναι, ὑποφωνουμένης ὑπὸ τοῦ κήρυκος· "Εἰσίτω ὁ τοῦ μέλους ἔξαρχος ὁ βασιλεὺς εἴρηκεν"· ὁ δ' εἰσιὼν καὶ στὰς ἐπὶ μέσον τὰς ᾠδὰς ἐμέλιζε τοῦ δείπνου τοῦ μυστικοῦ, καὶ ἦσαν αὐτός τε ὁ ἀνακείμενος καὶ οἱ παριστάμενοι ἐννεοί, προσέχοντες τῷ μελουργοῦντι, ἡσθῆναί τε τῶν μελισμάτων ὑπέρ τε τῶν νοημάτων ὑπέρ τε τῶν φωνημάτων τὸν ἀνακεκλιμένον εἰπεῖν. Καί τις ἔξωθεν ἐδόκει δεσμώτης περιαλγούσῃ φωνῇ κεκραγέναι· "Εἰ ἦν τὰ τοιαῦτα ἐπὶ τοῦ τοιοῦδε δείπνου χθὲς καὶ πρότριτα ὑπᾳδόμενα, οὐκ ἂν κατέθελξάν με τῶν Ἰουδαίων τὰ ληρῳδήματα, οὐδ' ἀφεὶς τοὺς ὧδε κρότους τοῖς ἱερεῦσι καὶ γραμματεῦσι συνῆλθον, ὅπου γόοι καὶ ὀδυρμοὶ καὶ ψυχαὶ φονῶσαι μετ' ἰταμότητος· τὰ τελούμενα δ' ἐντεῦθεν μυστήρια οὐκ ἐξεφαύλισα ἄν". Καί τις τῶν παρεστώτων ἀντέθετο γεγωνότερον· "Εἰ ἡ σιγὴ καὶ ἡ φρίκη τῶν μαθητῶν οὐ πέπεικέ σε γενέσθαι βελτιώτερον, οὐδὲ τοῦ Κοσμᾶ τὰ ἄσματα κατέσχον ἂν καὶ ἠλλοίωσαν". Ταῦτα διυπνισθεὶς ὁ ἑωρακὼς κατὰ λεπτὸν τῷ ποιμένι ἀπήγγειλε καὶ καιρίως αὐτίκα τῆς ἐκείνου βάλλει ψυχῆς καὶ "Οἴμοι" πολλὰ ἀνώμωξεν ἑαυτοῦ καὶ "Πῶς ἀκάθαρτος ὢν καὶ κατὰ τὸν Ἡσαΐαν ἀκάθαρτα χείλη ἔχων σὺν ἀκαρθαρτοτέρᾳ ψυχῇ τῷ καθαρῷ τινας ὕμνους προσάξαιμι"; Ἀμέλει καὶ ἐγκλεισάμενος ἑαυτὸν ἐπὶ δυσὶν

1 κῶδ. *ἀποσκόπτειν*.—6 κῶδ. *ἀκεκλιμένον*.—8 φακιολίοις] ἐν τῇ ᾠᾷ τοῦ κώδικος· «*Θαυμαστὸν ὅλον καὶ φρίκης γέμον τὸ παρὸν χωρίον*».—15 κῶδ. *ἠσθῆναι*.—21 κῶδ. *μεθ' ἰταμ.* — 25 κῶδ. *ἠλλοίωσαν*. — κῶδ. *ἀνώμοξεν*. — 28 Ἡσ. ς', 5.—29 κῶδ. *τίνας*.

ἡμέραις τε καὶ νυξὶν ἀπρόϊτος ἦν, οὐδαμῶς τῶν θρήνων ἑαυτὸν ἀνάγων καὶ ἀνακτώμενος. Ἐντεῦθεν πολλή τις ἐνέσκηψε πληροφορία τῇ τὸν Κοσμᾶν διαλοιδορουμένῃ ψυχῇ καὶ μὴ διακεχυμένον εἶναι ἐκ τῆς ὁράσεως πέπειστο· ἀλλὰ τοῖς περὶ τούτου καὶ ἔτι ἐνδιατρίψωμεν λόγοις.

26. Ἀνήρ τις τὴν τύχην μοναδικός, εἷς τῶν ἀσκουμένων ἐν τῷ ἐν Θεκώοις ὧν προφητείῳ, ποτὲ κατά τινα τύχην τῷ ἐπισκόπῳ τῷδε παρέβαλεν· ὅς, ἐπεὶ παντελῶς ἀμείλικτον ἴδοι τοῦτον καὶ στιβαρὸν καὶ μὴ μεμαλαγμένον φέροντα εἶδος καὶ μείλιχον, ἀλλ' ὅλον σύννουν καὶ πρὸς τὰς πυκνὰς ἐφόδους τῶν τὰς αἰσθήσεις κλεπτόντων περίστροφον, θηρίου μηδὲν ἀπεοικέναι τὸν ἐπίσκοπον ἔφασκεν ἀγρίας τ' εἶναι ψυχῆς, καὶ "Πῶς τοὺς ἀνημέρους ὁ θήρ" φησί "μεταπλάσειε"; Κατὰ γοῦν τινα μεγίστην τῶν ἑορτῶν—αὕτη δὲ ἦν ἡ τῶν Ἐπιφανίων τοῦ Θεοῦ καὶ Λόγου πανήγυρις—, τῆς μυστικῆς ἐπιστάσης θυσίας καὶ τῶν ἁγιασμάτων προκομισθέντων τῇ τραπέζῃ ἤδη τῇ ἱερᾷ, ἐπειδὴ μετὰ φρίκης τὸ πᾶν τοῦ βήματος παρίστατο πλήρωμα, συνῆν δὲ καὶ ἐκ τῶν ἱερῶν κιγκλίδων καὶ ὁ μοναχὸς ἐντὸς τῶν ἀδύτων παρεισρυείς, ὁρᾶταί τις νεανίας τὸ κάλλος ἀμήχανος, τὸ φῶς δυσθεώρητος, τὸ εἶδος ἠρέμα ὑπομειδιῶν καὶ διαγλυκαινόμενος, ἀνακαθίσας [ἐπὶ] τῆς θείας τραπέζης, ὥσπερ δοκῶν ἀνακεκλῖσθαι πρότερον ἐπ' αὐτῆς, καὶ τὰς χεῖρας ἐκτείνων ἐν μειδιῶντι τῷ ἰδιώματι, καὶ "Δεῦρο" φησίν, "γλυκύτατέ μοι Κοσμᾶ, τῷ γλυκυτάτῳ μοι συμπλάκηθι Ἰωάννῃ". Ὁ δ' ἐγγίσας ἐφαίνετο καὶ τὰς χεῖρας ἀλλήλοις συνέβαλλόν τε καὶ κατησπάζοντο. Ὡς γοῦν ὅσον ἔδει καὶ τὸν ἀσπασμὸν τελεσθῆναι καὶ τὴν ὄψιν πασίδηλον καταστῆναι προέβαινε τὰ ὁράματα, ὁ μὲν ἐπίσκοπος τῆς κρηπῖδος ἐπέβη τῆς ἱερᾶς, ἡ δὲ τράπεζα μόνα ὡρᾶτο τὰ θέματα φέρουσα. Καὶ τότε συνῆκεν ὁ μοναχός, ὡς ἀγεννῶν ψυχῶν καὶ ἀνάνδρων ἐστὶν ἡ διάχυσις, τῶν

6 Ἀνήρ τις] ἐν τῇ ᾠᾷ τοῦ κώδικος· «*Θαῦμα. Κάθισμα*». — 7 τῷ] κῶδ. *ται.*— 8 κῶδ. *παρέβαλλεν.* — 20 κῶδ. *ἠρέμα* || προσέθηκα τὸ *ἐπὶ.* — 27 κῶδ. *κρηπίδος.* — 28 κῶδ. *ὁρᾶτο·* οὕτω καὶ κατόπιν· ἕτερα τοῦ τύπου τούτου παραδείγματα ὅρα ἐν τῷ Θησαυρῷ Στεφάνου, τ. V, σ. 2139 Didot.

δὲ φρονίμων, ὡς αἱ πέντε παρθένοι, τὸ δι' ὅλου ἐγρηγορὸς καὶ ἐμμέριμνον, αἳ καὶ τὸ ἡδὺ τοῦ ἐλαίου μέτριον ἔφερον.

27. Προσθετέον δὲ καὶ τοῦτο τοῖς εἰρημένοις. Ἀνήρ τις Ἄραψ, τὴν κλῆσιν Ἀντίφιλος, τὴν ἵππων κτῆσιν οὐ μετρητός—καὶ γὰρ ὁ χῶρος οὗτός ἐστιν ἱππόβοτος—, πρός τινος τῶν ἵππων ποτὲ τὸ σκέλος κρουσθεὶς ἀνιάτως εἶχεν, ἐπὶ πολλαῖς θεραπείαις πολλὰ δεδαπανηκώς (κατέρρει γὰρ ἀφ' ὅλου τοῦ σώματος ἐκείνου πᾶς ἰχὼρ καὶ χυμός), καὶ τὸ μὲν σκέλος ὡρᾶτο παρόμοιον κίονι, τὸ δ' ὅλον σῶμα μόνοις ὀστέοις καὶ νεύροις ἐκπεπιεσμένον ὃν συνεδέδετο. Ὡς οὖν ἐν ἀμηχανίᾳ κατέστη τὰ κατ' αὐτόν, οἱ ἵπποι πάντες συμφορηθέντες ἀγεληδὸν πρὸς τὸν αὐτῶν εἰσήλασαν κύριον, καί τις, εἷς ἐξ αὐτῶν,—ὦ τῶν ἀρρήτων Θεοῦ τεραστίων—, "Ἴδε ἡμεῖς ἥκομέν σοι πρὸς τὸν τοῦ Μαϊουμᾶ ποιμένα τὸν ἡμῶν δεσπότην ἐπωμισόμενοι" ἀνθρωπείᾳ τῇ φωνῇ ἀνεβόησε· καὶ ἅμα τῷ ταῦτα ῥηθῆναι φόρτος τοῖς ἵπποις Ἀντίφιλος τίθεται καὶ μεθ' ἡμέρας τὸν θεῖον καταλαμβάνει Κοσμᾶν, ὃς τὴν δεσποτικὴν εὑρέθη ὑμνῶν ἑορτήν, τὴν ἐξ ὄρους συστᾶσαν τῶν Ἐλαιῶν, καὶ τόδε γράφων τὸ μέλος, τὸ "Νέον πῶλον ἐπιβεβηκὼς ὁ βασιλεύς σου, Σιών, ἐπέστη" φάσκον "Χριστός". Ὡς δὲ τὸ μέλος διὰ καλάμου καὶ μέλανος ἐσχεδίαζεν, ἐν τῷ προβαίνειν τὴν χεῖρά τε καὶ τὸν κάλαμον τὸν φθάσαντα γράφεσθαι γράμματα, ἀπὸ μέλανος ὡρᾶτο χρυσᾶ καὶ ἦν διαταράττοντα τὸν γραφέα οὐ φορητῶς καὶ τί μέλλοι ταῦτα εἶναι διηπορεῖτο πρὸς ἑαυτόν· καὶ ἅμα τῷ ταῦτα διαπορεῖσθαι εἴσεισιν ὁ φόρτος ἐκεῖνος ὁ τληπαθὴς θέαμα τοῖς πᾶσιν ἐλεεινὸν καθορώμενος καὶ τὸν ἐκείνου ἐπεκαλεῖτο Θεὸν ἀρωγόν. Ὁ δὲ "Καὶ τίς μοι" φησί "τὴν ὕλην τὴν ψυχικὴν ἐκφορήσειε" φησί "καὶ τὰ συμβάντα κατὰ ταύτην ἐξ ἀλόγου καταθραύσματος ἐξιάσαιτο; ἀλλ' ὅμως τῶν εἰς αὐτὸν πεποιθότων, ἐπεὶ οὐ καταισχύνει τὴν ἐλπίδα Θεός, οὐ ῥᾳθύμως τὴν σὴν θεραπείαν μετέλθομεν". Γράφει γοῦν αὐτίκα τῷ πατριάρχῃ καὶ τὰ κατὰ τὸν πεπονθότα ἀναδιδάσκει κατὰ λεπτὸν καὶ ὅπως ἔλθοι πεπλανημένος

1 Ματθ. κε', 4, 10.— 8 κῶδ. *ὁρᾶτο παρ' ὅμοιον.* — 18 Anthol. graeca carm. christ., σ. 186. — 29 οὐ καταισχύνει τὴν ἐλπίδα] Ψαλμ. κα', 6.

ὧδε, τὴν πηγὴν τῶν ἰαμάτων καταλιπών· ὁ δ' ἀντεπιστέλλει· "Καὶ πάλαι πρὸ τοῦ τὸν ἵππον ἰσχῦσαι τοῦ Ἀντιφίλου καὶ τὸ πάθος καὶ ὁ τρόπος τῆς ἰατρείας καὶ ὁ ἰασάμενος ἐδηλώθη μοι. Μὴ γοῦν μέλε περὶ τὰ δεδογμένα Θεῷ· ἃ γὰρ δι' ἡμῶν ἐνεργεῖ, τὴν ἰδίαν αὔξει δόξαν καὶ τὴν τιμήν". Ὁ οὖν Κοσμᾶς τὸ οἰκίδιον εἰσιὼν καὶ δακρύων ὑποπλησθείς, ὡς καὶ πηλὸν ἐπὶ τοῦ πέδου συμφῦραι δοκεῖν, ἐλιπάρει τὸν μόνον βοηθοῦντα Θεόν, καὶ στραφεὶς ὁρᾷ τὸ δοχεῖον τοῦ μελανίου, ἐν ᾧ περ τόπῳ καθήμενος τῇ γραφῇ προσησχόλητο, τὴν πάλαι πέτραν τοῦ Ἰσραὴλ μιμησάμενον, ἄνω μὲν ἐπ' ἀέρος αἰωρηθὲν καὶ ῥύακα μέλανος βλυστάνον ἐκ παραδόξου, καὶ αὐτίκα κελεύει τὸν πεπληγμένον εἰσενεχθῆναι, διά τινων βασταζόμενον· οὗ τὸν πόδα τῷ μέλανι καταχρίσας εὐθὺς ὑγιῆ καὶ ὡς ὁ θάτερος ἦν ἀποδέδειχε. Καὶ τοῦτο μὲν οὕτωσίν.

28. Ἐπεκώμασέ ποτε τοῖς κατὰ Λιβύην καὶ Αἴγυπτον μέρεσι κακῶν διττῶν Ἐρινύς· ἐπισυνέστησαν γὰρ κατ' ἀλλήλων οἱ τὴν μίαν φύσιν ἐπὶ Χριστοῦ παρεισάγοντες καὶ οἱ τὸ πάθος τὸ σταυρικὸν διὰ τὸ ταὐτὸν καὶ ἓν τῆς ὑποστάσεως κατὰ τῆς θεότητος ὀνειδίζοντες, καὶ ἦσαν ἐξ ἑκατέρων μερῶν οὐ λόγοι μόνον πολλοί, ἀλλὰ καὶ χεῖρες ξιφήρεις κατ' ἀλλήλων ἀντανεγείροντο, ὥστε καὶ τοῦ ταμειοφύλακος, τοῦ τὴν δουκικὴν ἀρχὴν τῆς Ἀλεξανδρέων διέποντος, ἀφαιρεθῆναι τὴν κεφαλήν. Ἔδοξεν οὖν τοῖς ἀντιθέτοις ἄλλον προσλαβέσθαι κριτὴν καὶ διαιτητὴν τῶν ἀντιλογιῶν καὶ ἀμφισβητήσεων· καὶ δὴ Πολιτιανῷ προσέρχονται τῷ τῆς Ἀλεξανδρέων προέδρῳ καὶ τῶν ὑγιεινῶν δογμάτων ὑπασπιστῇ, ἀλλὰ δὴ καὶ τῷ εἰρημένῳ Ἠλίᾳ καὶ ἐξάρχῳ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, τὰ κατ' αὐτοὺς ἀναφέρουσιν, αἰτοῦντες ἐκ τούτων ἁπάντων ἀναιρεθῆναι μὲν δι' αὐτῶν τὴν διχόνοιαν, κυρωθῆναι δ' ἐνὶ τῶν μερῶν τὴν νικῶσαν καὶ οὕτως δικαίᾳ ψήφῳ συνοδικῇ τὴν στάσιν ἐκ μέσου γενέσθαι. Ἀλλ' οὗτοι καὶ τῷ τῆς Νέας Ῥώμης Ταρασίῳ κοινωνῆσαι τῶν βουλευμάτων ἐσκέπτοντο, καὶ κἂν εἰς κριτῶν καταστῆναι τόπον τούτοις οὐχ εἵλοντο. Τὸ παρ'

4 κῶδ. *μέλλε*. — 9 πέτρα τοῦ Ἰσραὴλ] Ἐξόδ. ιζ', 6. — 10 κῶδ. *βλυστάνων*. — 15 κῶδ. *ἐριννύς*. — 28 κῶδ. *συνοδικὴ*.

ἑκατέρων μερῶν συσκεψάμενοι ἄτοπον καὶ ταῖς προδεδογμέναις κρίσεσι ταῖς συνοδικαῖς ἐφεπόμενοι καθαρῷ καὶ προδήλῳ τῷ ἀναθέματι τούτους καθυποβάλλουσιν· ᾧπερ οὐ μόνον σμῆνος θορύβων κατὰ τῶν ἀντιθέτων ὄντων ἀνήγειραν, ἀλλὰ καὶ κατ' αὐτῶν τῶν χριστιανῶν δὴ λοίδορον ἐφ' ὕβρει γλῶτταν ἐκίνησαν. Ἤκασιν οὖν καὶ πρὸς αὐτὸν τὸν πρόεδρον τοῦ Μαϊουμᾶ τὴν αὐτῷ δοκοῦσαν ψῆφον ἐπὶ τοῖς ἀμφιβόλοις αἰτούμενοι· ὁ δὲ πρότερον οὐκ ἂν ἐνέγκοι τὰ δεδογμένα φησί, πρὶν ἐξ ἑκατέρων οἱ κρείττους περιφανείᾳ καὶ λόγῳ συνέλθοιεν. Ἦκεν οὖν ἡ κυρία τῆς συναθροίσεως, καὶ συσκεψάμενος ὡς τὸ ἐν ἀσφαλείᾳ οἰκονομικὸν κρεῖττον ἔστιν ὅτε τῆς ἀληθοῦς καὶ ἀποτόμου ἀποφάσεως, εἰ καὶ δοκεῖ συγκατάθεσις, ὅταν καὶ πρὸς αὐτὴν ὁρᾷ τὴν ἀπόφασιν ὑστέρως ἡ οἰκονομία ὡς διὰ κύκλου ἐπανακάμπτουσα, τοὺς τῆς μιᾶς φύσεως οὐ δέχεται μέν, ἧττον δ' ἡμαρτηκέναι προσαποφαίνεται· τοὺς δὲ τὴν διαίρεσιν παρεισάγοντας καὶ τὴν ὠτειλῶν ὀδύνην αἰδοῖ μήποτε διαβαῖεν πρὸς τὴν θεότητα διισχυριζομένους, ὡς ᾤοντο, κατακρίνει προδήλως καὶ τῶν πόλεων ἐξωθεῖ καὶ μηδεμιᾶς παρρησίας ἀπολαύειν διακελεύεται, τοῦτο πάντως ποιῶν ἵνα λήμματά τινα καὶ προφάσεις καὶ σπέρματα τῆς ἑνώσεως διατηρήσῃ ἐν ἑαυτῷ. Ὡς δὲ ἐπέκειντο πρᾶξιν αἰτοῦντες ἐγγράμματον οἱ μὴ πάντῃ ἀκατακρίτου μοίρας, ὡς ᾤοντο, αὐτὸς ἡμερῶν ἀπήτει διάσκεψιν, τὰ κατεσπουδασμένα προδήλως μεμφόμενος. Μεθ' ἡμέρας οὖν καὶ τούτους μετακλήτους ποιεῖται καὶ τίς ἡ κρᾶσις καὶ μῖξις καὶ ἕνωσις πανσόφως παρίστησι, καὶ ὅτι ἡ ἕνωσίς ἐστιν ἀδιαλώβητος καὶ πραγματικὴν οὐ δεῖ παρεισάγειν διαίρεσιν, τῷ δὲ λόγῳ τῆς διαφορᾶς ἐκ τῶν ἐν ταῖς συνελθούσαις ἰδίων ἐπιγινώσκειν τὴν σύνθεσιν· "οὕτω γάρ" φησί "καὶ τὴν κατήγορον τῶν ἀποβλήτων γλῶτταν ἐκκλίνοιτε καὶ τὴν αὐτῶν διαίρεσιν ἀπελέγξοιτε, στέργοντες τὰς φύσεις οὕτως ἐπὶ Χριστοῦ, ὥσπερ ἐπὶ ψυχῆς καὶ σώματος καὶ τῆς μιᾶς ἐν τῷ συνεῖναι αὐτῶν ὑποστάσεως, μᾶλλον δὲ καὶ ὑπὲρ

3 κῶδ. ὅπερ. — 4 ἀντιθέτων ὄντων] κῶδ. ἀντιθετόντων, ὅπερ, εἰ μὴ διεφθαρμένον, ἔστι πάντως ἐκ τοῦ μεταγενεστέρου τύπου ἀντιθέτω. — 5 κῶδ. γλώσσαν. — 15 κῶδ. τῆς ὠ. ὀδύνης. — 20 κῶδ. πράξιν. — 23 κῶδ. μίξις.

ταῦτα, καθὸ καὶ κατὰ φύσιν καὶ ὑπὲρ φύσιν ἐστὶν ἡ σύνοδος· εἰ δ' οὔκ, ἀλλ' οὐ τὴν ἐκείνων μέμψιν ἐκκλίνοιτε· πῶς γὰρ ὁ μίαν φύσιν ὁμολογῶν κρεμαμένην ἐπὶ τοῦ παθόντος Χριστοῦ οὐκ ἀνάξιοι τὸ πάθος ἐπ' αὐτὴν τὴν θεότητα"; Καὶ ἄλλαις πλείσταις πειθανάγκαις πανσόφοις τῆς ὑγιαινούσης μοίρας αὐτοὺς ἀποδείκνυσι καὶ τῇ ἐκκλησίᾳ λαμπρῶς ἀποδίδωσι. Τῶν δὲ ἐξοστρακισθέντων ἐκείνων οὐδεὶς ἐπέστραπτο πρὸς τὴν ἀλήθειαν, πλὴν εἴς τις Ἰκάριος κεκλημένος, ἀπὸ χειρῶν τοῦ ζῆν συλλέγων τὰς ἀφορμάς· αὐτὸς σὺν οἴκῳ παντὶ τῆς γλώττης ἡττᾶται Κοσμᾶ· πανταχόσε γὰρ ἐξωθοῦντο τῶν πόλεων, κατὰ τὰς ἀποφάσεις αὐτοῦ.

29. Ἀλλ' ἵνα μὴ τῷ μήκει βάρος ταῖς ἀκοαῖς ἐπισυναγάγωμεν, τῶν μελισμάτων μόνον ἐπιμνηστέον αὐτοῦ· οἷς οὐ τοσοῦτον προσετετήκει καὶ ἐνησχόλητο, ἀλλ' ἔστιν ὅτε καλέσοι καιρὸς αὐτὰ διεχάραττεν. Καὶ πρώτως ἐνάρχεται τῶν ᾀδομένων ὕμνων ἐν ταῖς ἑωθιναῖς καὶ ἑσπερινοῖς ὕμνοις τοῦ καθαρσίμου τῆς νηστείας καιροῦ· ταῦτα γὰρ καὶ μόνα τὰ ἰδιάζοντα μέλη, κοσμούμενα γλυκυτάτοις νοήμασι καὶ λιγυροῖς μέλεσιν ὡραϊζόμενα, ἐφ' ὅλης ἐξέθετο τῆς νηστίμου τροφῆς. Εἶτα τὴν πρὸ τοῦ θείου Πάσχα ἑβδομάδα ὑμνεῖ καθ' ὁλόκληρον, ἀρξάμενος ἀπὸ τοῦ κατὰ τὸν θεῖον Λάζαρον θαύματος, μόνης ἐξαιρουμένης τῆς νυκτὸς ἐκείνης, καθ' ἣν ἡ προδοσία καὶ ἡ κρίσις τοῦ δεσπότου ἐγένετο· τὸ γὰρ τότε μέλος τριῴδιον Σωφρόνιος Ἱεροσολύμων ἐξέθετο. Εἶτα μεταβαίνει καὶ πρὸς τὰς καθ' ἑξῆς τοῦ δεσπότου Χριστοῦ καὶ Θεοῦ ἑορτάς, ἃς τῇ ἐκκλησίᾳ ὁ προειρημένος Σωφρόνιος κατὰ τοὺς καιροὺς αὐτῶν ἀποτέταχε (οὗτος γάρ ἐστιν ὁ τὴν σύνταξιν τῆς ἐκκλησιαστικῆς ἁπάσης ἀκολουθίας διορισάμενος καὶ διελὼν τὴν τοῦ

2 οὔκ] κῶδ. *εἰδ' οὖν*.—6 κῶδ. *ἐξωστρακ*.—10 τὸ *γὰρ* μετὰ τὸ *ἐξωθοῦντο* ἐν τῷ κώδικι. — 13 κῶδ. *αὐτὰς*. — 15 ἐν τῇ ᾠᾷ τοῦ κώδ. «*Σημείωσον ὅτι τὰ ἰδιόμελα στιχηρὰ τῆς Τεσσαρακοστῆς τοῦ κυροῦ Κοσμᾶ εἰσίν*». — 20 Λάζαρον θαύματος] λέγει δὲ περὶ τῶν κανόνων τῆς Μεγάλης Ἑβδομάδος, οὓς ὅρα ἐν τοῖς Ἀναλέκτοις, τ. II, σ. 7-14, 34-37, 55-56, 69-72, 86-21, 138-141, 164-173. — 22 νῦν τὸ πρῶτον ἀκούεται, ὅτι τὸ τριῴδιον τοῦ Προσαββάτου, ὅπερ ἀποδίδοται κοινῇ τῷ Κοσμᾷ, συνέταξε Σωφρόνιος ὁ Ἱεροσολύμων· πρβλ. Ἀναλέκτων τ. II, σ. 147 κέ. — 26 κῶδ. *διωρισάμενος*.

θείου εὐαγγελίου ὑφὴν καὶ τῶν τοῦ Παύλου ἐπιστολῶν εὐαρμόστως ἑκάστῳ τῶν ἁγίων προσώπῳ καὶ ἑκάστῃ πανηγύρει τοῦ υἱοῦ τοῦ Θεοῦ), καὶ πρώτως ὑμνεῖ Κοσμᾶς τὸν κατὰ τὸ ἀνθρώπινον τόκον Χριστοῦ, εἶτα καθ' ἑξῆς τοὺς διὰ τὸν μνήστορα Ἰωσὴφ συγγενεῖς αὐτοῦ, Δαβίδ, Ἰάκωβον φημὶ καὶ Ἰούδαν καὶ Συμεών· ἐν τῷ μέσῳ δὲ καὶ τὴν τῶν βρεφῶν κατὰ τοὺς ἑσπερίους ὕμνους ἐν τρισὶ τροπαρίοις ἐμέλισεν ἑορτήν, πολλὴν δεινότητα καὶ μεγαλοφωνῆ κεκτημένοις στιβαρότητα καὶ τὸ ἦθος αὐτοῦ τὸ ἐμβριθὲς ἀκριβῶς παριστάνουσιν. Εἶτα πρὸς τὰ κατὰ τὸν Ἰορδάνην θαύματα τὴν τοῦ λόγου ῥύμην ὀχετηγεῖ, κροτεῖ τὴν ἐν τῷ Ἱερῷ ἀπόδοσιν τοῦ Θεοῦ· καὶ τὴν κατὰ τὸ Θαβὼρ ἀστραπὴν ὡς ὅσον ἐξῆν ἰδεῖν οἱ μαθηταὶ τεθεάκασιν, οὕτω καὶ οὗτος ὅσον ἐξῆν εἰπεῖν παρεστήσατο· τούς τε ἐξοδίους ὕμνους τῆς Θεομήτορος, εἴτε συνθρηνῶν τοῖς συνιοῦσιν αὐτόπταις, εἴτε συνεξιστάμενος τοῖς συμπαροῦσιν ἀρχιεράρχαις, τέως οὕτως ἐξύφανεν.

30. Ἀλλὰ καὶ περὶ τοὺς ὕμνους τῆς Σταυρικῆς Ἀνυψώσεως τοιοῦτόν τι γέγονε. Κατὰ τοὺς ἐτησίους κύκλους τῇδε τῆς πανηγύρεως τὸν Σταυρὸν ἀχράντοις χερσὶν ἐπὶ τῆς λαχούσης ποίμνης αὐτὸς ἀνύψου ποτὲ κατὰ τὸ σύνηθες, ὡς μετὰ τὰς ὀρθρινὰς ᾠδάς, ὧν αὐτὸς αὐτουργός, καὶ ἡ τοῦ τιμίου ξύλου ἐφ' ὕψους ἐτελεῖτο

3 κῶδ. *πρῶτος* || τὸν εἰς τὴν Χριστοῦ γέννησιν κανόνα ὅρα ἐν τῇ Anthol. σ. 165-169. Νικοδήμου ἑορτοδρόμιον. Βενετ. 1836, σ. 65-99. — 5 Δαβὶδ Ἰάκωβον] ὁ πρὸς τούτους ἀσματικὸς κανὼν τοῦ Κοσμᾶ ψάλλεται ἡμέρᾳ Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν· ὅρα Μηναῖον Δεκεμβρίου ἐκδ. Βαρθολομαίου [Βενετία 1890, σ. 210 κέ] || Ἰούδαν] ὁ νῦν εἰς Ἰούδαν τὸν ἀπόστολον ψαλλόμενος κανών ἐστι Θεοφάνους τοῦ Γραπτοῦ || Συμεών] ὁ νῦν εἰς Συμεῶνα τὸν συγγενῆ τοῦ Κυρίου ψαλλόμενος κανών ἐστιν Ἰωσὴφ τοῦ ὑμνογράφου. — 7 ἐν τρισὶ τροπαρίοις ἐμέλισεν] ἀγνοοῦνται ταῦτα, εἰ μή ἐστι τὰ νῦν ἀνώνυμα ἐν τῷ Μηναίῳ τοῦ Δεκεμβρίου [ἡμέρᾳ κθ'] περιεχόμενα, τὰ ψαλλόμενα ἐν τῷ ἑσπερινῷ τρία στιχηρὰ προσόμοια || μεγαλοφωνῆ] οὕτως ἐν τῷ κώδικι. — 9 Ἰορδάνην θαύματα] νοητέον ὧδε τὸν εἰς τὰ Θεοφάνια κανόνα. Anthol. σ. 169-173. Νικοδήμου ἑορτοδρόμιον σ. 127-166. — 10 ἀπόδοσιν τοῦ Θεοῦ] ἐν τῇ ᾠᾷ τοῦ κώδικος· « *ἤτοι τὴν Ὑπαπαντήν* ». Anthol. σ. 173-176. Νικοδ. ἑορτοδρ. σ. 180-205. — 11 ἀστραπὴν = Μεταμόρφωσιν. Anthol. σ. 176-180. Νικοδ. ἑορτ. σ. 587-645. — 13 ἐξοδίους ὕμνους] νοητέον τὸν εἰς τὴν κοίμησιν τῆς Θεοτόκου κανόνα. Anthol. σ. 180-183. Νικοδ. ἑορτ. σ. 649-678. — 16 τὸν τῆς Σταυρικῆς Ἀνυψώσεως κανόνα ὅρα ἐν τῇ Anthol. σ. 161-165. Νικοδ. ἑορτ. σ. 1-62. — 20 κῶδ. *ὧν*.

ἐμφάνεια καὶ πάντες τὸ παρὰ Κυρίου ἐλεηθῆναι ἐκέκραγον· καί ποτε τῆσδε κροτουμένης ὁλονύκτως τῆς πανηγύρεως ὁ συνήθης ἐφίσταται μαθητής, "Πολλὰ τῆς κέλλης ἐντὸς φῶτα" φάσκων "ὑφάπτονται καὶ μήποτε πῦρ τὰς ταύτης ἔνδον βίβλους καὶ τὰ σχεδάρια κατανέμεται"; Ὁ δ' ἐπὶ τῷ μηνύματι διαταραχθεὶς ἄπεισιν ἐπιτατικώτερον, καὶ διάρας τὰς θύρας, ἐντὸς εἰσιὼν ὁρᾷ γυναῖκα βασίλισσαν ἀπὸ τοῦ φαινομένου ἐλεγχομένην σχήματος καὶ στολίσματος, ἐπὶ τοῦ κοιτωνίσκου δὲ καθημένην αὐτοῦ, καὶ ἔτι συμπεσὼν τὴν ψυχὴν ἀπὸ τοῦ ὁράματος "Φεῦ μοι τῶν θεαμάτων" φησίν· "ἔξιθι τῶν ὧδε, μήποτε καὶ Δαίμων ἡμᾶς μηχανᾶται λυπεῖν". Ἡ δὲ "Ἐκ Θεοῦ σοι ἥκω, Κοσμᾶ", φησὶν καὶ πάντων μὲν τὰς αἰτήσεις τὰς ἐπὶ τῆς τοῦ θείου Σταυροῦ ἀνυψώσεως ἐκεῖνον ἀσπάζεσθαι ἀπαγγέλλουσα, "τὰς δὲ τοῦ σοῦ ποιμνίου μηδ' ὅλως παραδεχόμενον· βούλεται γὰρ αὐτοὺς ἀφεῖναι τὸ παρὰ Κυρίου ἐλεηθῆναι αἰτεῖν, ὅταν ἐφ' ὕψους αἴρῃς τὸ ξύλον τὸ ἀσπαστόν, καὶ παρὰ σοῦ ἐκτεθειμένους ὕμνους ὑπάδειν κατὰ τὸν τότε καιρόν· ἐμὲ δὲ ἴσθι τὴν αἰτίαν εἶναι τῆσδε τῆς πανηγύρεως". Καὶ αὐτίκα τὴν τελευταίαν ᾠδὴν διπλασιάζει Κοσμᾶς, "ἵνα τὸ μέλος" φησὶν "ἐξαρκῇ, ἕως ὁ λαὸς τῷ Σταυρῷ ἁγιάζεται". Οὕτως ἡ προσθήκη τῶν μελισμάτων ἐγένετο.

31. Τὸ δὲ λέγειν ἐν Ἀντιοχείᾳ παραγενέσθαι τὸν ποιητήν, ἢ τῇ Βασιλευούσῃ παραβαλεῖν, κἀκεῖσε τὸ μέλος ἐκθεῖναι, πάντῃ τῆς ἀληθείας ἀπώλισθε· πρῶτον μέν, ὅτι μὴ τῆς λαχούσης ἐξήει Κοσμᾶς, ἀφ' οὗ καιροῦ τὰς ἡνίας αὐτῆς ἀνεδέξατο, κἀκεῖ βιοὺς ἐπὶ ἔτεσιν ἑπτακαίδεκα τὸ σῶμα τῷ ἐκεῖσε χώματι ἐκαλύψατο· εἶτα, κἂν ἐπεξενίσθη τῇ ἐν Ἀντιοχείᾳ τοῦ Βαπτιστοῦ μονῇ, ὡς φασιν, ὑπῆδε δὲ τὰ μέλη ταὐτί, ἡμάρτανον δὲ περὶ τὴν λέξιν οἱ ψάλλοντες, πάντως περὶ τὸν νοῦν πρωτίστως ὠλίσθαινον· καὶ πῶς οἱ οὕτως ἰδιωτικώτερον ἔχοντες ἐζήτησαν ἂν τὸν Κοσμᾶν ἑαυτὸν καταστήσαντα δῆλον ἐκθέσθαι προσθήκην μέλους, ἵν' ἐκ τοῦ ῥυθμοῦ καὶ τῆς συνθήκης τῆς λέξεως καὶ τῆς τῶν νοημάτων

6 κῶδ. *ἄπεισιν*. — 14 κῶδ. *αὐτὰς*. — 18 κῶδ. *τελευτέαν*. — 21 πρβλ. σ. 287.

ὁμοιότητος αὐτὸν πεισθεῖεν εἶναι τὸν τὸ μέλος συνθέμενον οἱ μὴ κατ' οὐδὲν εἰδότες κρίνειν λογικοὺς χαρακτῆρας καὶ νοημάτων ἀκρίβειαν; Ὁμοίως καὶ ἐπὶ τῆς Βασιλίδος· εἰ ἦσαν πολλοὶ δὴ καὶ ἄρχοντες τῷ λόγῳ καθ' ἑκατέρων πολλῶν τριβῆς τε ἀγῶνι μυσταγωγῶν τε ἀφθονίαις (λέγεται δὲ τὸν Κοσμᾶν ἑαυτὸν ἀπελέγχειν καὶ δῆλον ποιεῖν διὰ τὸ ᾀδόμενον τότε μέλος ἀνάρμοστον, ἵν' εὐρύθμως παρὰ πάντων ὑπᾴδεσθαι πείσειε), μυριάκις ἂν ἠρετίσατο καὶ τὴν ὅλην ἀφανισθῆναι τοῦ μέλους ὑφήν, ἢ ἐκ φιλαυτίας δῆλον καθιστᾶν ἑαυτόν· πόρρω γὰρ ἀπῆν τοῦ ἀνδρὸς τὸ κομπηρόν τε καὶ φίλαυτον.

32. Ἀλλὰ καὶ τὴν οὕτω σεπτὴν καὶ παγκαλλῆ τοῦ πνεύματος δόσιν καὶ [τὸν] τῶν μαθητῶν ἐπὶ κεφαλῆς ἐμπρησμὸν ἢ σοφισμὸν διὰ πυρίνου τοῦ πνεύματος μετὰ τοῦ πνεύματος ἐξυμνεῖ, καὶ τὸν πρόεδρον Ἀλεξανδρείας Προτέριον εἶτα καὶ ἐξ αἵματος στεφανίτην ἀστείως ἄγαν κοσμεῖ· καὶ τὸν ἐν μάρτυσιν ἐξοχώτατον Γεώργιον ἀνυμνεῖ, διὰ τὸ συμφυλέτην εἶναι καὶ συμπατριώτην καὶ Παλαιστιναῖον καὶ τὸ γένος ἔλκειν περιφανές. Πείθει δὲ αὐτὸν καὶ ὁ ἐξ Αἰγύπτου ἥκων θεῖος Μηνᾶς, τὸν συναθλητὴν νυκτὸς ἀποστείλας Βικέντιον, τὰ κατ' αὐτοὺς ἀνδραγαθήματα διαγράψασθαι, "Ὃς ἡμῖν τήνδε τὴν χάριν" ἐνσκήπτων, "τὸ μὴ λήθῃ τόνδε τὸν βίον τὰ καθ' ἡμᾶς παρελθεῖν· καὶ γὰρ ἐκ γειτόνων ἐσμέν" φησίν· "ἡμεῖς δ' οὐκ ἐσόμεθα ἀμνήμονες περὶ τὴν τῆς χάριτος ἀνταπόδοσιν". Συνεπιτούτοις καὶ τὸν πολύτλαν Ἰὼβ μεγαλύνει· προσέκειτο γὰρ ἀεὶ τῷ τοιούτῳ καὶ συνεχῶς ἐπὶ γλώττης καὶ διὰ θαύματος ἔφερεν, οὐ μόνον διὰ τὴν ἀρετὴν καὶ τὴν κατὰ πάθους παντὸς καὶ πολέμου ἀνδρίαν καὶ ἔνστασιν, ἀλλὰ καὶ διὰ τὸ γείτονα εἶναι τὴν Ἀράβων τῷ Μαϊουμᾷ. Καὶ ἄλλους οὐχ ἥττους

11 κῶδ. *παγκαλῆ*. — 13 νοητέον τὸν εἰς τὴν ἁγίαν Πεντηκοστὴν ᾀσματικὸν κανόνα. Anthol. σ. 201-204. Νικοδ. ἑορτοδρ. σ. 526-552. — 14 τὸν εἰς Προτέριον ᾀσματικὸν κανόνα ἀγνοοῦμεν. — 15 περὶ τοῦ εἰς Γεώργιον τὸν μεγαλομάρτυρα κανόνος ὅρα ἀρχιμ. Σεργίου Полный Мѣсяцесловъ Востока, II, σ. 105. — 18 ἀγνοοῦμεν τὸν ὑπὸ Κοσμᾶ ποιηθέντα κανόνα ἢ μαρτύριον τῶν ἁγίων Μηνᾶ καὶ Βικεντίου· ἐν τοῖς Μνημ. ἁγιολογικοῖς Θεοφίλου Ἰωάννου περιέχεται συγγραφὴ περὶ τούτων ἀνώνυμος [σ. 284-324]. — 23 τὸν εἰς Ἰὼβ κανόνα ὅρα ἐν τῷ Μηναίῳ τοῦ Μαΐου [Βενετ. 1890], σ. 17.

τούτων ὑμνεῖ, οὐ καταχρᾶται δέ γε τοῖς μέλεσιν. Ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν.

33. Ὁ γοῦν τῆς τοῦ θείου Σάβα λαύρας τότε κηδόμενος διασπουδῆς ἐτίθει πολλῆς ᾧ τὸν Ἰωάννην ἀναθήσοι ἀναχθησόμενον, καὶ δόξαν αὐτῷ διὰ τὸ τοῦ βίου περιφανὲς καὶ τὸ τῆς γνώσεως περιὸν ἐνὶ τῶν μεγάλων ἀνδρῶν παραδοῦναι τὸν νέηλυν, ὃν ᾤετο τῆς ὅλης λογάδος τὸν ἔγκριτον, εἰσκαλεῖται πρῶτον καὶ ἐγχειρίζειν ἐπιχειρεῖ· ὃ δ' ἀπαναινόμενος ἦν, οὐκ ἀρκεῖν εἰς τοσούτου προστασίαν ἀνδρὸς περιόπτου λόγῳ καὶ γένει διενιστάμενος. Παρῆκε τοῦτον ὁ φροντιστὴς καὶ εἰσκαλεῖται τὸν δεύτερον καθεξῆς· ὃ δ' ἐρωτᾷ καὶ οὗτος τὴν ἄφεσιν· τρίτος μετ' ἐκείνους ἄλλος εἰσήγετο, μετὰ δὲ τούτους οὐ μέτριοι, καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὕστερον δ' εἴσεισι γέρων τις, τὸ ἦθος ἁπλοϊκός, τὸν τρόπον ἐπιεικής, τὴν ἔντευξιν προσηνής, τὴν ὁμιλίαν ἡδύς, τὴν φρόνησιν σταθηρός, τὴν ἀγάπην ἀνυπόκριτος καὶ ἀπροσωπόληπτος, καὶ πρόθυμος ἐξαιτεῖται τὸν Ἰωάννην, πρόθυμον αὐτὸν εἰς τὴν κέλλαν ἀναδεξάμενος· ὅς, ἐπεὶ οὐ λόγῳ καὶ κενῇ σοφίᾳ πεπαίδευτο, πρᾶξιν δ' οἶδε τῆς γνώσεως ἔμπορον, τὸν καλὸν θεμέλιον πρῶτον αὐτῷ ὑποτίθησι, τὸ μηδὲν πράττειν ἰδίῳ θελήματι· "καὶ γὰρ ἐγώ σοι", φησίν, "ὅ τι δέοι ποιεῖν ὑποθήσομαι, θύειν μὲν ἱδρῶτος ἐν προσευχαῖς, διὰ τὸ τούτων ἐκτενὲς καὶ ἐπίπονον· καὶ τοῦτο μὲν πρῶτον εἰς τὰ διὰ τοῦ σώματος ἐνεργούμενα, τὰ δ' εἰς τὴν ψυχὴν μηδὲ μίαν διαζωγραφεῖν κοσμικὴν φαντασίαν, μηδ' εἰκονίζειν ἐν αὐτῇ μορφὰς πραγμάτων οὐ καθηκόντων, τὸν νοῦν ἀπὸ παντὸς φυσήματος διακένου τηρεῖν, μήτε μὴν τῷ τῶν μαθημάτων πλήθει γαυριᾶν καὶ ἐπαίρεσθαι καὶ ἐν οἷς μεμαθήκεις τὸ πᾶν καταλαβεῖν οἴεσθαι". Καὶ τοῦτο δὲ προσεπέθετο· «Μὴ πρός τινα ἐπιστείλῃς ἐπιστολήν, μὴ τὸ παράπαν φθέγξῃ τῶν τῆς ἔξω παιδείας τι, μηδ' ὁτιοῦν ἐκτὸς τῆς πρὸς ἐμὲ ὁμιλίας ἐρεῖς· σιωπὴν δὲ ἄσκει μετὰ συνέσεως· οἶδας γὰρ τοῦτο μὴ μόνων τῶν καθ' ἡμᾶς φιλοσόφων εἶναι παράγγελμα, ἀλλὰ καὶ Πυθαγόραν ἐκεῖνόν ποτε τὸν Σάμιον τοῖς μαθηταῖς,

17 κενῇ σοφίᾳ] Κολασ. β', 8. — 18 καλὸν θεμέλιον] Τιμοθ. 1, ις', 19.

μυουμένοις ἄρτι τὰ τῆς φιλοσοφίας μυστήρια, πολυετῆ ὑποτίθεσθαι τὴν σιγὴν φασί· καὶ μὴ δόξῃς ἀκαίρως τοῦτό με φθέγγεσθαι· εἰς τοῦτο γὰρ καὶ Δαβὶδ ὁδηγείτω σε, ὃς φησίν "ἐσίγησα ἐξ ἀγαθῶν", τὴν ἕως καιροῦ σιωπὴν καὶ ἀπ' αὐτῶν τῶν καθηκόντων ὑπαινιττόμενος· οὐ γὰρ δεῖ διδάσκειν τοὺς πρὸ τῆς γενειάδος τοὺς γέροντας καὶ ἕως ὁ βίος τὸ ἀβέβαιον δίδωσι. Δεῖ γοῦν πρῶτον μαθητιᾶν, ἵν' ὡς ἐν ζωγρείοις ἐντεθῇ τὰ νοήματα, καὶ οὕτως ἐξάγειν καινά τε καὶ παλαιά· τοῦτο δ' αὐτὸ καὶ ὁ ῥηθεὶς προφήτης αἰνίττεται, "Ἐθερμάνθη" λέγων "ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ τῆς διανοίας μου ἐκκαυθήσεται πῦρ" τὸ τῆς γνώσεως· ὤδινε γὰρ μετὰ τὸν ζῆλον καὶ τὴν ἑτέραν ἀνόρθωσιν, καὶ πῦρ αὐτὴν ὀνομάζει· καθὸ φωτίζει, τὰς κρυφίους πάγας δήλας καθίστησι».

34. Ταῦτα τῷ Ἰωάννῃ ὁ γέρων παρήγγελε καὶ οὐκ ἦν καθ' ὑδάτων γράφων, οὐδὲ σπείρων κατὰ πετρῶν, ἀλλὰ σπείρων εἰς γῆν τε καλὴν καὶ εὔτοκον καὶ πολλῷ τῷ καρπῷ ἐμβρίθουσαν· Χρόνος οὖν παρῆλθεν οὐ μετρητὸς καὶ ὁ Ἰωάννης ἦν διὰ πάσης πείρας τῷ γέροντι ἐπιστημόνως παιδοτριβούμενος καὶ κατὰ πάντα τὴν ὑπακοὴν ἀνεπισφαλῶς ἐνδεικνύμενος· τοῦτο γὰρ καὶ μόνον ἐν διανοίᾳ μέσῃ, κατὰ τὸ γεγραμμένον, ἐπ' ἔργου παντὸς καὶ ἐπιτάγματος ἔφερε, τὸ ποιεῖν, ὡς ὁ Παῦλος παρακελεύεται, τὸ ἐπιταττόμενον χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. Εἶτα τοῖς μείζοσι τῆς ὑπακοῆς ἀγωνίσμασιν ἐγγυμνάζων ὁ γέρων τὸν ἀθλητήν, τί μηχανᾶται; σπυρίδας, ἃς ἐργόχειρον εἶχεν, πολλὰς συναγηοχώς, πρόφασιν προβάλλεται τοιανδί· "Ἤκουσταί μοι, τέκνον, ὡς ἐν Δαμασκῷ τιμᾶσθαι πολλοῦ τὰς σπυρίδας, ἥπερ ἐν Παλαιστίνῃ, κατά τινα χρείαν ἐμπίπτουσαν· καὶ χρειῶν, ὡς οἶδας, ἡμῖν οὐ μόνον τῶν πρὸς τὸ ζῆν, ἀλλ' ὅτι κατὰ τὰς Παύλου χεῖρας, αἳ πολλοὺς διηκόνησαν, καὶ ἡμεῖς ἑτέρους κοινωνοὺς τοῦ πόνου λαμβάνειν ὀφείλομεν. Ἀνελόμενος οὖν ἁπάσας ὅτι τάχος ἐκεῖσε ἐπεί-

3 Ψαλμ. λη', 3. — 9 Ψαλ. λη', 4. — 15 Corpus paroem., II, σ. 27, 48, 472. — 16 σπ. εἰς γῆν καλὴν] Ματθ. ιγ', 8, 23. Μάρκ. δ', 8, 20. Λουκ. η', 8, 15 || κῶδ. *ἐνιβρίθουσαν*. — 19 κῶδ. *ὑπακουὴν*. — 21 Φιλιππ. β', 14. — 22 κῶδ. *γογγϊσμῶν*.

χθητι, καὶ μὴ ἄλλως αὐτὰς ἀποδῷς, μηδὲ παρὰ μικρόν, εἰ μὴ ὥσπερ ἐγώ σοι ἐντέλλομαι", ὑπὲρ τὸ διπλάσιον τοῦ ἀξίου τὸ τίμημα ὁρισάμενος· τοῦτο δ' ὁ γέρων ἐμηχανήσατο, ὥστε πομπιᾶν καὶ πλανήτου βίον ἐπὶ τῆς ἐνεγκαμένης παθεῖν. Εἶξεν οὖν εὐθὺς ὁ μέλλων τὸν ὄφιν τῆς οἰήσεως συμπατεῖν, καὶ τὸν φόρτον ἐπωμισάμενος τὴν πατρίδα καταλαμβάνει μεθ' ἡμέρας πολλάς, ῥακενδυτῶν, αὐχμηρὸς καὶ ταῖς ὁδοιπορίαις ὅλος κατάκοπος, τοῦτο μόνον δεξάμενος εἰς ἐφόδιον, τὸ τὴν γλῶτταν ἐντὸς καὶ μόνον τῆς πόλεως ἄνετον σχεῖν· ἐκβάντα δ' αὐτήν, τὴν προτέραν πέδην ἀναλαβεῖν καὶ σιγῶσαν πρὸς τὴν μονὴν ἀνασώσασθαι.

35. Περιήει γοῦν τὴν ἀγοράν, τὴν τῶν σπυρίδων ποιούμενος ἀποποίησιν ὁ πρὶν περίοπτος ἐν αὐτῇ· ὡς δὲ πολλοῦ ταύτας ἐποιεῖτο τιμήματος, γέλωτα παρεκίνει καὶ μωρίαν ἐνεκαλεῖτο μεθ' ὕβρεων. Καί τις τῶν ἐξυπηρετουμένων αὐτῷ ποτε, ὅτε περιφανῶς ἐν τῇ πόλει διέτριβε, ἀποβὰς τοῦ ἵππου (καὶ γὰρ οὐκ ἄσημος ἦν ἐκ τῆς προσνεμηθείσης αὐτῷ ἐπ' ἐλευθερίᾳ περιουσίας) καὶ κατὰ πρόσωπον στὰς καὶ τὴν ὄψιν ἐκείνῳ περιεργότερον ἐμβαλὼν εἰ δεσπότης ὁ πρίν ἐστιν ἐδοκίμαζεν ὁ νῦν φαινόμενος ἄτιμος· ὁ δὲ Ἰωάννης ἐπεμνήσθη τῆς ἐντολῆς καὶ "Ἰδοὺ καιρὸς" φησίν "σιωπῆς, μήποτε καὶ ἀπὸ τοῦ φθόγγου τὸν ζητούμενόν με προσεπιγνῷ, ἐπειδὴ πρὸς τὰ πρὸς ὄψιν ἀμφίγνωμος φαίνεται". Πρόσεισι γοῦν ὁ δοκιμαστὴς πόσου πρίασθαι τὰς μαλακίδας πειρώμενος· ὃ δ' οὐκ ἐφθέγγετο μέν, ἀνένευε δὲ τοῖς δακτύλοις, τῷ ποσῷ τῷ ἐκ δακτύλων τὸ τίμημα ὁριζόμενος· ὁ δὲ πολλὰ κατέλεγε τῆς τιμῆς καὶ τὸ τῶν καλαθίσκων χαῦνον ἐμέμφετο· οὗτος δὲ πάλιν τὴν ἐκ βρέφους κώφευσιν ἀπωδύρετο διὰ σχήματος καὶ μὴ ἂν εἰδέναι τὰ φραζόμενα δύνασθαι, καὶ οὕτως ἴσχυσε τὸν πειραστὴν ἐκεῖνον πρὸς καιρὸν ἀποκρούσασθαι· ὃ δ' ἐπεβάλλετο μὲν τὴν ψυχὴν καὶ τὴν τοῦ προσώπου πᾶσαν εἰκόνα κατὰ νοῦν ἐπολυπραγμόνει περιεργότερον, καὶ τί μηχανᾶται; τινὶ δι' ἀξιώσεως τίθεται "Τὸν τὴν πόλιν περιιόντα" εἰπὼν "μοναχὸν καὶ τὰς

14 κῶδ. ποτὲ. — 22 μαλακίδας] οὕτως ἐν τῷ κώδικι· πρβλ. Ducang. Gloss. ἐν λ. μαλάκιον, σ. 856.

σπυρίδας ἀποποιούμενον ἐπὶ τῷ τάχα πρίασθαι προσκαλέσασθαι καὶ πολυπραγμονεῖν περὶ τὸ συνάλλαγμα, ἐμὲ δὲ κεκρυμμένον" φησὶν "ἐντὸς τῆς οἰκίας ἐγκαρτερεῖν". Ὡς οὖν ἐγένετο τοῦτο καὶ πολλοὶ παρ' ἀμφοτέρων λόγοι ἐχέθησαν, ἐκπηδᾷ τῆς οἰκίας ὁ δοῦλος καὶ τοῦ δεσπότου κατεπιδράττεται, "Ὁ κύριός μου" βοῶν, "ὁ ἐμὸς δεσπότης· οὐκ ἄλλος· οὗτός ἐστιν ὁ τῇδε ἐπίζηλος· ἰδοὺ ταπεινὸς ηὐτελισμένος περίεισιν". Ὅρκοις δὲ τὴν ἐκείνου ψυχὴν ὁ Ἰωάννης προκατελάμβανε, μὴ ἂν ἀληθὲς καὶ ἁπλανές τι μαθεῖν· ὃ δ' "Αὐτὸ τοῦτο μᾶλλον ἐλέγχει σε" φησί "τὸν δεσπότην μου, τὸ τῆς ἀπολογίας ἰσχυρόν τε καὶ εὐδιάρθρωτον· πῶς γὰρ ὁ αὐτὸς ἐξαπίνης ἐξ ἀλάλου τε καὶ κωφοῦ λάλος ὀφθείη καὶ τὴν ἀκοὴν ἀβλαβής"; Τοίνυν καὶ πρὸς τὸ οὗς ὁ Ἰωάννης φησίν "Σιῶπα, ἐγώ εἰμι, μήποτε καὶ ἀθροῦν ἀκαταθύμιον ἀνεγείρῃς μοι". Καὶ ἄμφω λαβόντες ἀλλήλους ἐν ἰδιάζοντι μέρει παρέστησαν, καὶ λόγων μηδέ τινων εἰρημένων δίδοται μὲν τὸ ἐπιζητούμενον τίμημα, λαμβάνει δ' ἀπὸ τοῦ εὑρεθέντος ὁ εὑρεθεὶς ἅπαν καὶ ἀντιδίδωσιν τὴν ἐπὶ σωτηρίᾳ εὐχήν, καὶ οὕτως παλινῳδίας εἴχετο πρὸς τὸν στείλαντα, μηδὲν εἰπὼν τῶν κατὰ Δαμασκὸν πρὸς αὐτόν, ἀλλ' ἢ τὸ τίμημα μόνον ἐπιμετρῶν· ὃ δὲ "Καὶ τίς ὁ τόσα δοὺς" διεπόρηκεν. "'Αλλ' εἰ καὶ πλείω ἐνετείλω μοι, πάτερ", ὁ Ἰωάννης ἀντέθετο, "τάχα ἂν ἀπεκόμισα ἅπαντα· πολλὴ γὰρ ἐκεῖσε τῶν σπυρίδων ἡ ζήτησις". Ὁ δὲ γέρων· "Ἴδει, ὦ Ἰωάννη, τῆς κατοικίας τῆσδε κατ' εὐθὺ λόγον σε ἀπελθεῖν, ὅτι καὶ Δαμασκὸς αὐτὴ κατεθρυλλήθη σου τῆς παρακοῆς καὶ τῆς ἀπαιδεύτου σου γλώττης ἐν πείρᾳ καθέστηκεν". Ὁ δὲ μηδαμῶς τῆς γλώττης ἐκπτύσαι τοὺς τῆς σιγῆς δεσμοὺς ἐκεῖ διενίστατο, καὶ κατέθελξε τὸν γέροντα μᾶλλον τῷ ἐν τῷ ψεύδει ταπεινῷ, ἢ τῷ ἐν τῇ παραστάσει τῆς ἀληθείας ἐπηρμένῳ καὶ σοβαρῷ.

36. Ὁρμᾷ προσθεῖναι τοῖς εἰρημένοις ὁ λόγος καὶ ἕτερον. Ἐκ γειτόνων ἦσαν τῷ Ἰωάννου καθηγητῇ τινὲς δύο ἀδελφοὶ τὰ σώματα, ἀδελφοὶ τὰς ψυχάς, ἀδελφοὶ καὶ τὴν ἀρετήν. Τούτων ὁ εἷς, οἷα τὰ ἀνθρώπινα, τὰ ἐπὶ γῆς ἀπαλλάττεται καὶ λειτουργεῖ τῇ φύσει καὶ

13 ἀθροῦν] οὕτως ἐν τῷ κώδικι. — 21 κῶδ. *πολλοί*. — 29 βίου Ἰωάν. Δαμ. § κζ'

τὴν φθορὰν ἀποδίδωσιν· οὐκ ἦν δ' ὁ παρὼν ἀνεκτός, οὐδ' ἡσύχως ἔφερε τοῦ ἀπιόντος τὸν χωρισμόν. Τὸν ἐπιτεθειμένον ἔσχατον σημαντῆρα τῷ τάφῳ προσβλέπων καὶ κατεπιστένων πολλὰ ἑαυτοῦ καὶ "Ἵνα τί" πρὸς τὸν Ἰωάννην ἀπέσκωπτε συνεχῶς "ὀδυνωμένην ψυχὴν παρεᾶς καὶ παρορᾶς ἀδελφόν, μόνῃ τῇ ἀναπνοῇ τὸ μὴ νεκρὸν εἶναι ἀναπείθοντα, καὶ τοὺς ὁλονυκτίους τῆς ἐμῆς ψυχῆς στεναγμοὺς οὐκ εἰσέτι κατασιγάζεις; ἀλλὰ πάσχω τοιαῦτα, ὡς καὶ κορεννύειν τοῖς πάθεσι καὶ μισούντων ψυχάς· σὺ δ' ἀναλγητί με περιορᾷς· εἰ κατηρρωστηκὼς τὸ σῶμα ἠγόμην τὴν ἐπὶ θάνατον, οὐδ' ἀκεσωδυνίαις ἐπανάξειν ἧς δεξιός· εἰ μὴ προσῆξας τὸ κατὰ δύναμιν, οὐκ ἂν ἀπέδωκας δίκην τῆς παροράσεως; Καὶ νῦν ἐν μείζοσί με συμφοραῖς ὁρῶν θλιβόμενον καὶ τὸ πάθος ἀνύποιστον τοῦ ἀδελφοῦ λογιζόμενον, ἵνα τί μὴ τὸ κατὰ δύναμιν προσάγεις βοήθημα καὶ λόγοις θείοις πάθους κατεπᾴδεις ψυχῆς; Εἰ δὲ καὶ τὴν ἐντολὴν δεδίττῃ τοῦ γέροντος, ἴσθι ἐν ἀπορρήτῳ μοι κεῖσθαι τὸ πρᾶγμα καὶ παντελῶς ἀνεξάκουστον". Κάμπτεται τοῖς λόγοις τούτοις ὁ Ἰωάννης καὶ μέλος ἐπιθανάτιον συντίθησιν ἐναρμόνιον, ὃ καὶ μέχρι τοῦ νῦν παρὰ τοῖς πάντων ᾄδεται στόμασι, τὸ "Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον"· τοῦτο γὰρ ἐν πρωτουργίαις συνέθετο.

37. Ἀπῆν δέ ποτε τῆς κέλλης ὁ τούτου καθηγητής· ὃ δ' ἐντὸς ἡσύχως καθήμενος ὑπέψαλλε τὸ μέλος καὶ τὴν ἁρμονίαν ἀνέκρουε, καὶ ὁ γέρων ἐκτὸς πεφθακὼς τὴν μελουργικὴν ἐκείνην φθογγὴν ἐνωτίζεται καὶ μετ' ὀργῆς ἐντὸς εἰσπηδήσας "Ἵνα τί" φησίν "οὕτως ἐπιλέλησαι τῆς ἀρχῆθεν δοθείσης σοι ἐντολῆς, καὶ ἀντὶ πενθοῦντος καὶ σκυθρωπάζοντος διακεχυμένος κάθῃ καὶ θρυπτόμενος τοῖς μελίσμασι; καὶ πῶς τοὺς ἅπαξ τεθέντας ἀμεταθέτους ὅρους τῆς σιωπῆς αὐτὸς ἀθλίως ὑπερεπήδησας; Ἀλλ' ὡς ἔοικε τῆς ἡμετέρας ἐπιεικείας καταπεφρόνηκας, ἐν Θεῷ πολλὰ δυναμένης τὴν σήμερον". Ὁ δὲ τὴν αἰτίαν ἐξεῖπε τῷ γέροντι

4 κῶδ. *ἵνατί - - ὀδυνομένην*. — 10 κῶδ. *ἧς*. — 11 κῶδ. *μείζουσι*. — 18 Πάντα ματαιότης κτλ.] ἰδιόμελον εἰς ἦχον γ'. Ὥρα Εὐχολόγιον τὸ μέγα. Ἐν Ῥώμῃ 1873, σ. 267. Εὐχολόγιον σὺν Θεῷ ἁγίῳ. Ἐνετίῃσι 1745, σ. 199. — 21 βίος Ἰωάν. Δαμ. § κη', κθ'.

καὶ τὸ τοῦ βιασαμένου πάθος προυβάλλετο, καὶ πεσὼν ἐξητεῖτο συγχώρησιν· ὁ δ' ὑγιὴς ἐκεῖνος καὶ ἀδιάφθορος δικαστής, ὡς ἂν περὶ τῆς παρακοῆς Ἰωάννου βεβαιότατα διδαχθεὶς καὶ ὑπ' αὐτῆς ἤδη τὴν γνώμην προπεπεισμένος, οἷα λίθος ἀνένδοτος ἦν, μηδόλως τῷ ἱκετεύοντι μαλαττόμενος· καὶ λαβόμενος ἀγρίως τῶν ἱματίων αὐτοῦ διεῖλκε, θύραζε τὸν κατάδικον καὶ τῆς κέλλης ἐκστῆναι κατεπεβόα, ὀνειδισμοῖς ἀλλ' ἀστείως καταπλήττων τὸν κρατερόν. Ὁ δὲ θαυμαστὸς ἐκεῖνος καὶ τὸν νοῦν ἀδιάφθορος, ἐπεὶ τὴν κρίσιν οἶδεν οὐ κατὰ πρόσωπον, εἰς μνήμην εὐθὺς τῆς προγονικῆς ἀπάτης ἐνάγεται καὶ τῆς ἐκ Παραδείσου διὰ ταύτην ἐκπτώσεως, καὶ "Οὔ" φησίν· "ἀκαταιτίατος οὐκ εἰμί, ἄξια λαμβάνων τῆς παρακοῆς τὰ ἐπίχειρα". Καὶ ἦν περιαλγῶν ἑαυτοῦ καὶ πῦρ ἐν τῷ στένειν ἀπὸ καρδίας αὐτοῦ ἀναδιδούς, καὶ ἀπελθὼν ἐγγωνιάζει που τῆς λαύρας ἐν παραβύστῳ, τὰς χεῖρας τοῖς γόνασι περιπλέξας καὶ τὸ πρόσωπον ἐπ' αὐτῷ κεκλικώς.

38. Τέλος ἑτέροις γέρουσι πρόσεισιν, οὓς τῶν ἄλλων ἤδει τὴν ἀρετὴν ὑπερφερεστέρους καὶ μὴ δευτέρους τινὸς πρὸς πειθώ, καὶ "Ἄπιτε" φησί "δυσωπήσοντες τὸν ἀδέκαστον, τοῦ τὴν δικαίαν ἀπόφασιν ὑπαλλάξαντα συγχωρῆσαί μοι"—εἰ γὰρ μηδὲν ἡ κρίσις ἀμφίβολον κέκτηται, ἀλλὰ καὶ νόμου μετάθεσις γίνεται, ὅταν δικαιότερος ἕτερος ἀντεισάγεται—, καὶ μὴ οὕτως τά γε πρὸς αὐτὸν ἀσύγγνωστον ὄντα με καταστρέψαι τὸν βίον παρίδητε". Ἀπῆλθον οὖν ἐκεῖνοι δυσωπήσοντες τὸν ἀμείλικτον· ὃ δ' οὐκ ἐνεδίδου, εἰ μὴ καὶ μᾶλλον ἔτι κατεφρυάττετο, καὶ "Ἵνα τί με" φησίν "ἀπαιτεῖτε αὐτόθεν ὑπεστρωμένῳ ὁρᾶσθαι τῷ πλημμελήσαντι"; τὴν ἐκείνων γνώμην βασανίζων, ὡς ἔοικεν. Καί τις τῶν ἰσαγγέλων ἐκείνων εἴρηκε μοναχῶν· "Ἐξὸν ἄλλην ἐντολὴν δοθῆναι τῷ ἁμαρτήσαντι καὶ μὴ οὕτως ἐσχοινίσθαι τῆς πρὸς σὲ συναυλίας καὶ συνοικήσεως". Καὶ ὁ δυσωπούμενος ἔφη· "Ταύτην τῷ Ἰωάννῃ τὴν ἐντολήν, εἰ βούλεσθε, διορίζομαι, εἴ γε μὴ ἀσύγγνωστα κεῖσθαί μοι μέλλει τὰ κατ' αὐτόν· πᾶσαν διελθεῖν τὴν

10 προγονικῆς ἀπάτης = τῆς τοῦ Ἀδάμ. Γενέσ. β' 1-24. — 13 κῶδ. *ποῦ*. — 15 κῶδ. *κεκλικῶς*. — 16 βίος Ἰωάν. Δαμ. § κθ', λ'. — 20 Ἑβρ. ζ', 12.

τῆς λαύρας περιοχὴν καὶ δι' ἑαυτοῦ ἀνακαθᾶραι τὰ ἐν ταῖς κέλλαις τῶν μοναχῶν τῶν ῥυπασμάτων ὀρύγματα". Οἱ δὲ ἀκούσαντες ἀπήεσαν κατηφεῖς ἐπὶ τῷ λόγῳ ἐγκαλυψάμενοι καὶ τὸ τοῦ κεκριμένου ἀνένδοτον ἐκπληττόμενοι· οἷς προσυπαντήσας ὁ Ἰωάννης θαρσαλεώτατα ὁποῖον δὴ τὸ δόξαν τῷ παιδευτῇ καὶ τίς ἡ ἀποφανθεῖσα κρίσις μαθεῖν προσαπήτει· οἱ δὲ τὴν αὐστηρίαν τοῦ γέροντος ἐκπλήττεσθαι ἀπεκρίναντο καὶ τὴν ἀπόφασιν δι' αἰδοῦς ἔχειν καὶ εἰπεῖν· ὃ δὲ καὶ λίαν αὐτοὺς πρὸς τὴν ἔκφασιν κατηνάγκασε. Πεισθέντες οὖν τὸ δυσφραδὲς ἀπαγγέλλουσιν· ὃ δ' ἀκηκοὼς ἥσθη μᾶλλον ἢπερ ἕτεροι πρὸς πανηγύρεις καὶ μυραλοιφίας καλούμενοι, "Καὶ ῥᾷον εἶναί μοι τοῦτο" φησίν, "ἵνα μὴ κακῷ κακὸν προσεπιτεθὲν ἐπιτραχυνθῇ μοι τὰ τῆς ἐγλήσεως".

39. Ἄπεισι γοῦν, καὶ τὰ ἐκχοΐζοντα ὄργανα εἰληφὼς παρὰ τοῦ τοὺς ὁδίτας ξενίζειν τεταγμένου ὑπὸ τῆς ἀδελφότητος, πρόσεισι τῇ κέλλῃ τοῦ γειτονοῦντος τῷ γέροντι καὶ χεῖρας μολύνειν ἐκείνας ἐνήρξατο, ἃς πολλοῖς πρότερον εὐωδίαζε τοῖς ἀρώμασι, καὶ τὴν θεραπευθεῖσαν ὑπὸ τῆς πανάγνου μητρὸς δεξιὰν — ὦ τῆς πολλῆς τοῦ ἀνδρὸς ταπεινώσεως — ἐν ἀτίμαις ὕλαις ῥυπαίνειν ἐσκέπτετο. Ὁ δὲ γέρων ἐν χρῷ θυρῶν τὸν ὀφθαλμὸν ὑποθεὶς καὶ δι' ὀπῆς τὴν ὑπακοὴν Ἰωάννου ἀναμαθὼν καὶ τὸ τῆς ἀληθοῦς καὶ πολλῆς ἐκείνου ταπεινώσεως βάθος, μᾶλλον δὲ ὕψωμα, ἐμφανῶς κατιδών, "Ἔα" γεγωνότερον ἀνέκραγε, "μήτοι καὶ πρὸς ἔργου πρᾶξιν καταθήσῃ σε ἡ ταπείνωσις"· καὶ ἐπιδραμὼν περιέβαλλέ τε αὐτὸν καὶ περιεπλέκετο, καὶ τὸν τράχηλον καὶ τὰς χεῖρας περιεπτύσσετο, τὰ ὄμματα κατησπάζετο. "Ὢ οἷον" ἔλεγεν "ἀθλητὴν τῆς μακαρίας ὑπακοῆς ἐγὼ ἐν Χριστῷ ἀπέτεκον"! Ἐπὶ τούτοις ἀνακηρύττει τὸν υἱὸν ὁ πατήρ, καὶ λαβόμενος αὐτὸν τῆς χειρὸς εἰς τὴν κέλλαν εἰσήγαγε λέγων· "Ἐν ἑαυτῷ τὸν παλαιὸν Ἀδὰμ διὰ τῆς παρακοῆς τυπώσας ὁ Ἰωάννης τὸ πρότερον, τὸν νέον Ἀδάμ, Χριστόν, καὶ αὖθις ἐν ἑαυτῷ διὰ τῆς ἄκρας εἰκόνισε ταπεινώσεως".

40. Μετ' οὐ πολὺ δὲ κατ' ὄναρ τῷ γέροντι ἐπιφαίνεται ἡ

13 βίος Ἰωάν. Δαμ. § λ', λα'. — 22 κῶδ. *μήτι*. — 32 βίος Ἰωάν. Δαμ. § λα', λβ'.

πανάμωμος καὶ φησίν· "Ἵνα τί πηγὴν ἐμφράττεις, οὕτω μὲν ἡδὺ τὸ νᾶμα προνάουσαν, μετὰ μεγίστου δ' ἤχου τὴν ἔκρηξιν διοιδαίνουσαν; οὕτω διειδές, οὕτω δαψιλὲς καὶ νεκταρῶδες ὕδωρ, ὃ τῇ Σαμαρείτιδι Χριστὸς ἐπηγγείλατο; ἔα φέρεσθαι τὴν πηγήν· καὶ γὰρ τὴν οἰκουμένην πᾶσαν αὐτὴ διελεύσεται, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας αἱρέσεων, μεταβαλεῖ δὲ ταύτας πρὸς ἡδεῖαν γλυκύτητα. Οἱ διψῶντες ἐπὶ τὸ ὕδωρ τοῦτο μετὰ σπουδῆς πορευθήσονται· πᾶσαν γὰρ ἐν δόγμασιν εὑρήσουσιν ἀκραιφνῆ καθαρότητα καὶ ἀνάργυρον ὕδωρ εἰς κόρον ἀντλήσουσιν. Οὗτος ᾄσει μέλη καινὰ καὶ κυρίῳ τῷ Θεῷ προσοίσει ᾄσματα θεοδίδακτα· ὑπερβαλεῖται τὴν Μωσέως ᾠδὴν καὶ τὴν χοραυλίαν τῆς Μαριάμ· τὴν πνευματικὴν καὶ οὐράνιον μελουργίαν οὗτος μιμήσεται· τοὺς Χερουβικοὺς ὕμνους οὗτος ζηλώσει καὶ πάσας τὰς ἐκκλησίας ὡς θυγατέρας τῆς ἄνω Ἱερουσαλὴμ αὐτὸς νεάνιδας τυμπανιστρίας ποιήσεται, ᾀδούσας ᾄσμα Θεῷ, τὴν νέκρωσιν ἀπαγγελλούσας Χριστοῦ καὶ τὴν ἀνάστασιν· οὗτος ὀρθοτομήσει τὰ τῆς πίστεως δόγματα καὶ στηλιτεύσει πάσης αἱρέσεως διαστροφὴν καὶ λοξότητα". Περὶ δὲ τὴν ἕω εἰσκαλεῖται τὸν Ἰωάννην ὁ μυηθεὶς τὰ ἀπόρρητα καὶ φησίν· «Ἃ ὁ Θεὸς ἐκύρωσεν ἄνωθεν, τέκνον, καὶ ἡ ἐκείνου ψῆφος, ἐπείπερ ἐστὶν ἀπαραλόγιστος, διωρίσατο, ἄνθρωπος ποσῶς παραλῦσαι οὐ δύναται· εἴ γε καὶ πρὸς καιρὸν ἀντιβαίνει,—ἐπείπερ "τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο";—ἀλλ' ὑστέρως ἡ ψῆφος νικᾷ καὶ τὰ δεδογμένα τὸ τέλος ἀπείληφε. Σύγγνωθι οὖν ἡμῖν, εἴ τι καὶ σοὶ δι' ὄχλου γεγόναμεν, ἐπεὶ καὶ Θεὸς ἐφ' οἷς ἀγνοοῦντες ἐμποδών σοι κατέστημεν ἄφεσιν, ὡς οἶμαι, καὶ συγγνώμην ἀπένειμεν· οἶδας γὰρ καὶ αὐτὸς ἁπλανῶς, ὡς οὐ πάθει τινὶ καὶ παραλόγοις ἢ παρατόλμοις τισὶ λογισμοῖς σιγὴν χρονίαν κατὰ τῆς γλώττης σου κεκυρώκαμεν, οὐδὲ φθονοῦντες ἴσως τῷ λόγῳ καὶ τῇ σοφίᾳ σου· ἄπεστι γὰρ ἐφ' ἡμῶν τῶν ἐν ἐρήμοις τοῦτο ποιεῖν. Ἀλλ' ἐπειδὴ τῶν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ὅτε τῷ κόσμῳ ἀπεταξάμεθα, ἢ ὅτε τῷ νόμῳ τῆς σαρκὸς

3 κῶδ. *διηδὲς - - δαψιλὲς*. — 4 Ἰωάν. εὐαγγ. δ', 10. — 15 κῶδ. *ἄσμα*. — 17 κῶδ. *στηλητεύσει*. — 22 Ἡσαΐα μ', 13.

ἐπολιτευόμεθα, ἵνα μὴ τὴν χεῖρα πρὸς ἄροτρον θέμενοι καὶ τοῖς ὀπίσω τὰ βλέμματα χαριζόμενοι οὐκ εὐθῆ τὴν ὕννιν πρὸς τὴν τοῦ γηδίου διατομὴν καταστήσωμεν, πολλὴν ἐθέμην τὴν μέριμναν, μήπως "διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης" παρασυρῇς τὸν λογισμὸν εἰς ὅσα μὴ δεῖ· οἱ γὰρ σταυρῷ τεμόντες σάρκα καὶ πνεῦμα λόγον μετὰ τὴν πρᾶξιν ὑπερμανθάνουσι. Νῦν οὖν ἄνοιξόν σου τὸ στόμα καὶ τὴν γλῶσσάν σου τράνωσον οὐκ ἐν παραβολαῖς καὶ αἰνίγμασιν, ἀλλ' ἐν ἀληθείας δόγμασι. Λάλησον εἰς τὰ ὦτα τῆς καθ' ἡμᾶς Ἱερουσαλὴμ τοὺς λόγους, οὓς τὸ θεῖον πνεῦμα ἐγγράφει ἐν τῇ καρδίᾳ σου· εἰς τὸ ὄρος Σιὼν ἐπανάβηθι· ἐν ἰσχύι ὕψωσον [τὴν] φωνήν σου· δεδοξασμένα γάρ μοι ἐλαλήθη περὶ σοῦ παρὰ τῆς Θεομήτορος».

41. Ἐντεῦθεν ὁ Ἰωάννης ὥσπερ ἀφαιρεθεὶς τὸ ἐμφράττον τὴν ὀπὴν τῆς πηγῆς ῥοιζηδὸν ἐξέρρει τοὺς ποταμοὺς τοὺς τῆς γνώσεως, καὶ πρῶτον μὲν ἐκτίθεται τὴν καθαρὰν καὶ σαφῆ τῶν δογμάτων ἀκρίβειαν, εἶτα καὶ πρὸς τοὺς περὶ τῶν εἰκόνων λόγους καὶ αὖθις μεταχωρεῖ. Μετὰ τοῦτο καινόν τι καὶ θαύματος ἄξιον μηχανώμενος, τὴν τῶν δογμάτων ἀκρίβειαν ἐν μέλεσιν ἀπογράφεται· ἐπειδὴ γὰρ οἶδε πρὸς μὲν τὸν πόνον ὀκνηροτέρους πολλούς, πρὸς δὲ τὰ μέλη διακεχυμένους καὶ νεύοντας, μίγνυσι τὸ δόγμα τοῖς ᾄσμασιν, ἵν', ὅπερ πόνος οὐκ ἤνυσε, μέλος κατορθώσῃ καὶ ἡ πίστις μὴ λωβηθῇ.

42. Συμβὰν δέ τι τοιοῦτον γίνεται δι' αὐτόν. Ἐπέστη ποτὲ τῆς ἐπὶ τὸ ὄρος Θαβὼρ αὐγῆς τῆς θεότητος ἡ κυρία ἡμέρα τῆς πανηγύρεως, καὶ ἦν ὁμοῦ τὸ πλῆθος τῶν ἀσκητῶν τὰς μυστικὰς εὐχὰς λειτουργοῦν τοῖς θείοις δώροις καὶ θύμασιν· ὡς δὲ ταῦτα ἐτελεῖτο, τοῖς ὄμμασι πάντων, ἀλλὰ δὴ καὶ τοῖς Ἰωάννου, τόμος ὁρᾶται οὐρανόθεν ἠρέμα καὶ ἀνειμένως πρὸς τὴν ἱερὰν καταγόμενος τράπεζαν· χεὶρ δὲ μόνη τοῦτον ἐφαίνετο φέρουσα, τίνος δ' ἦν ἐπεγινώσκετο οὐδαμῶς.

2 κῶδ. *ὄννιν*.—4 Κολασ. β', 8.—6 κῶδ. *ὑπὲρ μανθάνουσι*.—10/11 Ἡσαΐα μ', 9.—11 δεδοξασμένα - - περὶ σοῦ] Ψαλμ. πς', 3. — 13 πρβλ. βίον Ἰωάν. Δαμ. § λγ' || κῶδ. *ἐμφράττον*. — 16 δογμάτων ἀκρίβειαν] νοητέον ὧδε τὴν «Ἔκδοσιν ἀκριβῆ τῆς ὀρθοδόξου πίστεως».—18 νοητέον ὧδε τὴν Ὀκτάηχον.—23 κῶδ. *συμβᾶν*.—28 κῶδ. *ἠρέμα*.

Ὡς δὲ πάντες ἀφέντες τὸν ὕμνον ὅλοι τοῦ θαύματος ἐγεγόνασιν, φυγάδα τὸν ἱερέα ἔξω παραλαμβάνουσι, ῥήγνυταί τε φωνὴ τὸν Ἰωάννην εἰσκαλουμένη πρὸς τὴν τοῦ τόμου ἀνάληψιν· ὃ δ' εἰσιών, οὐκ ὢν ἑαυτοῦ, ἐξάγει τοῦτον, καὶ ἦν οὐ μέλανι γεγραμμένος, οὐδ' ἐρυθρῷ ἐνσεσημασμένος, ἀλλ' ἀστεροέσι γράμμασι καὶ ἀκτινοειδέσι, τάδε πρὸς ἔπος δηλῶν· " Ἀδελφὲ Ἰωάννη, πάντες οἱ τῶν ἁγίων χοροὶ συγχαίρομέν σοι πνευματικῶς σε κατασπαζόμενοι, καὶ τήνδε προσάγομέν σοι τὴν αἴτησιν· μὴ σιγῇ παρέλθῃς ἡμᾶς, μηδὲ τὰ καθ' ἡμᾶς ἐάσῃς ἀγέραστα· ἡδόμεθα γάρ σου τοῖς τερπνοῖς μελῳδήμασιν· ἀπόδος δὲ καὶ τῇ δεσποίνῃ καὶ ἰατρῷ σου τὴν ὀφειλήν".

43. Ταῦτα ὡς ἀνέγνωστο εἰς ἐπήκοον, φρίκη πάντας ἐλάμβανε, τὸν δὲ Ἰωάννην καὶ ἡ γῆ αὐτίκα ἔνδακρυν ὑπεδέχετο· ὃς μόλις ποτὲ τῶν μακρῶν ἀναγαγὼν ἑαυτὸν ὀδυρμῶν, πρὸς τὰς ἐνσκηψάσας διαταγὰς εὐθέως ἐχώρησε καὶ τὴν Ἀνάστασιν πρώτως ἐκθειάζει καὶ ἐξυμνεῖ, ᾗ καὶ τοὺς πρὸς τὴν Θεομήτορα ὕμνους συζεύγνυσι· μετέπειτα καὶ τὴν ταύτης τῶν ᾠδῶν μετάθεσιν, ἀλλὰ δὴ καὶ τὴν τοῦ Λόγου κατὰ Θαβώριον ἔλλαμψιν, καὶ ἄλλας πλείστας πανηγύρεις ἁγίων τε καὶ τῆς Θεομήτορος. Τὰς δ' ἰαμβείους ᾠδὰς τίς τῶν τὸ σαφὲς εἰδότων καὶ καθαρὸν Ἰωάννου καὶ τὴν ἐκείνου περὶ τὸ γράφειν γλυκύτητα αὐτῷ προσανάθηται; αἳ συνετέθησαν μὲν οὐδαμῶς παρ' αὐτοῦ, παρ' Ἰωάννου δέ τινος ἄλλου, καὶ αὐτοῦ τοὺς ἀσκητικοὺς ἀγῶνας ἐν τῇ κατὰ τὸν μέγαν Σάβαν λαύρᾳ ἀνύοντος, ἐπονομαζομένου δ' οὕτως Ἀρκλᾶ· ἐξαπατᾷ δ' ἡ συνωνυμία τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. Αἱ μὲν οὖν τῶν ἁγίων μνῆμαι ἔχουσιν ὄντως τὸ χαρίεν οἴκοθεν, πολλῷ δ' ἐπιχαριτώτεραι μετὰ τοὺς Ἰωάννου κρότους γεγόνασιν· ὃν, κατὰ τὰς ἐνσκηψάσας ἄνωθεν ψήφους, ὁ τοὺς τῆς ἁγίας ἰθύνων πόλεως

14 τὸν εἰς τὴν ἀνάστασιν τοῦ Χριστοῦ κανόνα μεθ' ἑρμηνείας ὅρα ἐν τῷ ἑορτοδρομίῳ Νικοδήμου, σ. 418-453. — 16 ὅρα αὐτόθι καὶ τὸν εἰς τὴν μετάστασιν τῆς Θεοτόκου κανόνα, σ. 679-698. — 17 καὶ ὁ εἰς τὴν μεταμόρφωσιν αὐτόθι, σ. 621-648. — 19 τοὺς ἐπ' ὀνόματι Ἰωάννου τοῦ Δαμασκηνοῦ φερομένους ἰαμβείους κανόνας ὅρα αὐτόθι, σ. 101-124, 157-178, 553-584. Anthолog. σ. 205-217. Iohannis Damasceni canones iambici cum commentario et indice verborum ex schedis Aug. Nauck. Ἐν Πετρουπόλει 1894. — 25 κῶδ. *χάριεν*. — 27 πρβλ. § λδ' βίου Ἰωάν. Δαμ.

οἴακας Ἱερουσαλὴμ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν τὸν Κύριον προεβάλετο καὶ μεθ' ἑαυτοῦ συνεῖναι ἔτι παρεβιάσατο, τὴν εἰς τὴν λαύραν ἐπάνοδον ἀποδιδούς, εἰ καὶ μετὰ πότμον τοῖς ἐκεῖσε κατατεθεῖσιν μετατεθεῖσιν ἐν γήρᾳ καλῷ συγκατέθαπτο.

44. Οἱ μὲν οὖν θεῖοι οὗτοι ὁμαίμονες μηκέτι τὰ πρὸς ἀλλήλους σωματικοῖς ὀφθαλμοῖς κατιδόντες, μηδ' ἐνωθέντες ἐπὶ τῆς γῆς, ἀπήεσαν ἐν εἰρήνῃ καὶ γήρᾳ βαθεῖ τὴν πρὸς τὸν Κύριον, ἐκεῖσε ἀλλήλους καὶ τὸν παντάνακτα κατοψόμενοι· ὧν ὁ μὲν Ἰωάννης τῇ τετάρτῃ τοῦ δεκεμβρίου ὁ δὲ τῇ πεντεκαιδεκάτῃ τοῦ ἰανουαρίου τὴν πρὸς τὸν ἐκεῖσε χῶρον ἐστείλαντο· πρὸς οὓς ἐρῶ μετὰ συντριβῆς· "Σύγγνωτέ μοι, πατέρες, καὶ ἱκέται γένοισθέ μοι τὰ εἰς Θεόν, ὅσα καὶ ἠνόμησα, ἐφ' οἷς τὸν ἔρανον τοῦτον ἄλλου πεπονηκότος ὡς εἶχεν αὐτὸς εὑρηκὼς ἐγὼ κατὰ δύναμιν ἔγραψα καὶ διαλέκτῳ Ἀράβων καὶ γράμμασι κείμενον ὁ ὑμῶν θατέρῳ συνωνυμῶν εἰς τὸ τοῦ λόγου τοῦδε εἶδος μετέβαλον διὰ τῶν ὑμῶν ἐπισκέψεων, καὶ συγκοινωνὸν ὑμῖν, εἰ καὶ τολμηρὸν ἐρεῖν, τῆς ἐκεῖσε δόξης προσλάβετε καὶ συμπαραστάτην τῆς μακαρίας καὶ ἁγίας καὶ προσκυνητῆς τριάδος, ᾗ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν".

---

11 βίος Ἰωάν. Δαμ. § λθ' — 13 κῶδ. *καταδύναμιν*. — 14 κῶδ. *Ὀρράβων*.

XVII

ΜΑΡΤΥΡΙΟΝ

ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΓΟΛΙΝΔΟΥΧ,

τῆς μετονομασθείσης Μαρίας [1].

1. Ἡνίκα Μαυρίκιος τῆς Ῥωμαίων βασιλείας διεῖπε τὰ σκῆπτρα καὶ Χοσρόης τῆς Περσῶν ἀρχῆς εἶχε τὴν ἐπικράτειαν, τότε καὶ Γολινδοὺχ τῶν γυναικῶν ἡ καλλίστη, τῆς Περσικῆς καὶ αὐτὴ χώρας ἐξορμωμένη, τὸν τῆς μαρτυρίας ἆθλον ἐν ταύτῃ διηγωνίσατο, καὶ ὅπως, ὁ λόγος δηλώσει. Νόμῳ γάμου παρὰ τῶν τεκόντων ἡ Γολινδοὺχ — ἐπιφανεῖς δὲ οὗτοι κατὰ Πέρσας καὶ πρῶτοι τῶν ἐπιδόξων — συνάπτεται μάγῳ τινὶ τὰ Περσῶν φρονοῦντι, τὰ Περσῶν ἀγαπῶντι, θύοντι Ἡλίῳ καὶ Πυρί. Τούτου τὴν συνοίκησιν θείας ἐκ προνοίας μυσαττομένη τὴν Χριστιανῶν ἠγάπα πίστιν κατὰ ψυχὴν καὶ ἀγνεύειν ἤθελε καὶ μολυσμάτων ἀπηλλάχθαι· ἦκε γάρ τις μακρόθεν εἰς αὐτήν, καθάπερ ἔσχατον διηγήσατο λόγος, ὡς εἴη Θεὸς ὁ Χριστός, ποιητὴς ἡλίου καὶ τοῦ πυρός, ἁγνείας φίλος καὶ καθαρότητος. Ποθούσης οὖν αὐτῷ προσελθεῖν

[1] Ἐκδίδοται τοῦτο κατὰ τρεῖς κώδικας· α') Πατριαρχ. Ἱεροσολ. ἀριθ. 17, φ. 110-112. β') Συλλογῆς Σταυροῦ ἀριθ. 16, φ. 156β-159. γ') Μονῆς Διονυσίου ἐν Ἄθῳ, ἀριθ. 166, φ. 282β-285α. Τὸ πρῶτον ἀντίγραφον ὀνομάζω Α, τὸ δεύτερον Β καὶ τὸ τρίτον Γ.

2 *τῆς τῶν περσῶν* Γ. — 3 *καὶ γολ.* ΑΒ, *ἡ γολ.* Γ || *περσικῆς* ΑΓ, *περσῶν* Β.— 6 *ἡ γολ. δίδωτε τινὶ τῶν ἐπιδόξων μάγω, τὰ Περσῶν φρονοῦντι* κτλ. Β.—7 *μάγω* ΒΓ, *γάμω* Α. — 8 τὰ Περσῶν ἀγαπῶντι] παραλείπει ταῦτα τὸ Β || *τῶ πυρὶ* Γ. — 10 καὶ μολυσμάτων ἀπηλλάχθαι] ἐλλείπει ταῦτα τῷ Β. — 12 *λόγον* Γ. — 13 προελθειν καὶ μ. διψώσης] παραλείπει τὸ Β || *προελθεῖν* Β.

καὶ μάλα διψώσης, Θεὸς ὁ χρῄζων τῆς ἡμῶν σωτηρίας, φόβῳ κιρνῶν εὐφροσύνην, ὄψιν αὐτῇ στέλλει τινά—οἷα τὰ κρίματα τῆς σοφίας αὐτοῦ—, καὶ ἡ ὄψις τοιαύτη. Ἄγγελον ἔδοξεν ἰδεῖν ἀπαγαγόντα αὐτὴν εἴς τινα τόπον ζόφου πεπλησμένον, ἐν ᾧ τινες ἄνθρωποι διάγοντες ἦσαν, καὶ τούτους ἀκοῦσαι παρ' αὐτοῦ τῇ τῶν Περσῶν δεδουλωμένους πλάνῃ εἶναι· διὸ καὶ στενάξασαν αὖθις πρός τινα τόπον φωτεινὸν ἀχθῆναι καὶ τοὺς ἐν αὐτῷ διατρίβοντας ἑνωτίσασθαι τῇ πίστει Χριστοῦ προσκειμένους τυγχάνειν. Οὕτως εἶπεν, ὡς ἔφη.

2. Καὶ ἐπείπερ γέγονεν εἰς ἑαυτὴν καὶ συνῆκε τὰ ὁραθέντα, σοφῶς λανθάνει καὶ φρονίμως τὸν σύνοικον· διαμάχην γάρ τινα πρὸς αὐτὸν συσκευάσασα καὶ τὴν εἰς τεκόντας ἄφιξιν προφασισαμένη, πνευματικοῖς ἀνδράσι προσέρχεται καὶ τοῦ θείου ἀξιοῦται βαπτίσματος καὶ Μαρία μετονομάζεται, καὶ τῶν νενομισμένων παρελθουσῶν ἡμερῶν ἐπάνεισι πρὸς τὸν ἄνδρα τὸν πολύτιμον φέρουσα μαργαρίτην. Ὡς οὖν αὐτὴ μὲν ἐβούλετο πρός τι κοινωνεῖν αὐτῷ μηδαμῶς, οὗτος δὲ τὸ ὂν οἷς ἐποίει Γολινδοὺχ ὑπενόει, καὶ ἤδη καταφανὲς αὐτῷ καὶ δῆλον ἐγένετο, θρηνεῖ τὸν χωρισμόν, δακρύει τὴν συμφοράν, παντοῖος γίνεται τῆς τοῦ Χριστοῦ ταύτην ἀποστῆσαι λατρείας. Καὶ ἐπεὶ μηδὲν ἤνυε, καταφεύγει εἰς βασιλέα καὶ τὸ πρᾶγμα γνωρίζει· καὶ ὃς πείθειν ἐπιχειρεῖ ταύτην διά τινος τῶν ὑπ' αὐτόν, ὡς "Εἴ μοι Γολινδοὺχ" δηλώσας αὐτῇ "πεισθῆναι θελήσεις καὶ τὴν νεοφανῆ σοι ταύτην ἀπότομον ποιήσεις θρησκείαν, πολλῶν σε καὶ μεγάλων τῶν καλῶν ἀξιώσω, καὶ δὴ καὶ γυναῖκά σε λήψομαι καὶ δέσποιναν ὀνομάσω".

1 *μάλα* A, *μάλιστα* Γ || *χρίζων* A. — 2 *οἷα κατάκριμα τοῦ τῆς σοφίας* B. — 5 *τούτους* AΓ, *οὗτους* B. — 6 *τοὺς τῶν* AB, *τῇ περσῶν* Γ || *πλάνην* AB || *στενάξασαν* AΓ, *στεναγμοῖς* B. — 8 *τοὺς τοῦ χριστοῦ πίστει προκειμένους* B, *τοὺς τῇ πίστει* AΓ. — 9 οὕτως - - ἔφη] παραλείπει τὸ B. — 11 *τὸν* Γ, *τὸ* AB. — 12 *αὐτὸν*] *αὐτὴν* ABΓ. — 15 *ἄνδρα πολύτιμον* Γ. — 16 *ἐβούλ. μηδαμῶς αὐτῷ κοινωνεῖν* B. — 17 *ὃν ἐποίει* B. — 18 καὶ δῆλον] παραλείπει τὸ B. — 19 δακρ. τ. συμφορὰν] ἐλλείπουσι τῷ B. — 21 *εἰς* AB, *πρὸς* Γ. — 22 *αὐτόν* Γ, *αὐτῶν* B, *αὐτοῦ* A. — 23 *σαυτῇ ἀπόμοτον* A || καὶ μεγάλων τῶν] παραλείπει τὸ B, τὸ δὲ Γ μόνον τὸ *τῶν*. — 25 *ναὶ δὴ* Γ.

Τὸν δόλον οὖν ἡ μεγαλόφρων συνεῖσα φησὶ πρὸς τὸν ἀπεσταλμένον· " Ἐγὼ μέν, ὦ οὗτος, ἀθανάτῳ τανῦν ἡρμοσάμην ἐμαυτὴν νυμφίῳ, σὺ δὲ θνητοὺς γάμους εὐαγγελίζῃ, καὶ οὐ δίκαιον πάντως ἀνταλλάξασθαι τοῦτον ἐκείνῳ. Ἄπιθι τοιγαροῦν, ἄπιθι πρὸς τὸν πεπομφότα, ταῦτα τούτῳ διασαφῶν.

3. Μανθάνει τὰ λαληθέντα πάντα Χοσρόης καὶ τῇ φυλακῇ ταύτην, ἥτις Λήθη κατωνομάζετο, παραπέμπει· ἐν ᾗ καὶ χρόνους ὀκτὼ πρὸς τοῖς δέκα δεσμὰ καθόλου περικειμένη τοῦ σώματος διετέλεσεν. Ἄρτι δὲ τοῦ δυσσεβοῦς αὐτοῦ τελευτήσαντος, ὁ τῆς μεγαλοπρεποῦς μνήμης Ἀριστόβουλος ἀπελθὼν εἰς πρεσβείαν καὶ τὰ περὶ ταύτης ἐν Περσίδι μαθὼν τὴν φυλακὴν εἰσῆλθε καὶ χρύσεα χαλκείων συνετῶς ἀντηλλάξατο· ἑτέρων γὰρ δεσμῶν ἀντιλαβὼν τὰ τῆς μάρτυρος ὄλβον εἶχεν ἑαυτῷ πολύτιμον καὶ πλείστων αὐτὰ νομισμάτων ἀπάλειψιν. Ὁρμίσδας δὲ ὁ υἱὸς Χοσρόου τὴν βασιλείαν παραλαβὼν καὶ πυθόμενος τὰ περὶ τούτων πολλαῖς αὐτὴν ἐκβαλὼν βασάνοις καὶ μάστιξιν ὑπέβαλε, κακοῦ κόρακος κακὸν τυγχάνων ᾠόν· καὶ γὰρ μάστιξιν αὐτῆς κατὰ νώτων καὶ στέρνων τυπτομένης ποτὲ τὸν μαστὸν αὐτῆς συνέβη μέσον διαρραγῆναι τῇ τῶν μαστίγων δεινότητι καὶ θέαμα ἐλεεινόν, δακρύων ἄξιον, τοῖς παροῦσι γενέσθαι. Ἀλλ' ὁ τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους Θεὸς συνάπτει τὰ διεστῶτα καὶ ὑγιᾶ κατ' ἐκείνην τὴν νύκτα δείκνυσι τὴν θηλήν. Ὁ κακοῦργος τοίνυν ἅμα πρωὶ θεασάμενος τὸ παράδοξον οὐ πρὸς ἔκπληξιν ἦλθε, πρὸς μανίαν δέ, καὶ κελεύει θύλακον πλησθῆναι καμινιαίας αἰθάλης καὶ τὴν πάντιμον τῆς μάρτυρος κεφαλὴν ἐν αὐτῷ βληθῆναι καὶ δεσμευθῆναι. Τί

3 καὶ οὐ δίκαιον - - τοῦτον ἐκείνῳ] παραλείπει ταῦτα τὸ B. — 7 ἥτις λ. κατωνομάζετο] ἐλλείπουσι τῷ B || *λίθη* A. — 8 δεσμὰ - - τοῦ σώματος] ἐλλείπουσι τῷ B. — 11 *περσίδη* A. — 7 *χρυσείω χαλκίω σ. ἀντιλλάξατο* A. — 14 καὶ πλείστων - - ἀπάλειψιν] παραλείπουσι τὰ BΓ || ἀπάλειψιν] οὕτως ἐν τῷ A· διορθωτέον ἴσως εἰς *ἀντίληψιν* ἢ *διάληψιν* || *τοῦ υἱοῦ* AΓ. — 15 *παραλαβόντος* AΓ || *πυθομένου* ABΓ. — 16 καὶ μάστιξιν] ἐκ τοῦ B || *ὑπεβάλετο* Γ || κακοῦ - - στέρνων] ἐλλείπουσι τῷ B. — 17 *τυγχάνον* A, *ὑπάρχων* Γ. — 18 ποτὲ] *οὖν* B. — 19 *διαρραγῆναι* AΓ, *κοπῆναι* B || τῇ τῶν μαστίγων - - γενέσθαι] ἐλλείπουσι τῷ B. — 20 καὶ τοῦ ἐλέους - - τὴν θηλήν] οἰκτ. πατὴρ ὑγιᾶ κατέστησε B. — 22 ἅμα πρωῖ] ἐλλείπουσι τῷ B. — 23 οὐ πρὸς - - μανίαν δὲ] *ἐμάνη* B || *προσμανίω* A. — 24 πάντιμον] ἐλλείπει τῷ B. — 25 καὶ δεσμευθῆναι - - διαπέμψασθαι] ἐλλείπουσι τῷ B.

σκοπῶν ὁ κατάρατος; ἢ πάντως τῷ συνεχεῖ τοῦ αἵματος ἀνιμωμένην τὴν ἀγίαν διὰ τῶν ῥινῶν τὴν αἰθάλην τῷ ἐγκεφάλῳ διαπέμψασθαι καὶ πικρῷ τέλει τὴν ζωὴν καταλῦσαι. Ἀλλ' ὁ τῶν θαυμασίων Θεὸς διεσώσατο ταύτην καὶ ἀβλαβῆ διετήρησεν.

4. Καὶ ὅρα μοι τὸ ὑπερβάλλον τῆς κακίας τοῦ Σατανᾶ καὶ οἵῳ δεινῷ διενοήθησαν οἱ τούτου θεραπευταὶ ταύτην ὑποβαλεῖν. Δράκων ἐκεῖσέ που λάκκῳ τινὶ — θέαμα φρικτὸν — ἐνεφώλευε. Τούτῳ καθιᾶσιν αὐτήν, ἵν' ἐξανάλωμα γένοιτο τοῦ θηρός· ἀλλ' ἠγνόησαν τὴν ἄνωθεν βοήθειαν τοῦ Χριστοῦ, καίπερ πλεῖστα δι' αὐτῆς παιδευθέντες. Ὅμως ἐκείνη σταυροτύπως ἐκτείνασα τὰς χεῖρας, τούτου μὲν ἐνέφραξε τὸ στόμα, μέγα χανόντος, ἐξενεύρισε δὲ τοῦ νοητοῦ τὴν ἰσχύν, καὶ οὕτω τὸ ζῷον διέθηκε ταῖς εὐχαῖς, ὡς ἐπὶ ποσὶ ταύτης κλίνειν τὴν κεφαλὴν καὶ συνήθη ταύτην σύνοικον ἔχειν. Χρόνος οὐκ ὀλίγος τὴν συνοίκησιν εἶχε καὶ χεὶρ Ἀγγέλου διέτρεφε τὴν πανθαύμαστον. Ὡς οὖν εἶδον οἱ δυσσεβεῖς μηδὲν αὐτὴν παραβλαβεῖσαν τὸ σύνολον ὑπὸ τοῦ θηρός, ἀνιμῶνται τοῦ λάκκου καὶ αἰσχρουργοῖς αὐτὴν ἐκδιδόασι, χαμαιτυπείῳ τινὶ κατακλείσαντες. Εἰσήεσαν οὖν κατ' αὐτῆς οἱ ὀργῶντες, καὶ μή τινα βλέποντες — οὕτω γὰρ αὐτοὺς ἡ θεία χάρις ἐποίει — κενοὶ τῶν ἐπινοημάτων ἐξήεσαν καὶ μή τινα τὸ σύνολον εὑρηκέναι [ἐν] τῷ οἰκίσκῳ διεβεβαίουν. Ἐξάγουσιν αὐτὴν κἀκεῖθεν καὶ στέλλουσιν εἰς ὑπερορίαν.

5. Λύει ταύτην Ἄγγελος τῶν δεσμῶν καὶ ἀφίησιν ὑπάγειν, τὴν ἐπὶ τοῦ τραχήλου λύσας ἀοράτως σφραγῖδα καὶ τῷ ἀπάγοντι παρασχὼν εἰς ἀσφάλειαν. Στυγνὸν ἐπεῖδεν ἡ μάρτυς διὰ ταῦτα

1 *αἵματος* A, *ἄσθματος ἀνιμωμένη* Γ. — 2 *αἰθάλα* A. — 4 καὶ ἀβλ. διετήρησε] ἐλλείπουσι τῷ B. — 5 τὸ *Καὶ* ἐκ τοῦ Γ || ὅρα μοι - - ὑποβαλεῖν] ἐλλείπουσι τῷ B || *διενοήθ. δεινῷ* Γ. — 7 Δράκων - - θηρός] *Εἶτα δράκοντι τοινὶ φοβερῷ καθήσαν ἵνα ἐξανάλωμα γένητε* B. — 8 *καθ., ἵνα γένηται τοῦ θηρὸς ἐξανάλωμα* Γ. — 9 *καίπερ* BΓ, *καὶ περὶ* A. — 11 μέγα χανόντος - - σύνοικον ἔχειν] παραλείπει τὸ B. — 14 *ποιῆσας οὖν χρόνους ἱκανοὺς ἐν τῷ λάκκῳ ἄγγ. κυρ. διέτρ. ταύτην* B. — 15 οἱ δυσσεβεῖς - - τὸ σύνολον] *αὐτὴν μὴ βλαβῆσαν* B. — 20 τῶν ἐπινοημάτων] παραλείπει τὸ B || καὶ μή τινα - - διεβεβαίουν] ἐλλείπουσι τῷ B. — 21 *εἶτα ἐξάγουσιν* B || κἀκεῖθεν] ἐλλείπει τῷ B || *καὶ ὑπερ. στέλλουσι* B. — 23 *ἄγγελος δὲ κυρ. λύει τῶν δεσμῶν* B. — 24 ἀοράτως] ἑλλ. τῷ B. — 25 *στυγνάσασα οὖν ἡ μάρτυς, ὅτι μὴ* B || στυγνὸν] οὕτως ΑΓ.

τὸν ἥλιον, ὅτι μὴ ξίφει τὴν κεφαλὴν ἀφήρηται, ὅτι τὸ μαρτύριον μὴ τετελείωκε. Καὶ ἰδοὺ Ἄγγελος Κυρίου ταχὺς ἐπιστὰς φησὶ πρὸς αὐτήν· Εἰ βούλει τὴν διὰ ξίφους ὑπομεῖναι πλῆξιν, ἰδού σοι ταύτην ἐπάγω", καὶ ἅμα ἔδοξε τὸ ξίφος ἐπενεγκεῖν τῷ τραχήλῳ, ὡς καὶ πληγὴν ἐνσεσημάνθαι τούτῳ καὶ αἵμασι τοῖς ἐκ ταύτης τὰ ἱμάτια μεμολῦνθαι. Θαῦμα τὴν μάρτυρα κατειλήφει καὶ τὸν Θεὸν δοξάζειν οὐκ ἔληγε. Καὶ μὴ ξένον, ἀκροατά, νομισθῇ τὸ ῥηθέν· τὸ Βασιλέως γὰρ Ἀμασείας μαρτύριον ἐπιὼν εὑρήσεις, πῶς τμηθείσης τῆς αὐτοῦ κεφαλῆς ἡ συνέλευσις αὐτῆς τῷ λοιπῷ γέγονε σώματι καὶ πῶς ἡ τομὴ σπαρτίον καθαπερεὶ τῷ τραχήλῳ πεφοινιγμένον διέκειτο.

6. Τοίνυν ἀπολυθεῖσα τῶν δεσμῶν καὶ τῆς ὑπερορίας, ὡς εἴρηται, τὴν Νίσιβιν — τόπος δὲ αὕτη — καταλαμβάνει καὶ κηρύττει τὸν λόγον, ὡς ἄλλη Θέκλα, τῆς πίστεως. Εἶτα κατέλαβε τὰ Ἱεροσόλυμα, καὶ τοὺς Ἁγίους Τόπους προσκυνήσασα καὶ παρά τινος γέροντος, ἀνδρὸς πνευματικοῦ καὶ τὰ θεῖα σοφοῦ, τὴν ὀρθόδοξον πίστιν ἀκριβωσαμένη καλῶς καὶ τὰς αἱρέσεις τῶν κακοδόξων διαγνοῦσα καί τισι μοναστηρίοις παραβαλοῦσα, ἐν οἷς ἡ τοῦ δυσσεβοῦς Σευήρου ἐπολιτεύετο αἵρεσις, αἰτεῖ πρὸς Θεοῦ τίνος μέρους προσέλθοι τῇ κοινωνίᾳ· καὶ ὁρᾷ κατ' ὄναρ Ἄγγελον θεῖον δύο κρατῆρας ἐπιφερόμενον, ἕνα μὲν ἐζοφωμένον καὶ σκοτεινόν, θάτερον δὲ φωτεινόν τε καὶ διαυγῆ, καὶ λέγοντα τῆς καθολικῆς ἐκκλησίας εἶναι τὸν τοῦ φωτός, τὸν δὲ τοῦ σκότους τῶν αἱρετικῶν. Ταῦτα θεασαμένη κοινωνεῖ τοῖς ὀρθοδόξοις τῶν ἁγιασμάτων καλῶς, καὶ τὴν πίστιν ἐντεῦθεν σχοῦσα βεβαίαν, μεταξὺ Νισίβεως καὶ τοῦ Δαρᾶ ἀφιγμένη καὶ νόσῳ τινὶ περιπεσοῦσα βραχείᾳ,

2 *τάχος* ΑΓ. — 3 *πλῆξιν* ΑΓ, *πληγὴν* Β. — 5 *ἐνσημάνθαι* ΑΒ || τοῖς] *τῆς* Γ. — 6 *κατειλῆφει* Β. — 7 *ἔληγε. ὥσπερ σπαρτίον τῷ τραχήλῳ φοινισσομένη* Β. — 8 Ἀμασείας] ἐκ τοῦ Γ. — 10 *τῷ τραχ. σπαρτίον καθαπερεὶ* Γ. — 12 ὡς εἴρηται] ἑλλ. τῷ Β || τόπος δὲ αὕτη] ἑλλ. τῷ Β. — 14 τὸ *τῆς πίστεως* μετὰ τὸ *λόγον* ἐν τῷ Γ || κατέλαβε] ἑλλ. τῷ Β. — 16 καὶ τὰ θεῖα σοφοῦ] ἑλλ. τῷ Β. — 17 ἀκριβ. καλῶς] *μαθοῦσα* Β. — 22 *θάτ. δὲ δι' αὐτῆ καὶ φωτεινὸν* Β. — 24 *θεασαμένοις* Β. — 25 *σχοῦσα* ΑΓ, *ἔχουσα* Β || τὸ *καὶ* ἑλλ. τῷ Β. — 26 βραχείᾳ] ἑλλ. τῷ Β.

*

εὐξαμένη τε ὑπὲρ βασιλέως τῶν ὀρθοδόξων καὶ τῆς ἐκκλησίας αὐτῆς, πρὸς Κύριον ἐξεδήμησε.

7. Καὶ γοῦν, ὦ καλλίμαρτυς Γολινδοὺχ καὶ σεβασμία τῷ ὄντι καὶ ὑπερθαύμαστε, ταῖς ἀκηράτοις ἐμφιλοχωροῦσα μοναῖς αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μῆκος ἐτῶν ζωῆς ἀκυμάντου καὶ εἰρηναίας, ἰσχυρότατον κατ' ἐχθρῶν τὸ βασίλειον, χώρας Βαρβάρων ὑποσπόνδους τιθέμενον, πάντας θραῦον τοὺς ἀντιτεταγμένους δυνάμει Χριστοῦ· ᾧ δὴ πρέπει πᾶσα τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

1 *εὐξαμ. πρὸς κύριον ἐξεδ. ἀπολαβοῦσα τῶν πόνων τὰς ἀμοιβὰς ἐν οὐρανοῖς, εἰς δόξαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν* B.

XVIII

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

διήγησίς τις ἐν στίχοις ἰαμβείοις
τινῶν θαυμάτων τοῦ θείου Νικολάου,
ὧν οὐδαμῶς μέμνηται ὁ Μεταφράστης.

(Cod. Sab. 261 f. σμβ′-σμζ′).

τῶδ' ἐξαναστὰς τοῦ θρόνου, θυηπόλε,
τὸν εὐλογητὸν συνήθως ἐπευλόγα.

—

Ἀλλὰ θαλασσῶν δυσδιέξοδον χύσιν
ἐπιρροάς τε κυμάτων ἀπειρίτων,
ψάμμους ἁπάσας, τῶν ὀρῶν τὰς φυλλάδας,
πλήθη βοτανῶν, ἀστέρων ποικιλίαν
καὶ σταγόνων ῥοῦν, νιφετῶν πανσπερμίαν,
εἴ τῳ κατ' ἰσχὺν ἐξαριθμῆσαι τάχα,
καὶ θαυμάτων πέλαγος ὑπερηρμένον
ἴσως διαπλεύσειε τοῦ Νικολάου.
Ἐπεὶ δ' ἐκεῖνα τῶν βροτῶν τὰς δυνάμεις
ἐν δευτέρῳ τίθησιν ἐξ ἀπειρίας,
τὰ Νικολάου καὶ πλέον διαδράμοι
πηλικότητι καὶ ποσῷ μὴ μετρίῳ·
πλὴν ἀλλ' ἱκανὰ τῶν ἐκείνου θαυμάτων
ὑμῖν παραθῶ τοῖς καλοῖς δαιτυμόσιν,
ὡς ἐξ ὀνύχων κατίδητε προσφόρως
τὸν θῆρα τὸν μέγιστον, ἐκ δὲ κρασπέδου
τὸ φᾶρος αὐτό, γεύματος δ' αὖθις πίθον
κἀκ τῆς ὀπώρας τὴν χάριν τοῦ δενδρίου.
Ἀλλ' ἀκοὰς κλίναντες ἤδη πρὸς λόγους
τὸ πρῶτον εἰσδέξασθε θαῦμα προφρόνως·
ἐκ τοῦ σύνεγγυς δ' ἀρκτέον τῶν θαυμάτων.

—

Θαῦμα πρῶτον ἄκουε τοῦ Νικολάου.

—

Μετὰ τελευτὴν τοῦ σοφοῦ Νικολάου
τῆς εὐσεβείας ὁ στῦλος Κωνσταντῖνος,
βασιλέων μέγιστον ἔντρανον κλέος,
τὴν χάριν εἰδὼς αὐτόθεν τοῦ μεγάλου
ἐν τῇ παρ' αὐτοῦ συσταθείσῃ κοσμίως
πόλει πρὸ πασῶν εὐστόχως ἐπωνύμῳ
νεὼν ἀνιστᾷ τῷ μεγάλῳ σὺν πόθῳ,

14 κῶδ. *ἐπὴ*. — 20 ἐξ ὄνυχος τὸν θῆρα] πρβλ. Corp. paroem. II, σ. 165, 409. Gaisford, Paroemr. Gr., σ. 138. — 21 ἐκ κρασπέδου τὸ φᾶρος κτλ.] Gaisford, Paroem. σ. 194, ἔνθα καὶ τὸ *ἐκ γεύματος γινώσκεις* καὶ τὸ *ἐκ τοῦ καρποῦ τὸ δένδρον*. Corpus paroem. II, σ. 162, 165 (ἐκ τοῦ γεύματος ἡ πηγή), 389 || κῶδ. *μέγιστον ἔκδε*.— 22 κῶδ. *φάρος*. — 24 κῶδ. *κλήναντες ἤδη*. — 25 κῶδ. *εἰσδέξασθαι θαύμα*. — 26 κῶδ. *συνεγγῦς*. — 33 κῶδ. *εὔστοχως*.

ἀνάλογον μῆκει τε καὶ πλάτους βάθει
καὶ πᾶσιν ἄλλοις εὐφυῶς ἠσκημένον·
ἄγχιστα δ' οὗτος τοῦ νεὼ τῆς Σοφίας,
πρὸς τοῖς Ἐφοις Ἐμβόλοις, ἡδρασμένος
ἔστιν ἐς ἡμᾶς εἰσέτι παραμένων.
Τῆς Βασιλίδος κλῆσιν ἐμφέρει δόμος
ἐκ τοῦ σύνεγγυς στρογγύλου ναϊδίου,
ἐν ᾧ λόγος ῥεῖ καὶ πρὸς ἡμᾶς πλημμύρων
τὸν κατὰ καιροὺς τὰ κράτη τῶν Αὐσόνων
κρατοῦντα καλῶς ἐξ ἀνακτόρων βάδην
πρὸς τὸν μέγιστον εἰσελαύνοντα δόμον
ἐκεῖσε ῥιπτεῖν τὴν στολὴν ἐνδυμάτων,
βασιλικῶς δὲ ταινιούμενον ὅλως
σὺν πορφύρᾳ βύσσῳ τε τῆς ἁλουργίδος,
περιφανῶς μάλιστα καὶ παρρησίᾳ
δι' ἱεροῦ φρέατος ἐκ τετραπύλου
πρὸς τὸν περιθρύλλητον οἶκον Σοφίας
βαίνειν ἀρίστως σὺν κρότοις εὐφημίας.
Ὁ Κωνσταντῖνος τοιγαροῦν ἐκ χρωμάτων
τοῦ Νικολάου τοὺς τύπους ἐν εἰκόσιν
ἐκεῖσε διέγραψεν εὐρύθμως ἄγαν
χερσὶν ἀκριβῶς ἱστορεῖν εἰθισμέναις·
ἢ δή τις εἰκὼν ὡς παράδοξον τέρας
ἐν τοῖς ἄνω πέπραχεν εὐθέως χρόνοις,
ὃ καὶ πρὸς ὑμᾶς ἄρτι διηγητέον.
Ἀνήρ τις Νικόλαος ὠνομασμένος,
πένης, ἀκριβῶς δυστυχής, τετηγμένος
πρὸς τῇ πενίᾳ καὶ κακὴν συνοικίαν
πλουτεῖ διαρκῶς, στρατιὰν φεῦ Δαιμόνων,
ἥτις ἐπεισφρήσασα τούτῳ σὺν κρότοις
οἴκημα ταύτης προσφυὲς καθιστάνει·
ἐν ἡμίσει χρόνου δὲ τοῦτον ἀθλίως
πυρκαϊὰ φλέγουσα πυρετῶν ξένων
τὰς ἁρμονίας τῶν μελῶν καθειργνύει
καὶ πάμπαν ἀκίνητον εὐθὺς δεικνύει
(μόλις δὲ πολλοῖς ἐν χρόνοις τοῖς ὑστέροις
ὅλον τὸ σῶμα τῶν μελῶν λύσιν φέρει
μόνων ποδῶν ἔκτοθεν ἐκ γλουτῶν μέσων·
ἦσαν γὰρ ἐξόπισθεν ἀντεστραμμένοι·
ἐτώσιόν τις ἄχθος εἶπεν εὐστόχως),
λίθος καθάπερ ὡς ἀκίνητος φύσει.
Οὐκοῦν ἀπειπὼν διατρίβειν πρὸς θύρας
τὰς τῶν ἰατρῶν, μηδὲν ὡς δυναμένας,
ἀμηχανῶν ἔκειτο πάσχων ἀκράτως.
Τῆς οὖν μεγίστης ἑνστάσης Νικολάου
λαμπρᾶς ἑορτῆς ἐν Κωνσταντινουπόλει
καὶ τῶν ἁπάντων συντρεχόντων ἐκθύμως
τῶν ἁγιασμῶν ἀπολαῦσαι πλησμίως,
ἠρέμα πάμπαν ἐρπύσας οὗτος πένης,
σὺν ταῖς καλίσι ταῖς δυσὶν ἡδρασμένος,
αἷς δὴ τὸν ὄλκὸν εἶλκε (φεῦ) τοῦ σαρκίου,
βραχύ τι λαμπάδιον ὠνεῖται τάχος,
ἐπείγεται δὲ καταλαβεῖν αὐτίκα
πρὸς τῶν Ἰβήρων τὴν μονὴν εὐκαρδίως,
ὅπου πόλις σύμπασα τοῦ Κωνσταντίνου
πανηγυρίζειν εἶχον ἐξ ἔθους πάλαι
λαμπρὰν ἑορτὴν τῷ σοφῷ μυροβλύτῃ.
Ἠπειγμένον οὖν τὴν πανήγυριν φθάσαι
τὸν δυστυχῆ πένητα σὺν προθυμίᾳ,
ὄπισθεν εὐθὺς τοῦ νεὼ τῆς Σοφίας
τούτῳ συναντᾷ τῶν Μύρων ἀρχιθύτης
ὁ Νικόλαος, προφθάσας τὸν ἱκέτην·
ἐρωτᾷ δ' εὐθὺς τὸν πένητα προσφόρως
"Τίς καὶ πόθεν; ποῦ, διατί τε καὶ πόσον";
Οὗτος δ' εἰς ἀκρίβειαν ἅπαν ἠκρίβου.
Ὡς οὖν ἅπαν ἔγνωκε δῆθεν, αὐτίκα
"Ἀλλ' οὐχὶ τεύξῃ" (φησὶν ὁ μυροβλύτης),
"ἔνθα βαδίζεις, τὴν λύσιν ποθουμένου.
Εἰ γοῦν ὑγείαν καθαρὰν ἰδεῖν θέλεις,

35 τε] κῶδ. *ται.* — 43 κῶδ. *κράτει.* — 47 κῶδ. *βασιλεικῶς.* — 49 κῶδ. *περὶ φανῶς.* — 51 κῶδ. *περὶ θρύλλητον.* — 54 κῶδ. *ἐνεικόσιν.* — 58 κῶδ. *εντοῖσάνω.* — 60 τοῦτο τὸ περὶ Νικολάου τινὸς θαῦμα ὅρα σλαβιστὶ παρὰ τῷ Ἀρχιμανδρ. Λεωνίδῃ, Посмертныя чудеса святителя Николая. Ἐν Πετρουπόλει 1888, σ. 10. — 62 κῶδ. *τηπενία καικακῆν.* — 65 κῶδ. *πρὸσφυὲς.* — 66 κῶδ. *ενημίσει.* — 67 κῶδ. *πυρκαϊᾶς.* — 69 κῶδ. *εὐθεῖς.* — 74 ἐτώσιον ἄχθος] Ἰλιάδ. Σ 104. — 84 ταῖς καλίσι] οὕτως ἐν τῷ κώδικι. Ἡσύχιος· «καλίς· σκέπαρνον». — 85 κῶδ. *ὀλκὸν ἦλκε.* — 91 κῶδ. *μυροβλήτη.* — 94 κῶδ. *ὅπ. ε. τουνεῶ.* — 95 κῶδ. *σὺναντᾶ.* — 97 κῶδ. *πρὸσφόρως.* — 98 τίς καὶ πόθεν κτλ] κώδ. φύλ. σμδ'. — 101 κῶδ. *ἀλλ'ουχιτ. φ. ὁ μυροβλήτης.* — 102 κῶδ. *λύσην.* — 103 κῶδ. *ὑγίαν κ. ἰδ. θέλης.*

ὡς τάχος ὑπόστρεψον ἔνθεν αὐτίκα,
καὶ καταλαβὼν τὸν νεὼν Βασιλίδος
ἐκεῖθεν εὕροις τοῦ κακοῦντος τὴν λύσιν.
εἰ δ' οὐ κάτοισθα τόνδε τὸν νεὼν ἴσως,
ἐγὼ ποδηγήσω σε σὺν προθυμίᾳ·
ἀλλ' ἀκολούθει, μηδὲ βραδύνειν θέλε".
Ἠγεῖτο λοιπὸν ἀναδιδάσκων ὅλως
εὔχαριν εἶναι, γενικῶς δ' ὑποστέγειν
τὴν τοῦ Θεοῦ μάστιγα πρὸς σωτηρίαν.
Οὐκοῦν ἀγαγὼν πρὸς ναοῦ ταῖς εἰσόδοις
τῆς Βασιλίδος ἀφανὴς ὤφθη τάχος.
Λιτῆς τὸ λοιπὸν ἐξ ἔθους τελουμένης,
ἐκεῖθεν αἴφνης συγχυθεὶς ὅλως πένης,
ἕλκων τὸ σῶμα, τὰ σφυρὰ παρασύρων,
μετὰ λιτῆς ἔβαινε σὺν εὐθυμίᾳ,
ἕως καθυπέστρεψαν αὖθις ἐν δόμῳ
τῷ Βασιλίδος τοῦ καλοῦ Νικολάου·
ἐκεῖσε δ' ἐλθὼν καὶ κατιδὼν εὐθέως
ὅνπερ ποδηγήσειε τοῦτον ἐνθάδε
κατ' ἀκρίβειαν πᾶσαν εἰκονισμένον
ἐν ταῖς σανίσιν, ὡς διαγράφειν ἔθος,
ῥυσσόν, πολιόν, φαλακρὸν τὰ πρὸς τρίχας,
φέροντα κουρᾶς ἐν ὑπήνῃ σισόην,
πρόσεισιν ἔρπων τῷ τύπῳ Νικολάου·
ἀπρίξ τε χερσὶ προσρυεὶς τῇ σανίδι
ὥς τι χρεὼν μέγιστον ᾔτει τὴν χάριν,
ὥσπερ δανειστὴς ἀπαραίτητος τάχα·
σοβῶν δὲ πολλὰ καὶ μανικὸν ἐμπνέων
πρὸς γῆν ἀράσσει τῷ πόθῳ τὴν εἰκόνα·
προσφὺς δ' ἐν αὐτῇ καὶ πεσὼν ὅλως ὅλῃ,
τῶν σταυρίων ἓν προσδακὼν καταπίνει,
ἅπερ παρῆσαν τοῖς τύποις ἡρμοσμένα
πρὸς κάλλος ἐξαίσιον ἐκ χρυσαργύρου·
σταυροῦ δὲ βρῶσις ἐξεμεῖ παραυτίκα
τῶν Δαιμονίων τὸ στῖφος, τῶν ἀσθμάτων.
Στάσης κατὰ χώραν δὲ πάλιν εἰκόνος
αὖθις ὁ χωλὸς ἐκλαθὼν πᾶσαν θέαν
δράσσει τὰ κάτω προσδραμὼν τῆς εἰκόνος,
τὴν χάριν αἰτῶν, ὡς ὑπόσχεσις πάλαι.
Ἐκεῖσε λοιπὸν τετακὼς ἅπαν μέλος
καὶ τῶν ποδῶν εὕρηκεν εὐθὺς τὴν λύσιν·
μέσον δὲ πηδῶν καὶ τρέχων τοῦ λαοῦ τε
Θεῷ τὸν αἶνον καὶ σοφῷ Νικολάῳ
σὺν παντὶ πλήθει τῶν ἐκεῖ χριστωνύμων
ἔμελπεν, ἀνέπεμπε σὺν μελῳδίᾳ.
Καὶ τοῦτο δ' ἔργον τοῦ σοφοῦ Νικολάου
τῆς Βασιλίδος πρὸς δόμον πεπραγμένον,
ὃ δὴ σαφῶς τίθημι κἀν τοῖς δευτέροις

—

Δεύτερον θαῦμα τοῦ σοφοῦ Νικολάου.

—

Ἀνήρ τις οἰκῶν ἐν μέσῳ τῶν ἐμβόλων,
ἀγχιθυρῶν δὲ τῷ νεῷ Νικολάου,
ἔθιμον εἶχεν, ἀπαραίτητον χρέος,
τελεῖν ἑορτὴν ἱερὰν ἐτησίως
τῷ Νικολάῳ κατὰ δύναμιν πάλαι·
οἷα δὲ πολλὰ τοῦ παλιμβόλου βίου,
εἰς βάθος ἐλθὼν ἐσχάτου δυστυχίας
οὐκ εἶχεν ὥσπερ ἐξ ἔθους ἀπαρτίσαι
τὰ τῷ μεγάλῳ κατ' ἰσχὺν εἰργασμένα.
Τῆς οὖν ἑορτῆς ἐνστάσης ἐτησίως,
ἤσχαλλεν, ἐσφάδαζεν ἐν κρότει χεῖρας
καὶ τοῖς λογισμοῖς τὴν ψυχὴν ἐδαπάνα,
εἰ τὴν ἑορτὴν ἀκλεῶς παραδράμοι.
Τούτοις λογισμοῖς ἐσθίων τὸ σαρκίον,
μόλις πρὸς ὕπνον ἐκτραπεὶς παραυτίκα,
ὁρᾷ τινα γέροντα σὺν πολλῷ τάχει
ἐλθόντα σαφῶς, ἱερῶς ἐσταλμένον,
καὶ χρύσεον νόμισμα παλάμαις μέσαις
ἐπεμβαλόντα καὶ πάλιν πεφευγότα,
εἰπόντα " Δέξαι τὸν στατῆρα χρυσίου
καὶ πάλιν ἐκπλήρωσον, ὡς ἔθος ἔχεις,
μηδ' ἄγαν οὕτω τῷ βάρει τῆς ἀνίας
θανάτα σαυτὸν τῆς λύπης τῷ φορτίῳ ".
Εὐθὺς δ' ἐκεῖνος χαρμοναῖς τῆς ἐλπίδος
τὸν ὕπνον ἄρδην ἐκτινάξας ὀμμάτων

109 θέλε] κῶδ. *θέλεις*. — 111 κῶδ. *γεννικῶς*. — 115 κῶδ. *ἐξέθους*. — 125 κῶδ. *φαλακρόντα*. — 126 κῶδ. *ἐνυπήνισισώην*. — 128 κῶδ. *πρὸσρυεὶς τῇ σανίδη*.— 132 κῶδ. *ἀράσει - - εἰκ*. — 134 κῶδ. *πρὸς δακὼν*. — 135 κῶδ. *οπερπαρήσαν*. — 138 κῶδ. *στίφος τ. ἀσμάτων*. — 139 κῶδ. *χῶραν δὲ πάλην εἰκ*. — 141 κῶδ. *πρὸσδραμῶντης*.— 151 ὃ δὴ] κῶδ. *ὦ δΐ*. — 160 κῶδ. *οὐχ εἶχεν ὥσπερ ἐξέθους ἀπαρτῆσαι*. — 161 κῶδ. *κατίσχὺν*. — 163 κῶδ. *ἤσχαλεν*. — 168 κῶδ. *ορᾷ τινὰ γ. συνπολλῶ*.

καὶ διαναστὰς ἐν μέσαις ἀωρίαις,
χρυσὸν διαυγῆ, καθαρώτατον λίαν,
ἐν ταῖς παλάμαις εὗρεν εἰκονισμένον·
ὃν δῆτα λαβὼν ἀνακηρύττει μέγα
τὸ θαῦμα πᾶσιν ἐμβοῶν ἐκ καρδίας·
ἡ δ' αὖ γε φήμη τοῖς πτεροῖς χρησαμένη
καὶ τὸν κρατοῦντα συντομώτατα φθάνει.
Λαβὼν τὸ λοιπὸν τὸν χρυσὸν Νικολάου
ὡς τινα πλοῦτον ὁ κρατῶν τῶν Αὐσόνων
τέτταρας αὖθις ἀντιπέμπει χρυσίνους
συνάμα διπλῇ τῇ δεκάδι τῷ τότε
πρὸς ὃν τὸ θαῦμα δεικνύει μυροβλύτης·
οὓς καὶ λαβὼν ἄριστα χερσὶν ὑπτίαις
λαμπρὰν ἑορτὴν ἐκτελεῖ τῷ μεγάλῳ,
πληρῶν ψυχὴν κάλλιστα τῆς εὐθυμίας
ἰσορρόπως, πλὴν τῆς πάλαι δυσθυμίας.
Λόγος δ' ἔνεστιν εἰς ἡμᾶς καὶ νῦν φθάνει
τὸ χρύσεον νόμισμα τοῦ Νικολάου
ταῖς βασιλικαῖς οἰκίαις παραμένειν
θησαυρὸς ἀκένωτος καὶ ξένον τέρας,
ἀνάθημα μέγιστον τοῦ μυροβλύτου.
Πρὸς τὸ τρίτον δὲ θαῦμα νῦν βαδιστέον.

—

Τρίτον πάλιν ἄκουε θαῦμα προθύμως.

—

Δημήτριός τις ἐν Κωνσταντινουπόλει
οἶκον κατοικῶν ἐν τοῖς Ἐλευθερίου,
πολὺν δ' ἐπαυχῶν πρὸς Νικόλαον πόθον,
τὰ πρὸς ἑορτὴν ἀθρόον συσκευάσας,
ἄρας διαπόντιος ἐκ Βυζαντίδος,
πρὸς τὴν Ἀθύραν ἐκπλέων κατατρέχει·
ἐκεῖσε καὶ γὰρ εἶχεν ἐξ ἔθους ἄγειν
λαμπρὰν ἑορτὴν τῷ μεγάλῳ σὺν κρότοις.
Πλέων τὸ λοιπὸν νυκτὸς ἐν μεσαιτάτῳ,
αἴφνης ποθὲν θύελλα σὺν καταιγίδι
ἐπιπεσοῦσα συνταράσσει τὸ σκάφος·
εἶτα πρὸς αὐτὴν ἀνατρέψασα πρύμναν
κατὰ βυθοῦ σύμπαντα ῥίπτει σὺν τάχει·
μεθ' ἣν ὁ Δημήτριος εἰπὼν αὐτίκα
"Νικόλαε πρόφθασον ἐν μέσῃ βίᾳ",
καὶ τηνικαῦτα τῆς χάριτος τῆς τόσης
μεταρσιωθείς, ὡς Ἀμβακοὺμ τὸ πάλαι,
χερσὶν ἀναφῶς μηδαμῶς ὁρωμέναις,
πρὸς οἶκον ἔνδον, τῶν θυρῶν κεκλεισμένων,
εἰσῆλθεν αἰφνίδιον ἐν Βυζαντίδι,
κράζων διαπρύσιον, ἐκβοῶν μέγα
"Νικόλαε πρόφθασον ἐν περιστάσει".
Οἱ γείτονες δ' οὖν ἐν ἀωρίᾳ μεσῃ
βοῆς τὸ δωμάτιον ὡς ἠσθημένοι
πλῆρες καταστὰν ἐξανίστανται τάχος.
Διαποροῦντες τοιγαροῦν τοῖς πρακτέοις,
εἰ χθὲς πρὸς αὐτὴν διαπλεύσας Ἀθύραν,
πῶς ἔνδον οἰκίας [οὕτω] κράζει μέγα
τὸν Νικόλαον καὶ μάλα καθειργμένος;
ὅμως δὲ πάσχειν ἐκ κακούργων ἀδίκως
πρὸς νοῦν βαλόντες ἀνερωτῶσι τάχος
"Τί τοῦτο, Δημήτριε; χθὲς πρὸς Ἀθύραν
ἔβης προθύμως, καὶ πόθεν πάλιν τάχει
αἰφνηδὸν οὕτω νυκτὸς ἐν μεσαιτάτῳ,
κεκλεισμένης ἔξωθεν αὐτῆς σου θύρας;
καὶ πῶς δὲ Νικόλαον ἐκβοᾷς μέγα";
Ἔνθους δ' ὁ Δημήτριος ὀφθεὶς εὐθέως
ἀπόκρισιν δέδωκεν ὥσπερ ἐξ Ἅδου·
"Ὑμεῖς δὲ τίνες; ποῦ δ' ἐγὼ πάλιν μένω";
Οἱ γείτονες κράζουσιν ἐν ταῖς οἰκίαις,
πάλιν δ' ὁ Δημήτριος ἔνδοθεν λέγει·
"Ὅτι μὲν ἐξώλισθον ἀπὸ τοῦ σκάφους,
σφοδρᾶς θυέλλης τῷ πελάγει πνευσάσης,
τοδὶ σαφῶς κάτοιδα· πῶς δὲ βυθόθεν
παρῆλθον ὧδε καὶ λαλῶ τε καὶ πνέω,

196 κῶδ. *εικίαις*. — 200 οὗτος ὁ στίχος ἐν τῇ ὥρᾳ γέγραπται. — 200 ὅρα καὶ τοῦτο τὸ περὶ Δημητρίου τινὸς θαῦμα παρὰ τῷ ἀρχιμ. Λεωνίδῃ, Посмертныя чудеса святителя Николая, σ. 33-35, ἔνθα τὰ τοπικὰ ὀνόματα, Τὰ Ἐλευθερίου καὶ Ἀθύρα, γράφονται οὕτως: вмѣстѣ рекомѣмь Елеоуферии, Анфоуратоу. — 204 κῶδ. *ἀθρίων*. — 206 κῶδ. *ἐκπλ. κατατρέχη*. — 208 κῶδ. φύλλ. σμγ' || κῶδ. *συνκροτοίς*. — 214 ἣν] κῶδ. *ὧν*. — 226 κῶδ. *διάπορ. τοιγὰρ οὖν*. — 227 κῶδ. *αὐτὸν διαπλεύσασα θύραν*. — 228 πῶς] κῶδ. *τᾶν* || μετὰ τὸ *οἰκίας* ἐλλείπει λέξις δισύλλαβος, ἴσως τὸ *οὕτω*. — 233 κῶδ. *ἔβυς* || κῶδ. *αἴφνηδὸν*. — 238 κῶδ. *ὥσπερἐξάδου*. — 239 κῶδ. *ἐγῶ πάλην*.

ἄγνωστόν ἐστι παντελῶς τὸ πρακτέον ".
Οἱ γείτονες δ' οὖν τὸ ξενάκουστον τέρας
ὡσὶ διακούσαντες, αἴφνης λαμπάδας
χερσὶν λαβόντες, εἰστρέχουσιν ἀθρόον·
ὁρῶσι δ' εὐθὺς τὸν Δημήτριον ὅλως
ἅλμην ἀποπτύοντα πᾶσαν ἐκ βάθους,
βεβρεγμένον σύμπασι τοῖς ἱματίοις,
ὡς καὶ σταλάζειν ἁλμυρὸν ξένον ὕδωρ
καὶ πλημμυρεῖν τοὔδαφος ἐκ τῶν ῥανίδων.
Οἱ συμπαρόντες τοιγαροῦν πίστιν λόγων
ἔργων ἀπ' αὐτῶν ἐκλαβόντες αὐτίκα
Θεῷ τιμήν, ἔπαινον, εὔφημον κλέος
καὶ δόξαν ἀνέπεμπον, ὡς παντεργάτῃ,
σὺν Νικολάῳ τῷ σοφῷ μυροβλύτῃ·
οἱ δ' αὖ γε συμπλέοντες οὐδὲν εἰδότες
τῶν κατὰ Δημήτριον, ἐς Κωνσταντίνου
ὡς αὖθις ἀνέπλευσαν, ἠκουτισμένοι
τὰ παρὰ δόξαν ἱερῶς πεπραγμένα
ὑπερφυῶς, ἥδοντο τῷ τεραστίῳ,
ὡς μᾶλλον αὐτοὶ προστυχόντες τῷ σκάφει,
κατακριβοῦντες τὴν βοήθειαν ὅση.

—

Ἕτερον θαῦμα τοῦ σοφοῦ Νικολάου.

—

Τίς δὲ παριδὼν καὶ τοδὶ τῶν θαυμάτων
οὐ ζημιώσει τὴν ὑμῶν ξυναυλίαν;
ὅθεν κατ' ἰσχὺν τοῖς παροῦσι ἁρμόσω.
Ἐκ παραλίας τῶν Μύρων ἐπαρχίας
ἀνὴρ ἀγροῖκος, εὐτελῆ ζῶν τὸν βίον,
πανηγυρίζων τῷ μεγάλῳ κατ' ἔτος
εἰστία λαμπρῶς τοὺς ἐκεῖ συνηγμένους.
Τῆς οὖν ἑορτῆς, ὡς ἔθος, τελουμένης,
αὐτὸς μὲν οἴκοι διατρίβων ἐσπέρας
τὰ πρὸς τρυφὴν ἔπραττε τῶν δαιτυμόνων,
Βασίλειον δὲ τὸν μόνον φίλον γόνον
πρὸς τὸν νεὼν πέπομφε τῶν ὕμνων χάριν·
αἴφνης δ' ἐπιστὰν Ἀγαρηνῶν τὸ στῖφος,
τοὺς τοῦ νεὼ σύμπαντας ἐσκυλευκότες,
εὐθὺ καταπλέουσι τῆς Κρήτης τάχος,
μεθ' ὧν ὁ Βασίλειος ἀγροίκου γόνος·
ὃν ὡς ἀπαρχὴν καὶ χάριν τῶν λαφύρων
πρὸς τὸν ἀμηρᾶν εἰσάγουσιν εὐθέως·
ὁ δ' αὖ κατιδὼν τῆς θέας εὐφυΐαν
(ἦν γὰρ πρὸς ὄψιν εὐφυὲς τὸ παιδίον
καὶ πᾶσιν ἄλλοις ἱκανῶς διαπρέπον)
τοῖς γνησίοις ἄριστα τῶν κατ' οἰκίαν
τάττει παρευθὺ καὶ τὰ πρὸς πόσιν ὅλως
δίδωσι τούτῳ ταῖς τροφαῖς κεραννύειν.
Οἱ γοῦν τεκόντες ἐκμαθόντες ὑστέρως
τὸ συμβὰν ἁπλῶς τῷ νέῳ Βασιλείῳ,
ἅπαν παρέντες χαρμονῆς εὐθὺς μέλος,
πρὸς πένθος ἐτράποντο καὶ θρηνῳδίαν.
Ἦν οὖν κατιδεῖν, ὡς Ἡσαΐας γράφει,
στραφεῖσαν αἴφνης τὴν ἑορτὴν εἰς γόους,
καὶ τὴν χαρὰν δὲ πρὸς λύπην ἀφιγμένην,
ἄρδην τε συγκέχυτο πάντα τῷ πάθει,
τῶν γειτονούντων εἰσρεόντων αὐτίκα.
Τί γοῦν ὁ Νικόλαος, ὁ Μύρων θύτης;
οὐκ εὐθὺς εἰς σύναρσιν ὁρμᾷ τοῦ νέου,
ἀλλὰ παρῆκεν ἐκδραμεῖν κύκλον χρόνου,
ὅπως μέγα δόξειε τὸ πραχθὲν τάχα.
Ῥέων τὸ λοιπὸν κατὰ κύκλον ὁ χρόνος,
τὴν τοῦ φεραυγοῦς ἡμέραν Νικολάου
πάλιν ἐπάγει τῷ προσήκοντι χρόνῳ.
Πάντων τρεχόντων τοιγαροῦν ὁλοψύχως
πρὸς τὴν ἑορτὴν σὺν χαρᾷ τε καὶ κρότοις,
μόνος ἁπάντων ὁ πατὴρ Βασιλείου
ἀπῆν γυναικὸς ἀναπεισθεὶς τοῖς λόγοις,
ῥήματα πικρὰ καὶ πλέα βλασφημίας
σαφῶς λεγούσης πρὸς χάριν Νικολάου.
Δυσὶ δ' ἀγροῖκος συγκρατούμενος πόθοις,
τῷ Νικολάου καὶ πάλιν [τῷ] συζύγου,
τὸ τῆς γυναικὸς δυστυχὲς κατευνάσας
λόγοις ἁπαλοῖς καὶ πάνυ πραϋτάτοις

246 πρακτέον] οὕτως ἐν τῷ κώδικι: γραπτέον ἴσως *πραχθέν μοι*. — 258 κῶδ. *παντεργάτην*. — 259 κῶδ. *μυροβλήτη*. — 265 κῶδ. *πρὸς τυχόντες*. — 266 κῶδ. *κατὰ κριβοῦντες*. — 270 κῶδ. *κατισχὺν - - ἁρμ*. — 272 ὅρα καὶ τὸ περὶ ἀγροίκου τινὸς θαῦμα παρὰ τῷ ἀρχιμ. Λεωνίδῃ ἔνθ. ἀνωτ. σ. 3-9. — 279 κῶδ. *χάρην*. — 290 κῶδ. *παρ' εὐθὺ - - πόσην ὅλει*. — 296 κῶδ. *γράφη*. — 298 κῶδ. *ἀφηγμένην*. — 300 κῶδ. *εἰσρεώντων*. — 305 κῶδ. *κατακύκλον*. — 308 κῶδ. *τρεχῶντων*. — 311 κῶδ. *ἀπεῖν γ. ἀναπισθεῖς*. — 315 κῶδ. *συζήγου*. — 311 κώδ. *φύλλ. σμε'*.

πείθει παραυτά, τὴν χάριν Νικολάου
διεξιὼν ἄριστα τοῖς κατὰ μέρος,
καὶ τὴν ἑορτὴν ἐκτελοῦσιν αὐτίκα·
πρὸς ἑσπέραν δὲ καὶ πάλιν κεκλημένων
(οὓς εἱστία μάλιστα καὶ φιλοφρόνως),
ψυχὰς ἁπάντων ταῖς τροφαῖς γαννυμένων,
μνείαν τις αὐτῶν τοῦ νέου Βασιλείου
ἄγει παρευθὺς ἐν μέσῳ δαιτυμόνων·
οἳ δ' αὖ τὰ πάντα τῷ νέῳ πεπραγμένα,
ἤθους τε ῥυθμὸν καὶ προσώπου τὴν θέσιν,
εἰς νοῦν ἀνῆγον, τοὺς τεκόντας ἐν μέσῳ
ἀναψύχειν θέλοντες ἐξ ἀθυμίας.
Ταῦτα λεγόντων τῶν φίλων δαιτυμόνων,
κυνῶν ὑλακὴ ταῖς προαυλίαις θύραις
πυκνὴ μεγάλως ἐκτρέχει πρὸς ἀέρα,
ὥσπερ ἀγρίως ἐνδακεῖν ἠπειγμένων.
Τῶν ἐσθιόντων τοιγαροῦν δεδοικότων,
μὴ καὶ πάλιν ἔφθασεν ἐξ Ἄγαρ στῖφος,
καὶ λαμπάδων φῶς ἐκσβεσάντων ἀθρόον,
ὁ τὴν ἑορτὴν ἐκτελῶν ὡς ἠρέμα
προκύψας ἐκτὸς οὐδένα μὲν προσβλέπει,
μόνον δὲ παῖδα τὸν Βασίλειον μέσον,
στολῇ τὸ σῶμα Περσικῇ κεκασμένον
καὶ δεξιᾷ φέροντα κύπελλον μέγα,
κεκραμμένον ἄριστα, προσφυὲς λίαν.
Ὁ γοῦν ἀγροῖκος τῷ ξένῳ θεωρίας
καταπλαγεὶς μάλιστα, φάσμα τι βλέπειν
σαφῶς ἐᾠκει νυκτὸς ὡς πρὸς ἑσπέραν·
μόλις δ' ἀναγνοὺς τῆς ἀληθείας φάος,
προσφύεται, πρόσεισιν ἐκ πόθου τάχος,
πυνθάνεται τάχιστα, τοῖς ἔσω φέρει,
τὸ παράδοξον ἐκβιάζεται λέγειν
καὶ μηδὲν ἁπλῶς συγκαλύπτειν αὐτίκα.
Βασίλειος δὲ τοῖς λόγοις περιτράνως
ἅπαν τὸ πραχθὲν συντόμως διαγράφει·
" Κρήτης ἀμηρᾷ προσδοθεὶς ἐγὼ μόνος
ἐν τοῖς κατ' οἶκον γνησίοις ἐκρινόμην
καὶ πρὸς πόσιν τάττει με τούτου καὶ μόνου.
Νῦν γοῦν παρεστὼς καὶ πόμα κεκραμμένον
ἄγων πρὸς αὐτὸν ἡρπάγην αἰφνιδίως
ἐκ θείας, οἶμαι, καὶ μεγίστης ἰσχύος
(οὐκ οἶδ' ὁποίας) καὶ φθάνω δι' ἀέρος·
ὅταν δὲ σύ με κατιδὼν ἐπεφθάκεις,
τότε πρὸς αὐτὴν καταβαίνω τὴν χθόνα,
μόνον δὲ Νικόλαον τὸν μυροβλύτην
παραστατεῖν μ' ἔδοξα σὺν προθυμίᾳ
καὶ συμμαχεῖν μοι καὶ πτεροῦν τὴν
καρδίαν ".
Ὁ τῶν φίλων δ' ὅμιλος εἰσδεδεγμένος
τοῖς ὠσὶν αὐτῶν τὰ ξένως πεπραγμένα
τῷ παμμεγίστῳ καὶ πατρὶ Νικολάῳ
ὑπερφυῶς ἤσθησεν ὡς ὑπὲρ λόγον·
ἐς αὔριον δὲ πανταχοῦ τῆς Λυκίας
διαδραμὸν [τὸ] τοῦ ξένου τεραστίου,
στῖφος μυριάριθμον ἐκτρέχει τάχος,
καὶ κατιδόντες τὴν ξένην προστασίαν
τοῦ Νικολάου, πρὸς Θεὸν τετραμμένοι
τὴν δόξαν ἀνέπεμψαν εὐχαριστίας.

—

Ἕτερον θαῦμα πάλιν τοῦ μυροβλύτου.

—

Σὺ δ' ἀκροατὰ ἄθρει καὶ πάλιν ξένον
καὶ φρικτὸν τεράστιον τοῦ Νικολάου.
Ἀνὴρ Συμεὼν ἡγιασμένος μέγας
ἔχων μαθητὴν συντρέχοντα τὸν βίον
καὶ Νικολάου τῇ θέσει κεκλημένον
πρός τινα Κατάβολον οὕτωσὶ τόπον
πέμπει κατελθεῖν διαπόντιον πάλαι.
Ὁ γοῦν μαθητὴς ὑποδὺς εὐθὺς σκάφος,
γαληνιώσης τῆς θαλάσσης ἠρέμα
ἔθει καθ' ὑγρῶν εὐθυμῶν ἐξαισίως·
ἐπεὶ δὲ τοῦ Τρίτωνος εἰς ῥοῦν ἐξέβη,
αἴφνης πόθεν θύελλα σὺν καταιγίδι
ἐπεισπεσοῦσα συνταράσει τὸ σκάφος.
Ὁ γοῦν κυβερνῶν τῆς νεὼς τὰς ἡνίας
ὅλας παρῆκε τῶν χειρῶν ἀπελπίσας,

322 κῶδ. *ἑστία.* — 325 κῶδ. *παῤ εὐθὺς.* — 326 αὖ τὰ] κῶδ. *αὐτὰ.* — 327 κῶδ. *προσώπου.* — 334 κῶδ. *ἐσθιώντων.* — 342 κῶδ. *πρὸς φυλὲς.* — 344 κῶδ. *κατὰ πλαγεῖς.* — 347 κῶδ. *πρὸς φύεται.* — 348 κῶδ. *τάχυστα.* — 353 *πρὸς δοθεῖς ἐγῶ.*— 357 κῶδ. *αἰφνηδίως.* — 366 κῶδ. *τοῖσωσῖν αὐτῶν ταξένως.* — 371 κῶδ. *μυριᾰρυθμον.* — 375 ὅρα καὶ τοῦτο τὸ θαῦμα παλαιοσλαβιστὶ παρὰ τῷ ἀρχιμ. Λεωνίδῃ ἐνθ. ἀνωτ. σ. 1-2. — 387 κῶδ. *θύελα.* — 388 κῶδ. *σὺν ταράσσει.*

ἴσα δὲ τούτῳ καὶ πᾶσα ναυτιλία·
πράσσουσιν εὐθὺς τῆς νεὼς σύμπαν ὅπλον
ἐκ τῶν χειρῶν ῥίψαντες ἀπεγνωσμένοι·
μόνη δὲ κλῆσις ἡ καλὴ Νικολάου
ἀνὰ στόμα σύμπασιν ἤδετο ξένως
τάχος ἐπελθεῖν τοῦτον ἐν τρικυμίαις.
Ἐν νῷ δ' ὑπάρχων καθεώρα σὺν τάχει
ὁ τὸν μοναστὴν ὑπιὼν ὅλως βίον,
Νικόλαον, τὸν πρόεδρον τῶν Μύρων,
κατὰ κυμάτων, ὡς ὁ Πέτρος τὸ πάλαι,
τρέχοντα, πεζεύοντα σὺν προθυμίᾳ,
φθάσαντα δ' ἐγγὺς ἀναβῆναι τὸ σκάφος
καὶ προσλαβέσθαι τῆς νεὼς τὰς ἡνίας,
θάρσος δὲ πάμπαν ἐμβαλεῖν τοῖς ναυτίλοις,
παρεγγυᾶν δὲ μηδόλως δεδοικέναι·
"Ὃν γὰρ ἐπικέκλησθε τῶν Μύρων θύτην,
ἰδοὺ τανῦν πάρειμι σύμμαχος μέγας·
ἕκαστος ἔργου τοῦ προσήκοντος γένου".
Ταῦτα λαλοῦντος τοῦ σοφοῦ Νικολάου,
εὐθὺς γαλήνη καὶ πάλιν ἐπιτρέχει
καὶ πᾶν θλῖβον τάχιστα συναπερρύη·
ἀντιστρόφως δὲ τὴν χαρὰν ἐσχηκότες
εὐθυβόλως βαίνουσιν ἐν Καταβόλῳ,
ὅπου σκοπιμώτατον εἶχον ἐκπλέειν,
τὸν εὐχαριστήριον ᾄδοντες λόγον
Θεῷ πρὸ πάντων καὶ σοφῷ Νικολάῳ.
Ἐγὼ δὲ καὶ νῦν ἄλλο καὶ πάλιν θαῦμα
λέξων σαφῶς ἔρχομαι τοῦ παμμεγίστου.

—

Ἄθρει καὶ πάλιν θαῦμα τοῦ μυροβλύτου.

—

Ἡ Σικελία νῆσος καὶ πάνυ λαμπροτάτη.
Ταύτην προσοικῶν εὐγενὴς ἀνὴρ πάλαι
καὶ διαφανὴς ἐν τιμαῖς πρεσβυτέρων,
στολὴν ἱερὰν ὑπενδὺς κατὰ χρέος
Θεῷ τελεῖν ἔμελλεν ἱερουργίαν.
Καὶ δὴ κατάρχειν εἰσβαλόντος, ὡς ἔθος,
ἐξ Ἀφρικῆς στράτευμα τῆς Ἄγαρ φθάσαν
σὺν τοῖς ἐκεῖσε τὴν ταχίστην ἐκφέρει·
βραχὺ δ' ἀποστὰν τὴν λαφυραγωγίαν
ἔργον μαχαίρας ἐσκόπουν παραυτίκα
πρᾶξαι σὺν αὐτῷ τῷ καλῷ πρεσβυτέρῳ.
Ὅριστο λοιπὸν ἡ σφαγὴ πρὸς ἑσπέραν.
Τῶν γοῦν ἁπάντων πρὸς σφαγὴν ἑστηκότων
καὶ δακρυόντων συμφορᾶς τὸ φορτίον,
τῷ πρεσβύτῃ μάλιστα τοῦ μόρου τάχα
ἥκιστα μέλον οὐδαμῶς ἦν ἐς τόσον,
ὅτι γε μὴ πέφθακε πρᾶξαι μηδόλως
μνήμην ἑορτῆς τοῦ σοφοῦ Νικολάου,
ἀγχιθυρούσης ἐν τρισὶ ταῖς ἡμέραις·
τοῦτο πρὸ παντὸς εἶχε καὶ κρεῖττον μόρου.
Οὕτω τὸ λοιπὸν δυσθυμῶν ὁ πρεσβύτης
βοαῖς ἐκάλει τὸν Νικόλαον φθάσαι·
αἴφνης δ' ἐπιστὰς ἐμφανῶς ὁ προστάτης
παρεγγυᾶται μὴ φοβεῖσθαι, μὴ τρέμειν.
Μετάρσιον δ' οὖν τῶν τριχῶν ἁφαρπάσας
ἐν ἀκαρεῖ τίθησι πρὸς τὴν οἰκίαν,
εἰπὼν πρὸς αὐτόν "Τὴν βοήθειαν βλέπεις·
τὴν γοῦν ἑορτήν, ὡς ἔθος, πλήρου τάχος"
Ταῦτα κατειπὼν ἀφανὴς ὑπεκτρέχει.
Καὶ τοῦτο μὲν τοιοῦτον ὑπάρχει ξένον,
εἰς ἕτερον δὲ ὁ λόγος ἤδη ἥκει.

—

Καὶ πάλιν ἄλλο θαῦμα τοῦ μυροβλύτου,
φρικτὸν τερατούργημα τοῦ Νικολάου.

—

Νεανίας τις ἐκ Θράκης ὡρμημένος
δόξης περιφάνειαν αὐχῶν πλουσίαν,
διαπρεπὴς τὴν ὄψιν, ὡραῖος ἄγαν,
πλούτῳ τε βρίθων, ὡς λίαν βαθυτάτῳ,
ἐξ ἐμπορίας τὸν βίον κεκτημένος,
πρὸς τὴν Κατάνην νησίου Σικελίας
χρείας καλούσης εὐδρομῶν καταπλέει.
Ἐκεῖσε λοιπὸν ἱκαναῖς ἐφ' ἡμέραις
περιβραδύνας ἐκπερᾶναι τὸ χρέος
μιᾷ πρὸς ὄρθρον διανίσταται τάχος
τῆς ἑβδομάδος ἡμέρᾳ τῇ κυρίᾳ,
καὶ τῷ νεὼ πρόσεισιν ἐκ πόθου τρέχων,
ὅπου παρῆν μάλιστα Κατάνης στῖφος.
Πρὸς δ' ὄρθρον αὐγάζονταλῃσταὶ παντόθεν

403 κῶδ. *πρὸς λαβέσθαι*. — 406 κῶδ. *ἐπὶ κέκλησθαι*. — 407 κῶδ. *πάρειμοι*. — 425 κῶδ. *εἰς βαλλόντως*. — 427 κώδ. φύλλ. σμς'. — 431 κῶδ. *ωριστω*. — 435 κῶδ. *μέλλον*. — 448 κῶδ. *υπεκτρέχη*. — 454 κῶδ. *περιφιφάνιαν*. — 455 κῶδ. *διἀπρεπεὶς* || *ὁραῖος*. — 461 κῶδ. *περὶ βραδύνας*.

ἐπεισπεσόντες τὸν λαὸν κατὰ κράτος
σφάττουσι καὶ κτείνουσιν ἀπηνεστάτως.
Ὁ πλούσιος γοῦν ἐκ Θράκης νεανίας
τοὺς μὲν βλέπων σπαίροντας ἐσκυλευμένους,
ἄλλους πρὸς αἷμα καὶ σφαγὴν νενευκότας
καὶ πάντα δεινὰ καὶ τραγῳδίας πέρα,
ἀμηχανῶν ἵστατο προσμένων ξίφος·
τόπῳ δ' ἐφεστὼς τοῦ νεὼ τῷ πλαγίῳ,
ὁρᾷ πρὸς ἐμφέρειαν εἰκονισμένον
τὸν Νικόλαον εἰς πρόσωπον αὐτίκα.
Καὶ δῆτα προσφὺς τῇ θέᾳ τυπωμάτων
ἐδεῖτο πάμπαν ἐκφυγεῖν καιρὸν βίας,
εἰς μνείαν ἄγων θαυμάτων ἀπειρίτων
αὐτοῦ θ' ἑαυτοῦ καὶ τεκόντων τὸν πόθον,
ὅνπερ πρὸς αὐτὸν εἶχον ἐντεθραμμένον.
Πάλιν ἀνεμίμνησκε τοῦτον εὐθέως
τῆς ἡλικίας καὶ τὸ τοῦ γόνου μόνον
καὶ πάντα τἄλλα βίαν ὑπεκκλίναι.
Οὕτω τὸ λοιπὸν ἐν μέσοις τοῖς βαρβάροις
ἐξημμένος μάλιστα τοῦ Νικολάου,
διέδρα τὸν κίνδυνον ἀρρητοτρόπως,
ὁρώμενός τε καὶ βλέπων ὅλος ὅλους·
ἀλλ' ἡ χάρις ἤμβλυνε τούτων τὰς κόρας,
πρὸς τὴν σχέσιν βλέπουσα τοῦ νεανίου.

—

Ὅρα καὶ νῦν ἕτερον φρικτὸν καὶ ξένον.

—

Ἕτερον οὐκοῦν καὶ πάλιν βλέπε θαῦμα
τοῦ παμμεγίστου καὶ θείου Νικολάου.
Πόλις, τὸ Βυζάντιον, ἡ Κωνσταντίνου
περιφανὴς ἔνεστιν εἰς πᾶσαν χθόνα.
Ἀνὴρ τὸ λοιπὸν εὐλαβής, Ἰωάννης,
ταύτῃ παροικῶν εἰκόνα τῷ μεγάλῳ
περιφανῆ τέτευχεν ἐκ χρυσαργύρου·
ἀπὸ βρέφους πλὴν τὸν πόθον εἶχε ξένον
πρὸς αὐτὸν εὐθὺς καὶ πάσῃ περιστάσει
τούτῳ προσεῖχε δεξιῷ παραστάτῃ.
Δεῆσαν οὐκοῦν καὶ πρὸς Ἀδρίαν πλέειν
(οὗτος δὲ κόλπος παρ' Ἰόνιον ῥέει),
σφοδρᾶς ταραχῆς προσβαλλούσης τῷ σκάφει
καὶ διελάσαι καὶ διαρρῆξαι ἐς μέσον
ἐκ τῆς ἀνάγκης καὶ βίας τῶν κυμάτων
σαφῶς θελούσης, ὁ ξένος νεανίας
σὺν ἑπτὰ προσπλέουσιν ἄλλοις εὐθέως
ἐμβὰς πρὸς ἀκάτιον ὀξέως λίαν
τὸν αἰγιαλὸν κατεπείγονται φθάσαι·
ἐγγὺς γὰρ ἡ ναῦς ἦρτο τῷ μεταρσίῳ,
μήτε πρόσω βαίνουσα, μήτ' ὀπισθίως.
Σφοδρὸν δὲ κῦμα τῶν κάτωθεν καχλάσαν
καὶ βρασθὲν αἰφνίδιον, ἀφρόν τ' ἐκπτύσαν,
κλύζει τὸ λεμβάδιον αὖτανδρον τάχος
καὶ τῷ βυθῷ δίδωσι τῷ κατωτέρῳ·
ὁ δ' Ἰωάννης τῷ τάχει τοῦ κινδύνου
" Νικόλαε πρόφθασον " ἐκ ψυχῆς λέγει.
Μόνον δὲ τοῦτο καταλέξαι συμφθάσας
καὶ τοῦ βυθοῦ πατήσας ἁπλῶς τὰ βάθη
τὸν Νικόλαον καθορᾷ παραυτίκα·
ὃς δῆτα τοῦτον ἐκ χειρὸς ἀνελκύει
καὶ πρὸς τὸ πλάτος τῆς θαλάσσης ἐκφέρει·
Ἐξυποδὺς δὲ τὸν φελώνην εὐθέως
κατὰ θαλάσσης ὑφαπλοῖ, τῷ δυστήνῳ
τούτῳ δ' ἐπειπὼν ἀνατρέχειν εἰς ᾆρος,
ὡρᾶτο σαφῶς ἐν μέσῃ τρικυμίᾳ
κατὰ κυμάτων, ὥσπερ εἰς γῆν, ἐκτρέχων,
τῆς χάριτος πνεύματι τοῦ Νικολάου
λαμπρῶς ἀκλύστως κυβερνώμενος λίαν.
Οὕτω δ' ἐπιστὰς ἀβλαβὴς πρὸς τὴν χθόνα
ἔπεμπε δόξαν, αἶνον εὐχαριστίας,
Θεῷ τὰ πρῶτα, δεύτερον Νικολάῳ,
πρὸς τὴν πατρίδα καὶ πάλιν σεσωσμένος.
Καὶ τοῦτο μέντοι τοῦτον ἔσχε τὸν τρόπον·
συνάψαι δὲ βούλεται ὁ λόγος ἄλλο·
ὅπως δὲ συνέβραμεν, ἀκούειν πρέπον.

—

Παρῆν ἑορτὴ τῶν Χριστοῦ γενεθλίων
- - - - - - - - - - - - - - - - - - -
Καίπερ κεκυφὼς τοῖς σιδηροῖς πρὸς χθόνα
τῷ δημιουργῷ προσφόρως ἀνεκρότει·

470 σπαίροντας] κῶδ. *σκέροντας*. — 473 κῶδ. *ἵστατω πρὸς μένων*. — 477 κῶδ. *πρὸς φὺς - - τυπομάτων*. — 481 ὃν περ] κῶδ. *ηνπερ*. — 484 κῶδ. *ὑπεκκλήναι*. — 495 κῶδ. *περὶ φανῆς*. — 504 κῶδ. *πρὸς βαλούσης*. — 508 κῶδ. *πρὸς πλέουσιν*. — 520 κῶδ. *βίθει*. — 534 κῶδ. *σεσσοσμένος*. — 537 κώδ. φύλλ. σμζ'. — 538 μετὰ τὸ *γενεθλίων* ἔλλειμμα φαίνεται μέγα. — 540 κῶδ. *πρὸς φόρως ἀνεκρότη*.

ᾠδὴ μελῶν δὲ πρὸς τὰς ἀλεκτρυόνων
ᾠδὰς παρῆκτο καὶ βραχὺ προσωτέρω·
αἴφνης δ' ὑπὲρ ἥλιον ἔνδοθεν φάος
πίμπλησιν ἅπαν φυλακῆς τὸ χωρίον
καί τις γεραρὸς ἱερῶς ἐσταλμένος,
ἡδύς, πολιός, φαλακρὸς τὰ πρὸς τρίχας,
τούτῳ προσιὼν συγκεκυφότι λίαν
"'Ἐμὲ" κράζει μέγιστον αἴφνης "ἐκ Μύρων
ὁ συγκρατῶν ἅπαντα πανσθενὴς λόγος,
σοὶ προστάτην πέπομφεν ἐνθαδὶ μέγαν
ἀναγγελοῦντα καὶ χαρᾶς θυμηδίαν
καὶ χάριτος πλήσοντα μουσουργημάτων,
δι' ὧν κροτήσεις ἐμμελῶς ἅπαν κλέος
πάντων ἁγίων καὶ κόρης σὺν ἀγγέλοις.
Ἴσθι τὸ λοιπόν, ὡς ὁ θὴρ σαφῶς Λέων
λιπὼν τὸ βιοῦν παρεπέμφθη τῇ κρίσει,
ἐκκλησίᾳ δὲ καὶ πάλιν ὁ δεσπότης
δώσει γαλήνην καὶ τιμὴν τῶν εἰκόνων
ὑπὲρ τὸ πρῶτον ἀδιάσειστον στάσιν".
Ταῦτα κατειπὼν κόμμα βραχὺ βιβλίου
τούτῳ φαγεῖν δίδωσιν ἐκ χειρὸς φέρων·
τούτοις δ' ὑπῆρχεν ἡ γραφὴ τοῦ βιβλίου·
"Ὁ συμπαθὴς τάχυνον οἰκτῖρμον, Λόγε·
ὡς οἶκτον αὐχῶν, σπεῦσον ἱκέτας ῥῦσαι,
ὅτι τὸ σύμπαν δυνατῶς ὑπεξάγεις".
Ὁ δ' Ἰωσὴφ ἤσθιε τὰ γεγραμμένα,
ὑπὲρ μέλι δοκοῦντα σὺν τῷ κηρίῳ
φάρυγγι τούτου καὶ ψυχῇ καὶ καρδίᾳ.
Τούτων τελουμένων δὲ τῶν τεραστίων,
ἅπαν σιδηροῦν ἐκ μελῶν ὅλων βάρος
ἔπιπτεν αὐτόματον, ἐκφέρον ψόφον.
Τούτων δ' ἁπάντων εἰς τέλος ἀφιγμένων,
θείᾳ δυνάμει τοῦτον ἁρπάσας ὅλως
ἐκ τῶν θόλων ἤνεγκε μακρὰν αὐτίκα·
μετάρσιον δὲ πρὸς τὸν ἀέρα φέρων
ἐν ἀκαρεῖ δίδωσι τῇ Κωνσταντίνου,
ἐν τοῖς Ὁρμίσδου, παντελῶς ὑπὲρ λόγον·
ἔνθα φανεὶς ἤγειρε δόξαν ἀθρόον
τῷ Νικολάῳ, τῷ σοφῷ μυροβλύτῃ.
Ἐντεῦθεν αὐτὸν κατὰ τὴν Πέμπτην λόγος
Χριστοῦ σὺν ἅμα τοῖς σοφοῖς ἀποστόλοις
ἔταξε μέλπειν Ἰωσὴφ ὁ γεννάδας
ἐκκλησίας πλήρωμα τῶν χριστωνύμων·
κἂν καὶ φανὲν πρὸς βάρος τοῖς θύταις τότε,
εἰ Νικόλαος τὴν προτίμησιν ἔχει
τῶν ἱεραρχῶν, ἡσυχαστῶν, μαρτύρων,
ἔφη τὸ σύμπαν τῆς σοφῆς μουσουργίας
τοὺς ἱεροὺς ἅπαντας αὐτοῦ κανόνας
φθερεῖν παραυτὰ καὶ πυρὶ δοῦναι φλόγα,
εἰ μὴ καὶ Νικόλαος σὺν ἀποστόλοις
Πέμπτῃ πρὸς αὐτῇ καταχθείη τὸ τάχος.
Ἵνα τὸ λοιπὸν μὴ λάβῃ πέρας λόγος,
ἅπας δὲ κόσμος ἐκ μέσου τῶν κανόνων
ἀρθῇ προφανῶς Ἰωσὴφ μελουργίας
Χριστοῦ διακοσμήσῃ τὴν ἐκκλησίαν,
παρῆτο τοῖς σύμπασι τὰ πεπραγμένα
καὶ Νικόλαος ἐξ ἐκείνου τοῦ χρόνου
καθ' ἑβδομάδα ταῖς ὅλαις ἐκκλησίαις
συνευλογεῖσθαι τοῖς σοφοῖς ἀποστόλοις·
ὁ δ' Ἰωσὴφ εἴληφε καὶ Θεοῦ γέρας
τῆς χάριτος μάλιστα καὶ τῶν θαυμάτων.
Ταῦτα μὲν οὕτως ἐνθαδὶ διαγράφω,
ἐκ τῆς θαλάσσης ὑποδείξας σταγόνα·
ἐκ γεύματος τὸν πίθον (ἡ παροιμία)·
πρὸς γὰρ τὸ σύμπαν τῶν ἀπείρων θαυμάτων
τοῦ Νικολάου, τοῦ σοφοῦ μυροβλύτου,
ἴσως ἐπιλείψει με καὶ χρόνος γράφειν,
ὅπου γε καὶ νῦν μετρίως λελεγμένων
ὁρᾷς τὰ κέντρα τῶν κακῶν μωμοσκόπων
φρίσσοντα καὶ πλήττοντα, πλὴν οὐ καιρίαν.
Ἅπερ σεσιώπηται τῷ πάλαι χρόνῳ,
πρὸς εὐγενῆ τε φράσιν ἠττικισμένην
ἐλθόντα μήπω τοῖς σοφοῖς τὰ πρὸς λόγον,

541 κῶδ. *μελλῶν*. — 547 κῶδ. *σὺ γκεκϋφότι*. — 556 κῶδ. *κρίση*. — 559 κῶδ. *ἀδίασιστον*. — 569 κῶδ. *βιβλύου*. — 563 κῶδ. *οἰκτίρμων*. — 568 κῶδ. *πάρυγγι*. — 578 κῶδ. *εἴγηρε*. — 583 κῶδ. *χριστονύμων*. — 585 κῶδ. *προτίμησιν ἔχη*. — 590 εἰ μὴ] κῶδ. *εἰμι*. — 591 κῶδ. *κατὰ χθείη*. — 604 σημειωτέον τὴν παροιμίαν, ἥτις ἐστὶ παραλλαγὴ διάφορος τοῦ « ἐκ τοῦ γεύματος γινώσκω » καὶ τοῦ « ἐκ τοῦ γεύματος ἡ πηγή ». Ὅρα στίχον 22 καὶ Corpus paroem. II, σ. 162, 165, 753. — 612 κῶδ. *ἠττικισμένην*.

νῦν εἰσφέρουσι πᾶσιν ἐν παρρησίᾳ,
καὶ ταῦτα μέτρῳ γραφικῆς εὐρυθμίας·
ἐγὼ δ' ἑροίμην τοῖς λέγουσι μετρίως,
εἰ ταῦτ' ἀληθῆ μηδαμῶς τῶν θαυμάτων,
ὡς μὴ τυχόντα φράσεως τῆς ποικίλης,
πῶς θαυματουργὸς ὁ Νικόλαος; φράσον.
Εἰ δ' ἡ θέσις ἔνεστιν ἀληθεστάτη,
πάντως ταδὶ πάρεισι πράγματα λόγου·
ὡς γὰρ χελιδὼν οὐκ ἔαρ μία φέρει,
καὶ πρᾶξις οὕτως οὐ μία καὶ δευτέρα
τὸν θαυματουργὸν ἀκριβῶς πεφρασμένον·
σὺ δ' εἰ 'κ μέσου ῥίψειας, ὡς ῥίζαν ἔχον
ἐκ τῶν χθαμαλῶν καὶ χαμαιζήλων λόγων,
ἥκιστα πρέπον, οὐδ' εὐσεβὲς τυγχάνει·
ὅτι δὲ μὴ πέφρασται τοῖς παλαιτέροις,
τὸ καινὸν οὐδέν· εἰ γὰρ ἅπαν ἐγράφη,
ἔδει τεράτων καὶ μᾶλλον Νικολάου·
οὐδ' αὐτὸν οἶμαι, τὸ φρικῶδες εἰ δέον
ὧδε γράφειν πάρεστιν, ὡς τολμητέον
κόσμον βαστάσαι τῆς γραφῆς τὰ βιβλία.
Ἡμεῖς δὲ δῶμεν δόξαν Θεῷ τῷ ἐν
τριάδι
ὑμνουμένῳ πάντοτε, νῦν, εἰς αἰῶνας,
τῷ δόντι τέλος ἐνθαδὶ τῶν θαυμάτων
τοῦ θαυματουργοῦ καὶ σοφοῦ Νικολάου.

---

615 κῶδ. *γραφηκῆς*. — 625 κῶδ. *δ' ἐκ*. — 632 κῶδ. *πάρεστην*.

XIX

ΜΗΝΙ ΙΑΝΟΥΑΡΙΩΙ Γ'.

ΒΙΟΣ ΚΑΙ ΘΑΥΜΑΤΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΥΣΤΡΑΤΙΟΥ,

ἡγουμένου τῆς μονῆς τῶν Αὐγάρου.

(Cod. Sab. 242, f. 104α - 140α).

1. Ὅτι μέν, ὦ φιλάγιον ἄθροισμα καὶ φιλόχριστος συνέλευσις, τὸ τοῖς ἐπ' ἀρετῇ διαλάμψασι καὶ τῆς θείας ἐν μετοχῇ χάριτος καὶ θέσει θεότητος ἠξιωμένοις ἐφετὸν καὶ ἐπέραστον ἐνδιατρίβειν διηγήμασιν τοῖς εὐσεβεῖν προαιρουμένοις, ἡμῖν τε πᾶσιν βέβαιον καὶ φανερὸν αὐτῇ τῇ φύσει καθέστηκεν· ἐπειδὴ γὰρ αὐτοὶ τῇ τοῦ παναγίου καὶ ζωαρχικοῦ πνεύματος ἐπιπνοίᾳ καὶ χάριτι ἐρασταὶ τῆς ἄνω δόξης ἀραρότως γεγένηνται, καὶ διὰ τοῦτο φίλοι καὶ υἱοὶ αὐτοῦ τοῦ τῆς δόξης Κυρίου ἠξιώθησαν χρηματίσαι, πᾶσαν τὴν πρὸς σάρκα φιλίαν ὡς δυσειδῆ καὶ βδελυρὰν ὄντως μορφὴν ἐξ ἑαυτῶν ἐξοστρακίσαντες, διὰ ταῦτα θαυμαστοὶ ὄντως καὶ ἐπιπόθητοι πάσῃ καθεστήκασι τῇ τῶν εὐσεβῶν ὁμηγύρει, φοβεροὶ δ' αὖ καὶ κατάπληκτοι τοῖς ἀκρατέσιν καί τὰ τῆς ψυχῆς ἀρχέτυπα καὶ καθαρὰ διὰ τῆς ἁμαρτίας καταβορβορώσασιν κάλλη· ὅτι δὲ καὶ τὸ τὴν αὐτῶν ὅση δύναμις μεγαλύνειν καὶ ἔργοις τιμᾶν ὁσίαν μνή-

Τίτλ.: κῶδ. *ιαννουαρίω*. — 7 κῶδ. *ἀραρώτως*. — 8 φίλοι καὶ υἱοὶ] Ἰωάν. εὐαγ. ιε', 14, 15. Λουκ. κ', 36 || τῆς δόξης Κυρίου] Λουκ. β', 9. Κορινθ. 1, β', 8. Αὐτ. 2, γ', 18. η', 19. Ἰακώβ. β' 1. — 9 κῶδ. *δυσηδῆ καὶ βδελλυρὰν*. — 10 κῶδ. *ἐξοστρακήσαντες*. — 11 κῶδ. *πᾶσι - - δαῦ*. — 13 κῶδ. *κατὰ βορβορώσασιν*.

μην εἰς αὐτὸν [τὸν] τούτοις παρασχόντα τὸ σθένος ἀναφέρει τὸ σεμνολόγημα, ἡ ἀπόδειξις ἐναργὴς τοῖς φιλομαθέσιν ἀποδέδεικται. Τοιγαροῦν καὶ ἡμεῖς, οἱ πάντῃ τῆς τε ἐγκυκλίου παιδεύσεως καὶ τῆς ἄγαν θεωρητικῆς καὶ πᾶσαν αἴσθησιν ὑπερβαινούσης ἀληθεστάτης γνώσεως οὐδὲ ἄκρῳ δακτύλῳ γευσάμενοι, ὥσπερ τινὰ νηπίων ψελλίσματα συνεισφέροντες, τῇ πρὸς τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Κύριον τὸν διδόντα "λόγον ἐν ἀνοίξει τοῦ στόματος" ἐλπίδι θαρρήσαντες καὶ ταύτῃ βοηθῷ χρώμενοι μικρά τινα τῆς μετὰ χεῖρας ὑποθέσεως λέξομεν, οὐ ψευδεπιπλάστοις ἐννοίαις ταύτην ὑπεραίροντες — ἀσεβὲς γὰρ καὶ τῆς χριστιανικῆς ἀνάξιον πολιτείας —, ἀλλ' ἃ γραφικῶς ἕως ἡμῶν καταντήσαντα ἔγνωμεν παρὰ τῶν αὐταῖς ὄψεσιν ταῦτα ἑορακότων. Ἤδη μὲν οὖν ἐπ' αὐτὴν ἰτέον τὴν τοῦ λόγου διήγησιν, τὸν τοῦ λόγου δοτῆρα προβεβληκὼς Κύριον μὴ κατάραν ἀντ' εὐλογίας καὶ ὕβριν ἀντ' ἐπαίνου κομίσασθαι.

2. Ἡ μία τοίνυν οὐσία καὶ θεότης καὶ δύναμις ἐν τρισὶν ὑποστάσεσιν προσκυνουμένη καὶ δοξαζομένη τὰς τῶν ἐνδόξων ἀποστόλων φημὶ καὶ μαρτύρων προφητῶν τε καὶ ὁσίων καὶ δικαίων ἀνδρῶν ἀρετὰς διὰ ψυχωφελοῦς συγγραφῆς τῷ κοινῷ τῶν ἀνθρώπων θησαυρίζουσα κατὰ γενεὰν καὶ γενεὰν συστήματι παμπληθεῖς τῶν προωδευκότων θεοφόρων ἀνδρῶν ἐδωρήσατο ἡμῖν τὰς δωρεάς, ὡς ἂν μή, πρόχειροι πρὸς κακίαν ὑπάρχοντες, πάντῃ τῆς εὐθείας ἀποκεκλικότες φανῶμεν. Ἐπί τε τῆς προλαβούσης γενεᾶς, λέγω δὴ τοῦ χριστιανικωτάτου καὶ ἐν ἁγίοις βασιλέως Μιχαὴλ τοῦ τὴν οὐράνιον ἀνταλλαξαμένου βασιλείαν καὶ ὑπὸ τοῦ ἀθεωτάτου Λέοντος τοῦ νέου Δωὴκ καὶ τῆς ἁλουργίδος ἀναξίου ἐκβεβλημένου, ἀνέδειξεν ἡμῖν ὥσπερ τινὰ νεοφανῆ ἀστέρα τὸν μακάριον καὶ ὅσιον πατέρα ἡμῶν Εὐστράτιον, πολλοὺς ὄντως ἀνατλάντα ἀγῶνας καὶ ἱδρῶτας καὶ τῷ βίῳ ὑπερφερῆ καθεστηκότα μέχρι τῆς βασιλείας

2 κῶδ. *ἐναργεῖς*. — 3 κῶδ. *τοιγὰρ οὖν*. — 5 κῶδ. *ὥσπέρ τι νηπ.* — 7 κῶδ. *διδοῦντα* || Ἐφεσ. ς', 19 || κῶδ. *ἐνανοίξει*. — 8 κῶδ. *τινὰ*. — 9 κῶδ. *λέξωμεν· οὐ ψευδ' ἐπιπλάστοις*. — 11 ἀλλ' ἃ] κῶδ. *ἀλλὰ*. — 12 κῶδ. *ἠτέον*. — 13 κῶδ. *δωτῆρα*. — 19 κῶδ. *καταγενεὰν*. — 20 κῶδ. *προοδευκότων*. — 24 κῶδ. *ἀθεοτάτου*. — 25 Δωὴκ] Βασιλ. 1, κα', 7. κβ', 9, 18, 22.

τοῦ ὀρθοδόξου καὶ θεοστεφοῦς Βασιλείου· οὗ τὸν βίον ἀναγράψασθαι βουλόμενος αὐτὴν ἐκείνην καθικετεύω τὴν ὑπεράρχιον ἀρχὴν καὶ τρισυπόστατον θεότητα ἀκόλουθον καὶ ταύτην τὴν ψυχωφελῆ διήγησιν τῶν προδιαλαμψάντων θεοφόρων ἀναδεῖξαι, εἰ καὶ πάντῃ τῷ λόγῳ διαλελυμένη καθέστηκεν.

3. Ταρσία τίς ἐστιν χώρα οὕτω καλουμένη, ὑπὸ τὸ θέμα τελοῦσα τῶν Ὀπτιμάτων. Ἐν ταύτῃ παράκειται κώμη ὀνομαζομένη Βιζτινιανᾶς, ἥτις περιφανεστέρα τῆς Ἀρμαθὲμ κεχρημάτικεν, τοιοῦτον ἡμῖν σημειοφόρον πατέρα καὶ τοῦ παντὸς κόσμου φωστῆρα τῇ τῶν μεγίστων θαυμάτων ἀστραπῇ κόσμον ὅλον φωτίζοντα, τὸν τρισμακάριον λέγω Εὐστράτιον, ἀνατεταλκυῖα, Ἐν αὐτῇ ἦν τις τῶν ἐν αὐταρκείᾳ βιούντων, Γεώργιος ἐπονομαζόμενος, μετὰ τῆς οἰκείας συμβίου, Μεγεθοῦς προσαγορευομένης, τοῦ πνεύματος, ὡς οἶμαι, τοῦ ἁγίου προσφόρους αὐτῶν καὶ τὰς τῶν ὀνομάτων θέσεις ἐντεθεικότος· γεώργιον γὰρ ὡς ἀληθῶς πλούσιόν τε καὶ ὑπερμέγεθες τῷ Χριστῷ προσήγαγον, πάντα θησαυρὸν ὑπερβάλλον. Ὑπὸ τούτων δὴ ὁ μέγας οὗτος καὶ θεοφόρος Εὐστράτιος γεννηθεὶς καὶ διαπλασθεὶς πλᾶσιν ἀρίστην καὶ καθαρωτάτην, ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου παρ' αὐτῶν ἀναγόμενος, μέχρις εἰκοσαετοῦς χρόνου τῷ θείῳ κάτοχος γεγένηται ἔρωτι.

4. Καὶ δὴ μεμάθηκεν τοὺς ἑαυτοῦ μητραδέλφους ἐν τοῖς τοῦ Ὀλύμπου μέρεσιν ὥσπερ τινὰς ἀστέρας ταῖς ἀρεταῖς διαλάμποντας καὶ τῇ ἀσκητικωτάτῃ διαίτῃ· Γρηγόριος δὲ ἦν ὁ θαυμάσιος πρὸς ὃν ὁ μέγας καὶ προφητικώτατος Ἰωαννίκιος ἐν ἀρχῇ τῆς ἐκ τοῦ κόσμου ἀναχωρήσεως ἀφίκετο καὶ παρ' αὐτοῦ ἐντολάς τε καὶ τὴν ἐν οἵῳ τόπῳ συμφέρον αὐτῷ ἐστιν τοῦ ὄρους τοῦ ἁγίου ἐκείνου

2 κῶδ. *ὑπὲρ ἄρχιον.* — 3 κῶδ. *ψυχοφελῆ.* — 6 ἐν τῷ θέματι τῶν Ὀπτιμάτων ἔθνος ἦν Ταρσιάται καλούμενον. Constant. Porphyrog. opera ed. I. Meursius. Lugd. Batavorum 1617, σ. 24-26. — 11 κῶδ. *ἀνατεταλκυίαν. ἐναυτῆ.* — 12 κῶδ. *ἐναυταρκία.* — 17 κῶδ. *τοῦτον.* — 18 κῶδ. *διὰ πλασθεὶς - - καθαρωτάτην* || *ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου*] Ἐφεσ. ϛ', 4 — 22 κῶδ. *ὥσπέρ τινας· οὕτω πανταχοῦ.* — 23 Γρηγόριος] Acta sancti Ioannicii ed. I. Van den Gheyn. Bruxellis 1894, σ. 31-33, 37, 39, 53. — 24 κῶδ. *ἐναρχῆ.* — 25 κῶδ. *ἐφείκετο.* — 26 κῶδ. *ἐνοίω τ. συμφέρων α. ἔστιν.*

οἴκησιν ποιήσασθαι ἀπειλήφει διδασκαλίαν, ὡς ἡ κατ' ἐκεῖνον ἱστορία διαλαμβάνει· σὺν αὐτῷ δὲ τῷ θαυμασίῳ Γρηγορίῳ ὑπῆρχεν ὅ τε θαυμάσιος καὶ ταῖς ἀρεταῖς διαλάμπων Βασίλειος, ἀλλὰ μὴν καὶ ὁ ἀσκητικώτατος καὶ θεοφόρος Πέτρος, καὶ σὺν αὐτοῖς Ἀγάθων καὶ Ἀντώνιος, οἱ θερμότατοι τῆς ἁγίας τριάδος λάτραι καὶ ταῖς ἀρεταῖς ὡς ἄμπελος εὐθαλὴς καὶ κατάκαρπος χρηματίζοντες. Οὗτοι πάντες αὐτάδελφοι ἐκ μιᾶς χρυσῆς ὡς εἰπεῖν γαστρὸς ἀναλάμψαντες, καὶ τὸ οὐράνιον ὄντως καὶ γλυκύτατον μέλι τῆς ἀρετῆς γεωργοῦντες ἐν τόπῳ τινὶ Καλύμνῳ ἐπονομαζομένῳ, σταδίους πέντε καὶ δέκα ἢ καὶ πρὸς τῆς Προυσαέων πολίχνης ἀφεστηκότι καὶ πρὸς πόδας τοῦ ἐκεῖσε ὄρους διακειμένῳ, τοῦ ἐπιλεγομένου Τριχάλικος, ὃς ἐν τοῖς μετέπειτα χρόνοις τὴν προσηγορίαν ἀντηλλάξατο Αὐγάρου προσαγορευθείς, ὡς ἐν αὐτῷ εὐνούχων προασκησάντων.

5. Πρὸς τούτους τοίνυν τοὺς θεοφόρους καὶ τῆς πενταρίθμου τῶν ἁγίων χορείας ἰσοστασίους ὁ θαυμάσιος καὶ μέγας πατὴρ ἡμῶν Εὐστράτιος φυγὰς ἀπὸ τῶν γονέων γενόμενος ἀφίκετο, καὶ τῷ θαυμασίῳ ἐκείνῳ Γρηγορίῳ προσελθὼν ᾔτει μετὰ δακρύων συναρίθμιον αὐτὸν τοῖς θεοφόροις ἐκείνοις πατράσιν καταστῆσαι καὶ τῷ ἀγγελικῷ σχήματι καταλαμπρῦναι, ὡς μηδὲν ἕτερον τῶν ἐπὶ γῆς ἐφετῶν ἐπιζητοῦντα ἢ στέργοντα. Ὁ τοίνυν ἡγιασμένος Γρηγόριος τῇ ἐνούσῃ αὐτῷ θείᾳ σοφίᾳ καταπραΰνας, καὶ παραινέσεσιν θεοτερπέσιν ῥυθμίζων τὸν κατὰ Θεὸν αὐτοῦ σκοπόν, φησὶν πρὸς αὐτόν· «Βιάζουσά ἐστιν τὴν φύσιν, ὦ τέκνον γλυκύτατον, ἡ τῶν μοναχῶν πολιτεία, καὶ οὐκ ἔχεις ἐπαρκέσαι πρός τε τὸν κάματον τῆς ἀσκήσεως καὶ πρὸς τοὺς παρὰ τῶν ἀοράτων ἐχθρῶν ἐπανισταμένους δριμυτάτους πολέμους, "ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη",

1 κῶδ. *κατεκεῖνον*. — 2 ἱστορία] λέγει δὲ περὶ τῆς συγγραφῆς τοῦ μοναχοῦ Σάβα, τῆς ὑπὸ Van den Gheyn ἐκδοθείσης || κῶδ. *συναυτῶ δὴ*. — 3 Βασίλειος] Acta s. Ioannicii σ. 98. — 4 Πέτρος] οὗτός ἐστι Πέτρος ὁ σημειοφόρος ὁ ἐν τῇ Ἀτρώᾳ καὶ πιθανῶς ὁ συγγραφεὺς τοῦ δευτέρου βίου τοῦ ὁσίου Ἰωαννικίου. Asta s. Ioannicii σ. 17-18, 80-63, 81. 120-122. — 5 Ἀντώνιος] Acta σ. 81, 98. — 8 κῶδ. *μέλη*. — 16 κῶδ. *χορίας*. — 24 Βιάζουσα] ἐκ τοῦ Ματθ. ια', 12 καὶ Λουκᾶ ις', 16.

κατὰ τὸν μέγαν ἀπόστολον Παῦλον, "πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας"· καὶ πρὸς τούτοις τὴν ἐν ταῖς διακονίαις διηνεκῆ καὶ ἐπιτεταμμένην ταλαιπωρίαν, τήν τε παρὰ τῆς ἀδελφότητος πάσης προσγινομένην ἐπιπληξίαν καὶ ὀνειδιστικὴν δοκιμασίαν οὐκ ἐνεγκών, δέος μὴ πρὸς τὸν κόσμον ἐπαναζεύξειας καὶ γενήσονταί σοι "τὰ ἔσχατα χείρονα τῶν πρώτων"· καλὸν γάρ ἐστιν μὴ εὔξασθαι, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι». Τούτων ἀκροατὴς ὁ τίμιος Εὐστράτιος τῶν παρὰ τοῦ θεόφρονος Γρηγορίου λεχθέντων [γενόμενος], παραυτὰ τῶν ἰχνῶν αὐτοῦ ἐφαψάμενος προσετίθει τοῖς δάκρυσιν δάκρυα καὶ ταῖς οἰμωγαῖς οἰμωγάς, τοιαῦτα φάσκων πρὸς τὸν σημειοφόρον Γρηγόριον· ὅτι περ "Εἰ καὶ τῆς τοιαύτης κλήσεως ἀνάξιός εἰμι, ἀλλ' ὅμως ὁ εἰς ταύτην με τὴν θείαν ὁδὸν τῆς σωτηρίας χειραγωγήσας Θεός ἐστιν· ὃς τῆς ἐμῆς κηδόμενος σωτηρίας πῦρ ἐγκάρδιον ἐντέθεικεν τῇ ἐμῇ ψυχῇ μηδενὸς ἑτέρου τῶν ἐπὶ γῆς ἐφετῶν ἔχειν, ἀλλ' ἢ τοῦ ἀξιωθῆναι τῆς ἰσαγγέλου ταύτης βιοτῆς".

6. Τούτοις καταπλαγεὶς τοῖς θρηνώδεσιν ἐπιφθέγμασιν ὁ θαυμάσιος ποιμήν, καὶ γνοὺς τῷ πνεύματι "σκεῦος ἐκλογῆς" μέλλειν ἔσεσθαι τὸν παῖδα, ἀποθρίξας αὐτόν, συναρίθμιον τῇ κατ' αὐτὸν συνοδίᾳ πεποίηκεν· φωστήρων γὰρ δίκην οἱ ἐν ἐκείνῳ τῷ τόπῳ οἰκοῦντες ἅγιοι ὡς ἀληθῶς πατέρες ἐξήστραπτον, τοῖς ἀγῶσι καὶ ταῖς τῶν θαυμάτων ἐπιδείξεσι λαμπρυνόμενοι. Ταύτης ἐπιτυχὼν τῆς ἐφέσεως ὁ μέγας οὗτος Εὐστράτιος, πᾶσαν τὴν ὑπηρεσίαν προθύμῳ καρδίᾳ καὶ τεταπεινωμένῳ φρονήματι ἀπένεμεν, καὶ παρὰ πάντων λίαν στεργόμενος τῆς φίλης αὐτῷ καὶ συνήθους ἐξαγορεύσεως οὐκ ἠμέλησεν, τῆς τε πανύχου στάσεως καὶ τῆς τῶν θείων λογίων μελέτης, ὑφ' ὧν τὰς τῆς ψυχῆς κόρας φωτισθεὶς

1 Ἐφες. ς'. 12. — 4 κῶδ. *ταλαιπωρείαν*. — 7 Ματθ. ιβ', 45. Λουκ. ια', 26. — 9 προσέθηκα τὸ *γενόμενος*. — 10 παραυτὰ] τοῦτο οὕτως ἔγραψα, διορθώσας τὰ ἐν τῷ κώδικι: *γρηγορ. παρ' αὐτῶν λεχθέντων, τῶν ἰχν. α. ἐφ' ἁψάμ.* — 11 κῶδ. *οἰμογαῖς οἰμογάς τ. φάσκον*. — 16 κῶδ. *ἐπιγῆς*. — 17 κῶδ. *βιωτῆς*. — 19 Πράξ. θ', 15. — 20 κῶδ. *κατ' αὐτῶν*. — 21 κῶδ. *ἐνεκείνω*. — 22 κῶδ. *ἐξήστραπτων*. — 26 κῶδ. *παραπάντων*. — 27 κῶδ. *οὐκημέλησεν*.

ὁ καθ' ἡμᾶς Ἠλίας καὶ τῆς τῶν παθῶν Ἰεζάβελ ὀλοθρευτὴς ἐξ αὐτῆς εἰπεῖν τῆς εἰσόδου κατάπληκτος τῷ ὄντι καὶ θαυμαστὸς πᾶσιν γεγένηται, ἀκτημοσύνης τῷ κάλλει τοσοῦτον μορφούμενος, ὡς μὴ κεκτῆσθαι ἐν τῷ βίῳ τούτῳ πλὴν ὅπερ ἐβέβλητο ἱμάτιον καὶ παλλίον μαλλωτόν, μεθ' οὗ καὶ τὴν τοῦ ἐλαχίστου ὕπνου ὁ στερρὸς οὗτος ἀδάμας ἐπετέλει χρείαν, καὶ ταύτην ἐφ' ᾧ ἂν ἔτυχεν τόπῳ ἀνακλιθῆναι αὐτὸν καὶ μικρᾶς ἀναπαύλεως μεταλαβεῖν· οὐδὲ γὰρ ἐν ταύτῃ τῇ χρείᾳ τόπος αὐτῷ ἢ κοίτη ἀφώριστο. Λέγεται δὲ μήτε ὕπτιον αὐτὸν ἀνακλιθῆναι ἀφ' οὗ ἀπετάξατο χρόνου, μήτε μὴν τῷ ἀριστερῷ μέρει τοῦ σώματος ἀναπεσεῖν ἐν πᾶσιν τοῖς ἑβδομήκοντα πέντε ἔτεσιν, οἷς ἐν τῇ μοναχικῇ πολιτείᾳ διέπρεψεν. Ἀλλ' οὖν οὔτε ἡμέρα αὐτὸν μία καὶ μόνη διέλαθεν, καθ' ἣν τοὺς παρὰ τοῦ πνεύματος τοῦ ἁγίου τῷ μακαρίῳ Δαυὶδ ἐμπνευσθέντας θείους ψαλμοὺς οὐκ ἐμελῴδησεν· ἔστιν γὰρ ὅτε δὶς ἢ καὶ τρὶς τῆς ἡμέρας διὰ σπουδῆς ἔσχεν τοῦτο διελθεῖν, ὅπερ τοῖς οἰκείοις αὐτοῦ καὶ γνησιωτάτοις πρὸς αὐτὸ τὸ μακάριον αὐτοῦ τέλος ἐφανέρωσε μαθηταῖς.

7. Ἐν τούτοις τοῖς παναγάστοις καὶ πᾶσαν ὑπερβαίνουσιν αἴσθησιν ἀγωνίσμασιν διαλάμποντος αὐτοῦ καὶ ὑπὸ πάντων στεργομένου διὰ ὑπερβάλλουσαν ταπείνωσιν καὶ τὴν ἄλλην τοῦ βίου διαγωγήν, ὁ θεοτίμητος ἐκεῖνος καὶ τῷ ὄντι γρήγορος ὀφθαλμὸς τέλει τοῦ βίου ἐχρήσατο, πολλοῖς μὲν καὶ μεγάλοις θαυματουργήμασιν πληροφορήσας ἅπαντας, ὡς εὐηρέστησεν τῷ Θεῷ (καὶ γὰρ μέχρι τῆς δεῦρο ἡ πάνσεπτος αὐτοῦ σορὸς μύρων ἰαματικῶν ἀναβλύζει δαψιλίαν τοῖς μετὰ πίστεως προσιοῦσιν), διάδοχον δὲ καὶ τρόπου καὶ τῆς προστασίας, ὡς ὁ θεόπτης Μωϋσῆς τὸν τοῦ Ναυὴ Ἰησοῦν, τὸν μακαριώτατον καὶ τῷ ὄντι φερώνυμον καταλιμπάνει Εὐ-

1 Βασιλ. 3, ιθ', κ'. 4, θ'. — 3 κῶδ. *κάλλη*. — 4 κῶδ. *κεκτεῖσθαι*. — 7 κῶδ. *ἀνακληθῆναι - - μετὰ λαβεῖν*. — 8 κῶδ. *ἀφόριστο*. — 10 κῶδ. *μέρι*. — 12 κῶδ. *δι' ἔλαθεν*. — 14 κῶδ. *οὐκεμελώδησεν*. — 15 κῶδ. *τρεῖς*. — 25 δαψιλίαν] οὕτως ἐν τῷ κώδικι || διάδοχον] πρβλ. Acta Ioannicii σ. 53 § 32c.—26 Δευτερ. λα', 7 κέ.— 27 κῶδ. *καταλιμπάνη* || Εὐστάθιον] τοῦτον ἴσως ὁ μοναχὸς Σάβας νοεῖ ἐν οἷς λέγει περί τινος Εὐσταθίου μονάσαντος πρὸς τῷ τῆς Βιθυνίας κόλπῳ κλπ, περὶ οὗ ὅρα καὶ τὸ τούτοις διαφέρον σημείωμα τοῦ Van den Gheyn [Acta Ioannicii σ. 52 § 20 καὶ σ. 55 g].

στάθιον· ὃς καὶ αὐτὸς τῆς τοῦ προηγησαμένου ἀρετῆς μιμητὴς ὑπάρχων καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ διακονίαν ἐν ὀλίγῳ χρόνῳ ἄριστα κυβερνήσας, ἵνα τὰ ἐν μέσῳ συντέμω, καὶ πρὸς Κύριον ἀπαίρειν μέλλων, ἐπειδὴ ἔφθασεν ἡ τελευταία ἡμέρα τε καὶ ὥρα ἐν ᾗ ἔδει αὐτὸν τοῦ μὲν κόσμου ἀπάραι, πρὸς δὲ τὴν ἐν Κυρίῳ παραγενέσθαι ζωήν, συγκαλέσας ὁ μακάριος πᾶσαν τὴν ἀδελφότητα φησὶν πρὸς αὐτούς· "Τὸ κοινὸν τῆς ἀνθρωπίνης φύσεως, ὦ πατέρες καὶ ἀδελφοί, καὶ ἕως τῆς ἐμῆς ταλαιπωρίας ἐπιφθάσαν ἐννοήσας, παρακαλῶ τὰς μὲν παραδόσεις, ἃς παρὰ τῶν ἁγίων παρειλήφατε πατέρων, ἀπαρατρώτους φυλάξατε, εἰς δὲ τὴν τῆς μονῆς προστασίαν μὴ ἄλλον τινὰ ἑλέσθαι σπουδάσητε, ἀλλ' ἢ τὸν καρτερικώτατον καὶ τῇ κλήσει καὶ τοῖς πράγμασιν φερωνυμοῦντα Εὐστράτιον· αὐτὸς γὰρ ἔν τε τῇ καθ' ἡμᾶς πολιτείᾳ μέγιστος ἀναδειχθήσεται καὶ τὰ τῆς ὁσίας ταύτης μονῆς εἰς πλῆθος καὶ μέγεθος ἐπαυξήσει θεάρεστα πράγματα".

8. Ἐπὶ τούτοις τοῖς τοῦ μακαρίου Εὐσταθίου λόγοις ἅπασα ἡ κατ' αὐτὸν ἀδελφότης ἀσμενισαμένη καὶ ἄκοντα τὸν θεοφόρον ἡμῶν πατέρα Εὐστράτιον προστατεύειν αὐτῶν προβαλομένη ἦν ὡς ἀληθῶς τὸ τοῦ προφήτου ἐπ' αὐτοῖς φθέγξασθαι, πατέρα ἐπὶ τέκνοις καὶ τέκνα ἐπὶ χριστομιμήτῳ πατρὶ εὐφραίνεσθαι· συνήγαγεν γὰρ ἄνδρας ἐκεῖ σημειοφόρους καὶ τῷ ὄντι δῆμον ἀθλητῶν, καὶ— εἰ μὴ τολμηρὸν εἰπεῖν—ἀγγέλους ἐπὶ γῆς ὄντας, ὡς τὴν ἐκείνων μιμησαμένους ἐν σαρκὶ πολιτείαν. Ἐν τοιαύτῃ τοίνυν πνευματικῇ πολιτείᾳ ἀναστρεφομένων αὐτῶν ἐξαίφνης ἐφίσταται πλῆθος χαλάζης, κατὰ τὸν μέγαν θεολόγον Γρηγόριον, τετριγὸς ὀλέθριον, οὐ σώματα ἀλλὰ ψυχὰς ἀφανίζον καὶ τῷ σκότει παραπέμπον τὰς μάλιστα ἀσμενισαμένας αὐτῷ καὶ πεισθείσας.

2 κῶδ. *ἐνπιστευθ.* — 3 κῶδ. *κυβερνίσας.* — 4 ἀπαίρειν] κῶδ. *ἀπέρρειν* || κῶδ. *ἐνὴ.* — 6 κῶδ. *συνκαλέσας.* — 9 κῶδ. *παραδώσεις.* — 10 κῶδ. *παρ' εἰλήφατε.* — 12 κῶδ. *καρτερηκότατον κ. τ. κλήση - - φερονυμοῦντα.* — 13 κῶδ. *ἔντετη.*—15 κῶδ. *ἐπ' αὐξήσει.* — 18 κῶδ. *προβαλλομένη.* — 19 Ψαλμ. ριβ', 9 «μητέρα ἐπὶ τέκνοις εὐφραινομένην». Σειρὰχ κε', 9 «ἄνθρωπος εὐφραινόμενος ἐπὶ τέκνοις». Παροιμ. ιε', 20 «υἱὸς σοφὸς εὐφραίνει πατέρα» πρβλ. κγ', 24. — 22 κῶδ. *εἰμητολμηρὸν - - ἐπιγῆς.*— 24 κῶδ. *ἐξέφνις.* — 26 κῶδ. *παρὰ πέμπων.*

9. Ἄρτι γὰρ τῇ βασιλείᾳ ἐπαναστάντος τοῦ νέου Ἀχαὰβ καὶ προδρόμου τῆς ἀντικειμένης δυνάμεως, Λέοντος τοῦ θηριοτρόπου καὶ θηριογνώμονος, καὶ κυνὸς δίκην λυσσήσαντος ἐκδιῶξαι τῶν ἀνακτορικῶν οἴκων τὸν θεόστεπτον καὶ ἁγιώτατον ἄνακτα Μιχαήλ, ὃν καὶ διὰ τὴν ὑπερβάλλουσαν ἀγαθότητα καὶ ὀρθόδοξον γνώμην σημείοις καὶ τέρασιν ὁ φιλάνθρωπος κατεκόσμησεν Κύριος, ὁ τῆς εἰρήνης ὄντως αὐτὸς υἱὸς μὴ βουληθεὶς ἐμφύλιον κινῆσαι πόλεμον, ὡς ἤσθετο τὸν μιαρώτατον διὰ τὴν τῆς βασιλείας ὄρεξιν ἐκ Βουλγαρίας μεμηνυίᾳ χειρὶ καὶ βουλῇ ἐπιστάντα, παραχωρεῖ αὐτῷ τὰ σκῆπτρα. Εὐθὺς οὖν ὁ κύων εἰς τὰ ἅγια καὶ ὁ δράκων εἰς τὰ τίμια, καὶ τὸν οὕτως αὐτὸν μετ' εἰρήνης ὑποδεξάμενον δημεύει τε καὶ τῆς οἰκείας γαμετῆς καὶ τέκνων στερίσκει· τῷ τῶν μοναχῶν τε ἀμφιάσματι καὶ ἄκοντα καταφαιδρύνας ὁ δείλαιος ἐξόριστον ἐν μιᾷ τῶν πρὸ τῆς πόλεως νήσων πεποίηκεν. Καὶ ἐπὶ ταύταις κατεπαρθεὶς ταῖς ἀτυχεστάταις εὐτυχίαις αἵρεσιν ἐμπνεῖ τῇ ἐκκλησίᾳ Μανιχαϊκὴν καὶ τῶν Ἀφθαρτοδοκητῶν ἐφάμιλλον· τὴν γὰρ πάλαι σβεσθεῖσαν τῶν Εἰκονοκαυστῶν αἵρεσιν καὶ τῷ σκότει παραπεμφθεῖσαν μετὰ τῶν ἐρευξαμένων αὐτὴν ἀνεγεῖραι πάλιν ἐσπούδασεν. Εὐθὺς οὖν τῶν θεοφόρων καὶ ἁγίων πατέρων ἡμῶν ἐξορίαι καὶ δαρμοί, καθειρξεις τε πολυχρόνιοι καὶ θάνατοι βίαιοι. Πάντες τοιγαροῦν οἱ εὐσεβεῖν προαιρούμενοι μονάζοντες τὰς οἰκείας ἀπολιπόντες κατοικίας ἐν τοῖς ὄρεσιν καὶ ἀοικήτοις τόποις ἐχώρησαν.

10. Μετὰ πάντων δὲ καὶ ὁ θαυμάσιος οὗτος καὶ θεοφόρος Εὐστράτιος, τὴν οἰκείαν ἐάσας μονήν, πρὸς τὸν θεοφόρον καὶ προφητικώτατον πατέρα ἡμῶν ἀπαίρει Ἰωαννίκιον (ἦν γὰρ αὐτῷ ἔκπαλαι γνωστός τε καὶ κατὰ ψυχὴν στεργόμενος ὅτι μάλιστα), ὁμόστεγός τε καὶ ὁμορρόφιος αὐτῷ χρηματίζει, εἴ γε καὶ ἔτυχεν τὸν

2 Λέοντος = τοῦ Ἀρμενίου. — 3 κῶδ. *λυσήσαντος*. — 9 παραχωρεῖ κτλ] Θεοφάνους χρονογρ. σ. 502-503 Boor. Theoph. contin. σ. 14-17. Σάβα βίος Ἰωαννικίου § 16 καὶ σημειώσεις Van den Gheyn ἐν σ. 41. — 10 κῶδ. *σκήμπτρα* || κύων εἰς τὰ ἅγια] Ματθ. ζ', 6. — 11/14 Theoph. contin. σ. 19-20. — 14 κῶδ. *προτῆς - - ἐπιταύταις*. — 15 κῶδ. *ἀτυχεστάτοις - - ἐνπνεῖ*. — 21 κῶδ. *τοιγὰρ οὖν*. — 22 κῶδ. *ἀπολειπόντες - - ἀοικίτοις*. — 24/25 Acta sancti Ioannicii σ. 42 καὶ 44.—26 κῶδ. *καταψυχὴν*.

θεοφόρον ὑπὸ ὀροφὴν εἰσελθεῖν ἀεὶ τοῖς ὄρεσιν καὶ ἀστεγέσιν ἀναχωρητικῶς διαζῶντα. Περιχαρῶς τοίνυν αὐτὸν ὁ παμμάκαρ, ὡς Ἠλιοὺ πάλαι τῷ Ἐλισσαιέ, προσηκάμενος ἀραρότως τῇ ἀγγελικῇ διαίτῃ ἐσχόλαζον, πάσης ἀποχωρήσαντες ἑαυτοὺς ἀνθρωπίνης ὁράσεως. Καὶ ὅσα μὲν καὶ οἷα τῷ μεγάλῳ πατρὶ Ἰωαννικίῳ ὁ θεοφόρος Εὐστράτιος θαυμαστὰ καὶ ἀξιέπαινα πράγματα ἐπόμενος διετέλεσεν, ἀναγκαῖον ἐκθέσθαι· ἀλλ' ἵνα μὴ ἐν τούτοις διατρίψαντες, πρὸς τὰ ἑξῆς ἀποκνέωμεν, τὰ ἐν μέσῳ διαλείποντες ἐπὶ τὰ ἀπειροπληθῆ τῶν θαυμάτων αὐτοῦ καταντῆσαι συντόμῳ τῷ λόγῳ σπουδάσωμεν· ἔξεστιν γὰρ τοῖς βουλομένοις ὀλίγα τινὰ μεμαθηκέναι τὴν κατὰ τὸν μέγαν Ἰωαννίκιον περιελθοῦσιν ἱστορίαν.

11. Ἡνίκα γὰρ σὺν τῷ θεσπεσίῳ τούτῳ πατρὶ περιήει τὴν πασῶν τῶν συγκειμένων ὀρέων ὑψηλοτάτην τοῦ Ὀλύμπου ἀκρώρειαν ὁ τιμιώτατος Εὐστράτιος, λογισμός τις αὐτῷ ὑπεισῆλθεν περὶ τῶν γονέων αὐτοῦ, ἐν ποίᾳ ἆρα τάξει διάγουσιν· καὶ τοῦτον τῷ πατρὶ Ἰωαννικίῳ ἀποκαλύψας καὶ εὐχὴν αὐτοὺς κρατῆσαι περὶ τούτου αἰτουμένου, εὐθύμως ἐπένευσεν ὁ μακάριος. Καὶ δὴ ἀμφοτέρων τῇ εὐχῇ προσκαρτερούντων ἀμφοτέροις ὁ φιλάνθρωπος ἐπληροφόρησεν Κύριος· ἠκηκόει γὰρ ὁ σημειοφόρος Ἰωαννίκιος φωνὴν ἐπὶ τοῖς γονεῦσιν τοῦ ὁσίου Εὐστρατίου γεγενημένην τοιάνδε, ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Γεωργίου ἱσταμένοις· "Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου". Καὶ ταῦτα τῷ θεοφόρῳ διηγησάμενος Εὐστρατίῳ διεβεβαιώσατο καὶ αὐτὸς ταύτης ἀκηκοέναι τῆς φωνῆς μετὰ τῆς ὁμοίας ὀπτασίας, καὶ ἠγαλλιάσατο, ἀμεριμνίαν πᾶσαν ἐσχηκὼς ἐπὶ τούτῳ.

12. Πάσας οὖν τὰς ἀνημέρους ἐκείνας καὶ ἀνηλίους ἡμέρας

3 Βασιλ. 3, ιθ', 19-21 || κῶδ. *ἐλισσαιαὶ πρ. ἀραρώτως.* — 7 ἀλλ' ἵνα μὴ] τὸ ἀπὸ τοῦδε κείμενον τοῦ βίου μέχρι τέλους οὐκ ἐγὼ μετεγραψάμην ἐκ τοῦ κώδικος, ἀλλ' εἰς τῶν φίλων, ὑπ' ἐμοῦ παρακληθείς· διὸ καὶ τῶν ἐν τῷ κώδικι σφαλμάτων ἢ ἐλλείψεων (ἔξω τῶν πνευμάτων καὶ τόνων) ἡ δήλωσις γίγνεται ἐν τοῖς ἑξῆς, ὡς ἐν τοῖς τοῦ φίλου χαρτίοις εὑρίσκεται. — 12 κῶδ. *περίη.* — 13 κῶδ. *ὑψηλωτάτην - - ἀκρόριαν.* — 14 κῶδ. *ὑπ' εἰσῆλθεν.* — 19 κῶδ. *ἠκηκόη.* — 21/23 Ματθ. κε', 34. — 26 κῶδ. *τοῦτο.*

τὴν οἰκουμένην ἡ βδελυρωτάτη πασῶν αἱρέσεων ἐπεκράτει, ἀθεωτάτη καὶ βαρυτάτη νόσος. Σὺν τῷ τιμίῳ καὶ οὐρανοπολίτῃ Ἰωαννικίῳ ὁ θεσπέσιος οὗτος ἐγκαρτερήσας, ἐπειδὴ τὰ τῆς ὀρθοδοξίας ἀμαρύγματα ἐν ταῖς ἁπάντων ὁράσεσιν ἔλαμψαν καὶ ὁ κόσμος τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων τῇ ἐκκλησίᾳ ἀποδέδοται, οἵ τε σημαιοφόροι πατέρες καὶ ὁμολογηταὶ εἰς τὰς οἰκείας ἐπανῆλθον κατοικίας, τότε καὶ ὁ νέος Μωϋσῆς, ὁ μακάριος Εὐστράτιος, πρὸς τὴν οἰκείαν μονήν, λέγω δὴ τῶν Αὐγάρου, παραγενόμενος, τοὺς ὧδέ τε κἀκεῖσε διεσπαρμένους ἀδελφοὺς συναγαγών, τὸ γλυκὺ τῆς ἀρετῆς μέλι ταῖς τῆς ψυχῆς αὐτῶν λαγόσιν ὡς φίλεργος μέλισσα φιλοσοφώτατα κατεβάλλετο, πᾶσαν μὲν ἡμέραν ἄοκνος ἐν τοῖς σωματικοῖς ἔργοις συγκοπιῶν τοῖς ἀδελφοῖς, πᾶσαν δὲ νύκτα ἄυπνος στάσεσιν καὶ γονυκλισίαις κατατρύχων τὸ οἰκεῖον σῶμα· οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῇ τῇ τοῦ κανόνος ψαλμῳδίᾳ ἔνδον τοῦ θυσιαστηρίου ἱστάμενος ἀπ' ἀρχῆς μέχρι συμπληρώσεως, κατὰ τὴν τοῦ καθίσματος ὥραν ἐκτενῶς τὸ "Κύριε ἐλέησον" καθ' ἑαυτὸν ἐκεκράγει. Ἡνίκα δὲ τῆς ἀναγνώσεως ἀπήρξατο ὁ τυχών, αὐτὸς τὰ ἀναγινωσκόμενα ἀπύστως ἐπέλυεν, τὰς τῶν πνευματικῶν αὐτοῦ τέκνων πανσόφως ἐπιστηρίζων ψυχὰς καὶ παρακλητικῶς αὐτοῖς τὰ εἰς σωτηρίαν συντείνοντα καταβαλλόμενος.

13. Τίς γὰρ ἐκείνου συμπαθέστερος πρός τε ψυχικὰ τραύματα καὶ σωματικὰ συμπτώματα; * * ἤτις τούτου πρὸς τοὺς δεομένους εὐθυμώτατος καὶ τὴν ἰδίαν ψυχὴν καταβαλεῖν ἑτοιμότατα. Καὶ γὰρ ἀπὸ τοῦ πλησιάζοντος μετοχίου τῷ ἄστει τῆς Προυσαέων πόλεως ἀνερχομένου αὐτοῦ πρὸς τὸ μοναστήριον ὑπαντᾷ αὐτῷ ἀνήρ τις αἰτῶν ἐλεημοσύνην· ὁ δὲ συμπαθέστατος οὗτος πατὴρ κατοικτειρήσας αὐτὸν καὶ μηδὲν ὕστερον ἔχων δοῦναι τῷ αἰτοῦντι λύσας ὃ περιεβέβλητο παλλίον δίδωσιν αὐτῷ, τὴν τοῦ Κυρίου φωνὴν ἐκπληρώσας ὁ συμπαθέστατος. Ὡς οὖν αὐτὴν ἑαυτοῦ πέ-

1 κῶδ. *βδελυρωτάτη* - - *ἐπεκράτη*. — 5 κῶδ. *ἀποδέδωται*. — 6 κῶδ. *κατοικείας*. — 10 κῶδ. *μέλη* - - *λαγῶσιν*. — 13 κῶδ. *γονυκλησίαις*. — 17 κῶδ. *ἐκεκράγη*. — 21 μετὰ τὸ *συμπτώματα* δείκνυμι μικρὸν ἔλλειμα || ἤτις τούτου κτλ] οὕτως ἐν τῷ ἀπογράφῳ. — 23 κῶδ. *ἑτοιμώτατα*. — 27 ὕστερον] τοῦτο διορθωτέον οἶμαι εἰς *ἕτερον*. — 28 Κυρίου φωνήν] Λουκ. ιαʹ, 41.

φθακεν ὁ συμπαθὴς ὄντως [τὴν] μονήν, τῶν ἀδελφῶν πυθομένων περὶ τοῦ παλλίου αὐτὸς ὑπὸ σφοδροῦ ἀνέμου αὐτὸ μέσον τοῦ ἄλσους ἐκσπασθὲν ἀφανὲς γεγονέναι ἀπήγγειλεν. Τῇ ἐπιούσῃ οὖν τις τῶν στρατιωτῶν ὑπαντήσας αὐτῷ καὶ προσπεσὼν ἠτεῖτο τὸν ἵππον, ἐν ᾧ ὁ ὅσιος ἐπικαθήμενος ὥδευεν, ἀπολωλεκέναι τὸν οἰκεῖον φάσκων καὶ ἐν τοῖς οἰκείοις ἀδυνάτως ἔχων ἀπαίρειν· ὁ δὲ τοῖς ἐκ στενώσεως δάκρυσιν αὐτοῦ ἐπικαμφθεὶς εὐθυμώτατα ἀποβὰς παρέχει αὐτῷ, παραγγείλας μὴ ἐξειπεῖν τινι, "ἐπεὶ καὶ αὐτὸν ἀπολεῖς" φησίν. Ἕτερος δέ τις μιᾶς τῶν προσπαρακειμένων τῇ μονῇ κωμῶν τὸν ἕνα βοῦν αὐτοῦ ἀποβαλὼν ἐξελιπάρει τὸν θεοφόρον πατέρα οἰκτειρῆσαι αὐτόν τε καὶ τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ καὶ δοῦναι αὐτῷ ἕτερον εἰς ἀροτρίασιν, ὡς ἂν μὴ λιμῷ διαφθαρῇ μετὰ τῶν οἰκείων αὐτοῦ· ὁ δὲ [τὸν] τὴν τοῦ ζευγηλατείου διακονίαν πεπιστευμένον προσκαλεσάμενος φησὶν πρὸς αὐτόν· "Δός, τέκνον, τῷ αἰτοῦντι ἕνα τῶν τῆς μονῆς βοῶν". Μὴ ἔχων βοῦν ἐκ περισσοῦ διαβεβαιουμένου τοῦ ἀδελφοῦ, τάδε πρὸς αὐτὸν διέξεισιν ὁ ὅσιος πραείᾳ τῇ φωνῇ· "Ἐντολὴν ἔχεις, τοὺς δύο ἅμα βόας δὸς τῷ αἰτοῦντι, οὓς αὐτὸς εἰς ἐργασίαν ἐμπεπίστευσαι"· ὁ δὲ τὸ κελευσθὲν ἐκπεπλήρωκεν τῇ τοῦ ὁσίου ἐντολῇ πειθαρχῶν· οὕς τινας δύο ἅμα βόας ὁ πένης λαβὼν ἀπῆει ἐν τῷ οἴκῳ αὐτοῦ, εὐχαριστῶν τῷ τῶν ἀγαθῶν δοτῆρι Θεῷ καὶ τὸν ἅγιον αὐτοῦ ἀνυμνῶν θεράποντα.

14. Οὐ παραλείψω δὲ καὶ ἕτερον ὁμοίως παρὰ τοῦ ὁσίου πραχθέν. Ἐν γὰρ τοῖς τοῦ Καταβόλου μέρεσιν προάστειον ἡ κατ' αὐτὸν περιφανεστάτη κέκτηται μονή, ὃ καὶ ἐπισκέψασθαι ὁ ὅσιος βουλόμενος ἀφίκετο ἐν τῷ τόπῳ ἐκείνῳ· καὶ δὴ παλινοδίαν πρὸς τὴν μονὴν ποιούμενος ὁρᾷ μέσον τῆς ὁδοῦ ἄνθρωπόν τινα νεκροειδῶς προσκείμενον καὶ τὴν γυναῖκα αὐτοῦ θρηνοῦσαν ἐπάνωθεν αὐτοῦ. Ὅπερ δρᾶμα ὁ θαυμάσιος οὗτος τῷ πνεύματι νοήσας καλεῖ

1 κῶδ. *ποιθομένων*. — 5 κῶδ. *ἀπολελοκέναι*. — 8 κῶδ. *ἀπώλλεις*. — 9 κῶδ. *πρὸς παρακειμ*. — 12 κῶδ. *ἀρωτρίασιν*. — 13 κῶδ. *ζευγελατίου*. — 15 βοῦν] *ἀπόγρ. νοῦν*. — 17 κῶδ. *πραία*. — 20 κῶδ. *ἀπίει*. — 21 κῶδ. *δωτῆρι*. — 25 κῶδ. *αὐτῶν*. — 28 κῶδ. *ἐπάνοθεν*.

πρὸς ἑαυτὸν τὸ γύναιον καὶ δίδωσιν αὐτῇ δέκα νομίσματα εἰπών· "Ἄπελθε, εἰπὲ τῷ ἀνδρί σου, ὡς τανῦν ἀνάστα ἐκ τοῦ τοιοῦδε σχήματος· καὶ γὰρ θανάτου εἶδος οὐκ ἔστιν ἐν σοί"· ἦν δὲ οὗτος χρεωστῶν τὰ δέκα τοῦ χρυσοῦ νομίσματα, καὶ διὰ τοῦτο τῇ τοιαύτῃ ἐχρήσατο περιοδίᾳ, ὥστε φειδοῦς τινος ἀξιωθῆναι αὐτὸν παρὰ τῶν δανεισάντων τὸ τοσοῦτον ποσόν. Ταῦτα τῷ οἰκείῳ ἀνδρὶ ἀπαγγειλάσης τῆς γυναικός, εὐθὺς ἐκεῖνος σὺν προθυμίᾳ τὸ ἐπίπλαστον σχῆμα ἐκτιναξάμενος γηθοσύνως ἐπέστρεψεν εἰς τὰ ἴδια.

15. Ἐπειδὴ δὲ χρεία τις τὸν μακάριον τοῦτον πατέρα εἰσελθεῖν ἐν τῇ Βασιλευούσῃ πόλει πεποίηκεν, τὴν ἐν ταῖς σωματικαῖς χρείαις στένωσιν τῆς κατ' αὐτὸν μονῆς φιλόχριστοί τινες ἐπιστάμενοι τὸ κατὰ συνήθειαν τοῖς βασιλεῦσι διδόμενον δημόσιον παρέσχον τῷ θεοφόρῳ τούτῳ πατρί· ὅπερ λαβὼν καὶ τοῦ Βυζαντίου ἀπάρας καὶ ἐν τῇ Προυσαέων πολίχνῃ ἀφικόμενος εὗρεν ἅπαντας τοὺς ἐκεῖσε οἰκοῦντας πένητας ἀποκεκλεισμένους καὶ ἐνεχομένους παρὰ τοῦ εἰς τοῦτο τεταγμένου διοικητοῦ, ὡς ἀποροῦντας δοῦναι τὴν ἀσυμπαθῆ ταύτην ἀπαίτησιν. Ἐωρακὼς οὖν ὁ θεσπέσιος τὴν ἀπαραμύθητον τῶν κρατουμένων ἀνάγκην καὶ τὴν τῶν πέλας σωτηρίαν προτιμοτέραν τῆς οἰκείας κρίνας, ἐκβαλὼν δίδωσιν αὐτῷ τὰ ἑκατὸν νομίσματα, μακροθυμεῖν περὶ τῶν λοιπῶν ὁ μακάριος ἱκετεύων αὐτόν. Καὶ δὴ ἐν ταύτῃ τῇ πρὸς τὸν Θεὸν ἱκεσίᾳ προσκαρτεροῦντος αὐτοῦ παραμυθίας τοὺς θλιβομένους τυχεῖν, τῇ ἐπαύριον ἡ χριστόφρων καὶ θεοστεφὴς βασίλισσα Θεοδώρα ἀποστέλλει αὐτῷ διακόσια νομίσματα καὶ τὸ τοῦ μοναστηρίου αὐτοῦ δημόσιον ἰδίως βεβουλλωμένον· ἅπερ δεξάμενος ὁ θεοφόρος οὗτος ἀνὴρ καὶ εὐχαριστήσας τῷ τῶν ἀγαθῶν δοτῆρι Θεῷ δίδωσιν τῷ τὴν βασιλικὴν ἀπαιτοῦντι ἄνυσιν ὑπὲρ τῆς μονῆς καὶ τῶν στενουμένων πενήτων.

16. Τοιαύτη κατεῖχεν τὸν χριστομίμητον τοῦτον συμπάθεια· οὐκ ἔφερεν γὰρ ἰδέσθαι δακρυρροοῦντά τινα δαψιλῶς, ἢ κἂν στεναγμὸν μετὰ θλίψεως ἀναπέμποντα ὁ θαυμάσιος. Καὶ τοῦτον κε-

6 κῶδ. *δανισάντων*.—10 μεταβάσεώς τινος τοῦ Εὐστρατίου πρὸς Βυζάντιον ὁ μοναχὸς μέμνηται Σάβας [Acta Ioannici, σ. 39 A]. — 11 κῶδ. *αὐτῶν*. — 19 κῶδ. *προτιμωτέραν*. — 26 κῶδ. *δωτῆρι*. — 29 κῶδ. *δακρυοροοῦντα*.

κτημένος τὸν μήτε λόγῳ ὑποβαλλόμενον παμπληθῆ τῆς συμπαθείας καὶ ἀγάπης ἔρωτα, οὐ μόνον σωματικὰς δυσχερείας, ἀλλὰ καὶ ψυχικὰς ἀναλαμβάνεσθαι καὶ ὑπεύθυνον ἑαυτὸν καθιστᾶν ἑτοιμότατος ὑπῆρχεν· καὶ γὰρ ἀπὸ τοῦ προρρηθέντος μετοχίου ἀνερχομένου αὐτοῦ ὁρᾷ ἄνθρωπόν τινα μήκοθεν δρόμῳ πολλῷ χρώμενον καὶ σχοινίον τῇ οἰκείᾳ κατέχοντα χειρί. Τὸν οὖν τρόπον τοῦ τοιούτου δρόμου τῷ πνεύματι νενοηκὼς ὁ θεσπέσιος, ἡνίκα ἤγγισεν αὐτῷ ὁ ἀνήρ, σπουδαίως τοῦ κτήνους ἐν ᾧ ἐπεβεβήκει ἀποβὰς ἐπελάβετο αὐτὸν ἰσχυρότατα, καὶ τὸν τρόπον τοῦ ἀτάκτου ἀνερευνήσας δρόμου καὶ ἀκούσας παρ' αὐτοῦ, ὡς ἀγχόνῃ ἑαυτὸν ἐπείγεται ὑποβαλεῖν, τὴν αἰτίαν ὡς μὴ ἐπιστάμενος ὁ ὅσιος μαθεῖν ἐδυσώπει· ὃ δὲ "Ἁμάρτημα" φησίν "πέπραχα, γλώσσῃ ἀνθρωπίνῃ λαληθῆναι μὴ δυνάμενον". Τοῦτο ἀκηκοὼς ὁ μακάριος τῇ οἰκείᾳ δεξιᾷ τὴν τοῦ πάσχοντος χεῖρα κουφίσας ἐπιτίθησιν τῷ οἰκείῳ αὐχένι καὶ φησίν· "Ἐπ' ἐμὲ αὕτη ἡ ἁμαρτία, ὦ τέκνον, κἀγὼ ὑπὲρ ταύτης ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως ἀπολογίαν παρέχω, καὶ εἰ τοῦτο μὴ ἀθύμει, ἀλλὰ μᾶλλον χαῖρε καὶ ἀγαλλίᾳ καὶ τῆς ἀπευκταίας καὶ ὀλεθρίου ἀγχόνης ἀπόστηθι". Ὁ δὲ εἰδὼς τὸ εὐσυμπάθητον τοῦ ὁσίου καὶ θαυμάσας, πρηνὴς εἰς τοὺς ἡγιασμένους αὐτοῦ πόδας ἐπιπεσών, ἠτεῖτο σφοδρὰν ἐπιτίμησιν ἐπὶ τῷ σφοδροτάτῳ ἐκείνῳ μώλωπι. Κατηχήσας οὖν αὐτὸν καὶ ἀποχὴν τῆς κακίας διδάξας ἄνετον ἐκ πάσης ἐπιτιμήσεως εἴασεν.

17. Οὐ παραλείψω δὲ καὶ ἕτερον, ἐφάμιλλον τῷ προειρημένῳ, διηγήσασθαι. Γύναιον γὰρ ἐξ ἀλλοδαπῆς ὁρμώμενον, φθόνῳ τοῦ ἀεὶ τῷ γένει τῶν ἀνθρώπων ἐπιβουλεύοντος Διαβόλου τῷ οἰκείῳ υἱῷ ἐπὶ αἰσχρᾷ συμμιγὲν ἡδονῇ ἐτεκνοποίησεν μετ' αὐτοῦ· καὶ εἰς συναίσθησιν ἐληλυθότες μετὰ τὴν ἄθεσμον μῖξιν ἀμφότεροι, ὁμογνωμονήσαντες πρὸς [τοὺς ἐν] τοῖς τοῦ Ὀλύμπου μέρεσιν

1 κῶδ. *παπληθῆ*. — 2 κῶδ. *δυσχερίας*. — 4 κῶδ. *ἑτοιμώτατος*. — 5 κῶδ. *χρόμενον*. — 9 κῶδ. *ἰσχυρώτατα*. — 11 κῶδ. *ἐπίγεται*. — 16 κῶδ. *ἀνταποδώσεως*.— 18 κῶδ. *ἀγχώνης*. — 19 κῶδ. *πρινὴς*. — 21 κῶδ. *σφοδρωτάτω ἐ. μώλοπι*. — 25 κῶδ. *ὡρμώμενον*. — 27 κῶδ. *αἰσχρὰν*. — 28 κῶδ. *μῆξιν*.

κατοικοῦντας πατέρας ἀφίκοντο, τῆς ἐναγεστάτης ταύτης μίξεως ἀξίαν τὴν ἐπιτίμησιν δέξασθαι καὶ ἐλέους τυχεῖν ἐπὶ μεγίστῳ καὶ ἀνιάτῳ πλημμελήματι. Διαφόροις οὖν πατράσιν ἐπὶ ἁγιωσύνῃ βεβοημένοις προσελθόντες καὶ παρὰ πάντων ὡς βδελυκτοὶ ἐκδιωχθέντες, πρὸς τὸν θεσπέσιον τοῦτον καὶ συμπαθέστατον πατέρα ὡς πρὸς λιμένα ἄκλυστον ἔδραμον· ὃ δὲ τούτους δεξάμενος καὶ τὴν ὑπερβολὴν τῆς θλίψεως παρακλητικοῖς λόγοις παρηγορήσας "Οὐδὲν" ἔφη "κακὸν ἔχετε, τέκνα, ἐὰν ὅπερ συμβουλεύω ὑμῖν εὐγνωμόνως ἐπιτελέσητε". Οἳ δὲ καὶ θανάτου καταφρονεῖν μετὰ τῆς αὐτοῦ κελεύσεως διαβεβαιούμενοι ἀποστέλλονται παρ' αὐτοῦ ὃ μὲν ἐν τοῖς τῆς Δύσεως μέρεσιν ἡ δὲ ἐν τοῖς πρὸς ἀνίσχοντα ἥλιον κατοικεῖν τόποις, καὶ τούτου γεγονότος ἐν ὀλίγῳ καιρῷ τοῦ μοναχικοῦ σχήματος ἠξιώθησαν.

18. Τίς οὖν, ὦ φιλόχριστοι, τοῦ θαυμασίου τοῦδε πατρὸς ἐκδιηγήσεται Εὐστρατίου τὸ εἰς συμπάθειαν ἑτοιμότατον; καὶ τοῖς πάσχουσι γὰρ ὡς αὐτὸς πάσχων συνήλγει τε καὶ συνωδύρετο, ὡς οὐδεὶς ἕτερος τῶν ἐπὶ τῆς γῆς, καὶ τοῖς ἀδιόρθωτα πλημμελοῦσι τῷ μελισταγεῖ τῆς παραινέσεως νέκταρι θελκτήριον εἰς μετάνοιαν ἐγίνετο. Καὶ οὐ μόνον τὴν Κυριακὴν ἐπλήρου φωνήν, τὴν λέγουσαν τὸν ἀληθῶς στέργειν προαιρούμενον τὴν ψυχὴν τιθέναι, ἀλλ' εἰ δυνατὸν ἦν αὐτῷ μυριάκις ἀποθνήσκειν ἐσπούδαζεν, ἢ ἐν τῷ τυχόντι θλιβῆναι τὸν πέλας. Δι' ὃ καὶ ὁ ἀγαθὸς ἡμῶν καὶ φιλάνθρωπος Θεὸς ἔργοις τοὺς ἑωρακότας τε καὶ ἀκηκοότας περὶ τοῦ θαυμασίου τούτου πεπληροφόρηκεν ἀνδρός, ὡς τὸ ἑξῆς τοῦ λόγου δηλώσει. Νυκτοπορούντος γὰρ αὐτοῦ ἐν μιᾷ, καὶ ἐκ τοῦ προρρηθέντος προαστείου τοῦ ἁγίου Ἀγαπίου πρὸς τὴν οἰκείαν ἀνιόντος μονὴν μετά τινος ἀδελφοῦ ὀνόματι Κώνονος καὶ τὴν εὐθεῖαν ἀπολωλεκότος τρίβον, παρακειμένου τε τῷ τόπῳ ἀλσώδους ξηροχειμάρρου, ὃν δι' αὐτὸ δύσβατον καὶ ἡμερινῶς διελθεῖν καὶ

15 κῶδ. *ἑτοιμώτατον*. — 16 κῶδ. *συνοδύρετο*. — 20 Ἰωάν. ι', 11. Πρβλ. Ματθ. κ', 28. Μάρκ. ι'. 45. — 26 Σάβας μοναχὸς [Acta Ioannicii, σ. 48] «εἰς ἓν τῶν Ἀγαυρινῶν μετοχίων τοῦ ἁγίου προσαγορευόμενον Ἀγαπίου». — 28 κῶδ. *ἀπολελοκότος*.

σκληρότατον ἦν, ὁ θαυμάσιος τὸν σὺν αὐτῷ ἀδελφὸν ἐγνωκὼς ἀγωνίᾳ καὶ φόβῳ συσχεθέντα — ἀσέληνος γὰρ ὑπῆρχεν ἡ νύξ —, κατὰ διάνοιαν τὸν Κύριον ἐδυσώπει ὑποδεῖξαι αὐτοῖς τὴν ὁδὸν καὶ διασῶσαι πολυτρόπως· ἄφνω δὲ ἐξ οὐρανοῦ φῶς μέγα ἔλαμψεν περὶ αὐτοὺς καὶ ἕως τῆς μονῆς προηγεῖτο αὐτοῖς. Ἑκατέρωθεν μέντοι αὐτῶν σκότος ἦν, ἐπ' αὐτοὺς δὲ μόνους τὸ παράδοξον ἐκεῖνο ἔλαμπεν φῶς, μέχρις ὅτε τὰ τῆς μονῆς προαύλια κατειλήφασιν· ὅπερ παράδοξον ὁ ἀδελφὸς θεασάμενος κήρυξ ἀψευδὴς τοῖς ὁμοταγέσιν κεχρημάτικεν.

19. Φίλος δέ τις τοῦ ἰσαγγέλου τούτου πατρός, προάστειον ἐν τοῖς μέρεσιν ἐκείνοις κεκτημένος, ξύλον παμμεγεθέστατον, ὃ μοχλὸν καλεῖν εἰώθασιν, ἐκ τῶν τοῦ Καταβόλου μερῶν πρὸς τὸ οἰκεῖον κτῆμα ἀποκομίσαι διὰ σπουδῆς ἔσχεν. Συναθροίσας τοιγαροῦν ζεύγη βοῶν ὡσεὶ ἑβδομήκοντα τὸν ἀριθμόν, καὶ τοῦτο μετὰ πολλῆς τῆς δυναστείας ἀπάρας, ἐκ διαβολικῆς ἐνεργείας μέσον τῆς ὁδοῦ κρατηθέν, εἴς τινα τόπον ἀσάλευτον ἔμεινεν. Ἐπὶ ἑπτὰ τοίνυν ἡμέρας βίᾳ πολλῇ χρησάμενος μετακινῆσαι αὐτὸ τοῦ τόπου οὐδαμῶς ἠδύνατο. Ὡς οὖν ἐξηπορήθη ὁ ἄνθρωπος, δηλοῖ τῷ προειρημένῳ ὁσίῳ ἀνδρὶ βοηθῆσαι αὐτῷ καὶ ταῖς εὐχαῖς αὐτοῦ ὁπλίσασθαι κατὰ τοῦ ἀντιστρατευομένου αὐτοῖς Σατάν. Τοῦτο ἀκηκοὼς ὁ χριστομίμητος ἔσπευσεν ἐν τῷ τόπῳ· παραγενόμενος δὲ καὶ τῷ ξύλῳ ἐπιβὰς τὸν τίμιον καὶ ζωοποιὸν πεποίηκεν σταυρὸν καὶ εὐθὺς οἱ βόες, ὡς εἶχον δυνάμεως, ἀπάραντες τὸν ὡρισμένον τόπον κατέλαβον.

20. Τὸ τοιοῦτον δὲ θαῦμα καὶ ἐν τῇ ἑαυτοῦ μονῇ ὁ πανόσιος εἰργάσατο· πλάκα γὰρ ἐν τοῖς διαφέρουσιν αὐτῷ τόποις ὑπάρχουσαν ἐωρακώς, ταύτην ἐκσπᾶσαι τοῖς τῆς μονῆς ἀδελφοῖς παρεκελεύσατο· οἱ δὲ μέχρις ὡρῶν πλείστων κεκμηκότες, ὡσεὶ τριάκοντα ὄντες τὸν ἀριθμόν, ἀπεῖπον τοῦ ἔργου. Μηνύσει οὖν χρησάμενοι πρὸς τὸν ὅσιον εὐθὺς ἐκεῖνος εἰς τὸν τόπον παρεγένετο, καὶ τοῦ σχοινίου δραξάμενος οἰκείαις χερσὶν τὸν κατὰ συνήθειαν

1 κῶδ. *σκληρώτατον* - - *ἐγνωκότα*. — 6 κῶδ. *ἑκατέροθεν* - - ὧν. — 23 κῶδ. *ὁρισμένον*. — 28 κῶδ. *ὁρῶν*.

στίχον ἐφθέγξατο, καὶ εὐκόλως ὁ λίθος ἀνασπασθεὶς διὰ μαγγάνου πρὸς τὴν μονὴν διεκομίσθη, καὶ νῦν ἐστιν ἐν τῷ μεσαύλῳ θαύματος τοῖς τῶν ὁρώντων αὐτὸν ἐμπιπλῶν ὀφθαλμοῖς.

21. Ἡνίκα οὖν ἡ θεομάχος τῶν Ἀγαρηνῶν φυλὴ περὶ τὸ ἄστυ τοῦ Ἀμορίου ἐστρατοπεδεύκει καὶ τοῦτο συνεῖχεν πολιορκοῦσα ἐν ταῖς ἡμέραις Θεοφίλου τοῦ δυσσεβοῦς ἄνακτος, μοναχός τις τοὔνομα Ἰωάννης, τὴν τοῦ κελλαρίτου διακονίαν πεπιστευμένος καὶ λίαν παρὰ τοῦ ὁσίου δι' εὐθύτητα γνώμης στεργόμενος, ἔφη τῷ τιμίῳ πατρί, ὅτι περ "Ἔκπαλαι τοῦτο ἀκουτίζομαι, ὡς ἀπαράδοτον ὑπάρχει τὸ Ἀμόριον"· ὁ δὲ ὅσιος φησὶν πρὸς αὐτόν· "Μὴ πλανηθῇς, ἀδελφέ· μετὰ γὰρ δύο ἡμέρας παραδίδοται". Ὅπερ καὶ γέγονεν· ἐσημειώσατο γὰρ ὁ ἀδελφὸς τὴν ἡμέραν καὶ ἀψευδῆ ἔγνω τὴν πρόρρησιν τοῦ πατρός.

22. Τίς οὖν, φιλόχριστοι, οὐκ ἐκπλαγείη ἐπὶ τοῖς ξενίζουσιν πάντα νοῦν τοῦ ἁγίου τούτου θαυματουργήμασιν; ἐν γὰρ τοῖς τοῦ Καταβόλου μέρεσιν μειζότερός τις γνωστὸς ὑπάρχων τῷ ἁγίῳ διεβλήθη τῆς τῶν Μανιχαίων βδελυρίας μετέχειν· ἡ δὲ διαβολὴ γέγονεν τοῦτον τὸν τρόπον. Μανιχαῖός τις μιᾷ τῶν ἡμερῶν ἐπέστη τῇ οἰκίᾳ αὐτοῦ αἰτῶν ἐλεημοσύνην. Ἀσχολουμένων οὖν αὐτοῦ τε καὶ τῆς συμβίου αὐτοῦ μετὰ τῶν τέκνων αὐτῶν ἐπί τινι πράγματι, ἀνεχώρησεν ὁ βδελυρώτατος ἐκεῖνος, μηδὲν εἰληφὼς παρ' αὐτῶν. Ἐν τούτῳ κατέλαβεν ἀπόφασις ἐξελθοῦσα παρὰ τῶν φιλοχρίστων βασιλέων, λέγω δὴ Θεοδώρας καὶ Μιχαὴλ τοῦ ἑαυτῆς υἱοῦ, πρὸς τὴν βδελυρὰν αἵρεσιν τῶν Μανιχαίων. Ἐκεῖνος τοίνυν ὁ ἄθεος συλληφθεὶς καὶ ὁμολογεῖν τοὺς ὁμοίους αὐτοῦ ἀναγκαζόμενος διέβαλεν τὸν προρρηθέντα μειζότερον ἐπὶ τῇ τοιαύτῃ αἱρέσει. Συλληφθεὶς οὖν πανοικεὶ ὁ ἀνὴρ καὶ πρὸς τὴν Βασιλεύουσαν τῶν πόλεων ἀπαγόμενος εὐθύνας εἰσπραχθησόμενος ἱκεσίαν προσάγουσιν ἡ οἰκεία αὐτοῦ σύζυγος μετὰ τῆς θυγατρὸς τῷ τούτους χειρωσαμένῳ πρὸς τὸν ὅσιον ἀπολυθῆναι Εὐστράτιον καὶ πάλιν

2 κῶδ. *μεσιαύλω*. — 5 κῶδ. *ἐστρατοπεδεύκη*. — 11 κῶδ. *παραδίδωται*. — 17 κῶδ. *δι' ἐβλήθη*. — 19 κῶδ. *οἰκεία* || ἀπόγρ. *αὐτῶν τε*.— 22 κῶδ. *τοῦτο*. — 26 κῶδ. *διέβαλλεν*. — 29 κῶδ. *οἰκία*.

ἀνθυποστρέφειν τάχιστα. Συγχωρηθεῖσαι οὖν αἱ προειρημέναι γυναῖκες τοῦτο πράξαι τὴν τοῦ ὁσίου μονὴν σπουδῇ κατέλαβον· μηνύσει τε χρησάμεναι ἔξεισιν πρὸς αὐτὰς ὁ σημειοφόρος πατὴρ καὶ τὴν αἰτίαν τῆς πρὸς αὐτὸν ἀφίξεως μεμαθηκὼς λέγει αὐταῖς· "'Απέλθετε ἐν εἰρήνῃ· πιστεύω γὰρ τῷ Θεῷ οὐδὲν κακὸν πείσεσθαι οὔτε ὑμεῖς οὔτε ὁ ἀνήρ· ἀλλ' ἐπειδὴ μικρὸν ἄτακτός ἐστιν, εἴκοσι μόνα τὸν ἀριθμὸν μαγλάβια τυπτηθεὶς ἀπολυθήσεται μεθ' ὑμῶν". Ταῦτα ἀκούσασαι αἱ προειρημέναι γυναῖκες καὶ συνταξάμεναι τῷ ἁγίῳ ἀνεχώρησαν, καὶ εἰσελθοῦσαι ἐν τῇ πόλει τῇ φρουρᾷ παρεπέμφθησαν μετὰ τοῦ ἀνδρός· τῇ δὲ νυκτὶ ἐκείνῃ ἑωράκασιν οἱ τρεῖς ἅμα τὸν ἅγιον τῷ παλλίῳ αὐτοῦ σκέποντα αὐτοὺς καὶ διαβεβαιούμενον μηδὲν ὑπομένειν πονηρόν. Πρωΐας οὖν γενομένης, τυπτηθεὶς ὁ ἀνὴρ τὸν προγεγραμμένον ἀριθμόν, κατὰ τὴν προφητείαν τοῦ ἁγίου, ἀπελύθη σὺν αὐταῖς, κήρυξ τῶν τοῦ ὁσίου προρρήσεων καὶ θαυμάτων ὑπάρχων ἀψευδέστατος.

23. Ἔχω καὶ ἑτέραν πληθὺν θαυμάτων τοῦ τρισμάκαρος τούτου καὶ σημειοφόρου πατρὸς ἡμῶν ἐξειπεῖν, τῶν χαμερπῶς διηγηθέντων παραδοξοτέραν. Ἐκ γὰρ τῆς ἐπονομαζομένης τῶν Βωμῶν μονῆς, ἣ πρὸς τοῖς τοῦ Καταβόλου μέρεσιν διάκειται, ἀνιόντος τοῦ τρισμάκαρος τούτου καὶ σημειοφόρου πατρός, γύναιον πενιχρὸν ἐπεφθάκει παιδίον ἄλαλον καὶ κωφὸν ὡς ἐτῶν πέντε ἐπιφερόμενον. Γνοὺς οὖν ὁ σημειοφόρος διὰ τῆς [ἐν] αὐτῷ θείας χάριτος τὸ ἐνυπάρχον τῷ παιδὶ φησὶν πρὸς αὐτήν· "Τί ἐστιν τὸ συμβάν, ὦ γύναι, τῷ τέκνῳ σου"; ἡ δὲ πρὸς τὸν ὅσιον ἔφη· "'Ιδού, ἁγιώτατε πάτερ, πέμπτον ἔτος διάγει ὁ παῖς, ἀφ' οὗ ἐκ τῆς ἐμῆς ἀθλίας ἐξεληλύθει γαστρός, καὶ οὔτε ἐλάλησεν, οὔτε ἤκουσεν, ἀλλὰ μὴν οὔτε περιεπάτησεν, νεκρὸς σχεδὸν ἐκ μητρικῶν ὠδίνων γνωριζόμενος". Ταῦτα ὁ τοῦ Θεοῦ ἀκηκοὼς ἄνθρωπος, οἰκτείρας τὴν κατώδυνον ἐκείνην γυναῖκα, ἤτησεν δοθῆναι αὐτῷ

7 μαγλάβια=μαγκλάβια. — 19 Βωμῶν μονῆς] ὅρα τὸ τυπικὸν ταύτης παρὰ τῷ 'Αλεξίῳ Δημητριέβσκῃ [Описаніе литургическихъ рукописей. 'Εν Κιέβῳ 1895, τ. I, σ. 715 κέ], ἔνθα 'Ηλίου Βωμῶν, ἤτοι τῶν 'Ελεγμῶν, ὀνομάζεται. — 16 κῶδ. *ἐπεφθάκη*. — 22 προσέθηκα τὸ *ἐν*. ὅρα § 24. — 23 κῶδ. *τῶ ἐνυπάρχων*. — 26 κῶδ. *ἐξεληλύθει*. — 29 κῶδ. *κατόδυνον*.

τὸν παῖδα, καὶ τοῦτον λαβόμενος καὶ τῷ αὐχένι τοῦ ἵππου, ἐφ' ὃν ἐπικαθήμενος ἦν, ὁ μακάριος ἐπιτεθεικώς, τῷ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ τύπῳ πάντα αὐτοῦ τὰ μέλη σφραγίσας καὶ ἐπευξάμενος τέθεικεν ἐπὶ τοῦ ἐδάφους καὶ εὐθέως ὁρμαίως ὁ παῖς πρὸς τὴν μητέρα ἀφίκετο, ἀκούων τε καὶ φθεγγόμενος ἀκωλύτως, εἰς δόξαν τοῦ θαυματοποιοῦ Θεοῦ ἡμῶν, τοῦ διὰ τῶν ἁγίων αὐτοῦ δούλων ἐνδοξαζομένου καὶ τὴν οἰκείαν τῇ ἀνθρωπίνῃ φύσει ἀγαθότητα ἐνδεικνυμένου.

24. Πρὸς τὸ οἰκεῖον τοῦ ὁσίου τούτου πατρὸς μοναστήριον ἐκ τοῦ τῆς Προύσης ἄστεος ἀνιόντος ποτέ, ἐπειδὴ κατὰ τὸν παρακείμενον τῷ τόπῳ ἐγεγόνει ποταμόν, γυναῖκά τινα οἰμωγαῖς περισχιζομένην ὁρᾷ τὸ οἰκεῖον τέκνον τετελευτηκὸς ἐν ἀγκάλαις βαστάζουσαν· ἥστινος πλησίον ὁ συμπαθέστατος γενόμενος ἠρώτα τὴν αἰτίαν τῆς οἰμωγῆς· ἡ δέ, ὡς εἶχεν τάχος, δείκνυσιν αὐτῷ τὸ οἰκεῖον τέκνον τεθνανατωμένον. Πληγεὶς οὖν τὴν καρδίαν ὁ θαυμάσιος καὶ παραχρῆμα τοῦ ἵππου ἀποβὰς καὶ τὸ παιδίον ἐναγκαλισάμενος, μικρόν τι ἀποχωρήσας τῆς γυναικὸς καὶ τοῦ σὺν αὐτῷ ὁδεύοντος ἀδελφοῦ, θεὶς τὰ γόνατα προσηύχετο καὶ ἐπικλιθεὶς κατησπάσατο τήν τε κάραν καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ στόμα, τὰς ἀκοάς τε καὶ τὸ στῆθος τοῦ βρέφους, καὶ εὐθὺς τὸ ἀναίσθητον καὶ τεθνηκὸς παιδίον κλαυθμυρίζειν ἤρξατο· ὅπερ παράδοξον ἡ τεκοῦσα θεωρήσασα ἔπεσεν ἐπὶ τῆς γῆς ὡσεὶ νεκρά· κρατήσας δὲ αὐτὴν τῆς χειρὸς καὶ ἀναστήσας παρήγγειλεν μηδενὶ εἰπεῖν τὸ γεγονός, [ἐπεὶ] καὶ αὖθις κατὰ τὴν πρώτην τάξιν τὸ οἰκεῖον αὐτῆς δειχθήσεται τέκνον· ἡ δὲ ταύτην τηρήσασα τὴν τοῦ ὁσίου παραγγελίαν ἀπείληφεν οὐ μόνον τέκνον ἀλλὰ καὶ γήρους διατροφήν, καλῶς αὐτῇ διαγωνισάμενον καὶ αὐτὸν μετὰ τὴν ἐκείνης ἀποβίωσιν εἰς γῆρας ἐληλακότα, ὡς ἂν καὶ ἐν τούτῳ ἡ τοῦ ὁσίου διὰ τῆς ἐν αὐτῷ οἰκούσης χάριτος τοῦ ἁγίου πνεύματος δειχθήσεται θαυματουργία.

25. Παίδων ποτὲ τῶν πλησιαζόντων χωρίων τῷ τόπῳ ἐκείνῳ χοίρους νεμόντων, ἀλλήλους τε ἐκ φιλοσυμπαθοῦς διαθέσεως, οἷα

4 κῶδ. *τέθηκεν*. — 14 κῶδ. *οἰμογῆς*. — 18 κῶδ. *ἐπικληθεὶς*.

φιλεῖ γίνεσθαι, ἀμυνομένων, χλωρὰν καὶ λεπτοτάτην ἀπαιωρήσας ῥάβδον εἷς ἐξ αὐτῶν τῷ ἑτέρῳ κατὰ τῆς μήνιγγος ἐπιφέρει πληγήν, καὶ εὐθὺς ὁ λαβὼν ἀνάρπαστος ἐκ ζώντων ἐγένετο, ἐκ μιᾶς μάστιγος ἔξω τοῦ σώματος τῆς ψυχῆς αὐτοῦ χωρησάσης· Περιιστάντες οὖν οἱ παῖδες, ἐπειδὴ εἶδον τὸ συμβὰν τῷ συνήλικι αὐτῶν, τὸν γέλωτα εἰς θρῆνον μεταβαλόμενοι καὶ κοπετὸν οὐκ εἶχον ὅ τι καὶ δράσειεν. Κατὰ συγκυρίαν δὲ τοῦ θεσπεσίου τούτου πατρὸς κατὰ πάροδον ἐν τῷ τόπῳ γεγονότος καὶ τὸν ὀδυρμὸν πυνθανομένου τῶν παίδων, ὡς τὸ συμβὰν αὐτοῖς ἠκηκόει, τούτους μικρὸν ὑποχωρῆσαι παρακελευσάμενος, θεὶς τὰ γόνατα ἔγγιστα τοῦ τεθνηκότος προσηύξατο καὶ ἐμφυσήσας τῷ στόματι αὐτοῦ καὶ ταῖς ἀκοαῖς εὐθέως ἤγειρεν αὐτὸν καὶ παρέστησεν ζῶντα καὶ ἐρρωμένον τοῖς συνηλικιώταις, ἐντολὴν αὐτοῖς δοὺς μηδενὶ εἰπεῖν τὸ γεγονός· οἷς καὶ βουλομένοις εἰπεῖν οὐκ ἐξεγένετο, ἕως τῆς αὐτοῦ πρὸς Χριστὸν ἀναλύσεως. Ὡς θαύματος ἀξία ὄντως ὑπάρχει ἡ παρὰ τοῦ θεσβίτου Ἠλιοὺ γεγενημένη ἐπὶ τῷ τῆς χήρας τῆς ἐν Σαρεφθὰ τῆς Σιδωνίας τοῦ παιδὸς ἐκ νεκρῶν ἐξανάστασις, ὦ φιλόχριστος ἀκοή, καὶ ἰδοὺ πλεῖον Ἠλιοὺ ὧδε, ὅσῳ καὶ ὁ ἀριθμὸς ὑπερφερέστερος.

26. Ἀλλ' ἐφ' ἕτερά με παράδοξα τεράστια πάλιν ὁ λόγος ἕλκει τὴν χεῖρα, δεδιῶσαν τοιούτοις κατατολμᾶν οὐρανίοις ὄντως καὶ θείοις θαυματουργήμασιν· οὐ παραλείψω δὲ καὶ τὸ εἰς Θεόδωρον τὸν μονάζοντα τοῦ τρισμάκαρος τούτου πατρὸς γεγενημένον· οὗτος γὰρ ὁ Θεόδωρος ἐκ τῶν τῆς Ἐφὰς μερῶν ἕως τῶν Ὀλύμπου χωρῶν πεφθακὼς δεινὸν φόνον, ὅνπερ ἐξ ἐπιβουλῆς τοῦ ἀντικειμένου τῇ οἰκείᾳ κατειργάσατο ψυχῇ, τοῖς ἐνταῦθα κατοικοῦσιν ἐξαγορεύσας πατράσιν καὶ σχεδὸν παρὰ πάντων ἐκδιωχθεὶς διὰ τὸ ὑπερβάλλον τοῦ σφάλματος, πρὸς τὸν μέγαν τοῦτον τῆς διακρίσεως ὀφθαλμὸν ὁρμαίως ἀφίκετο, καὶ τούτου τῶν ἴχνων ἐφαψάμενος τὰ ἐσφαλμένα ἀνήγγειλεν· ὁ δὲ τοῦτον ὑπτίαις δεξάμενος χερσίν, κατασπασάμενός τε καὶ τῆς θανατηφόρου ἀπογνώσεως ἀνεγείρας "Θάρσει" ἔφη· "οὐδὲν κακὸν ἔχεις, εἰ τῶν ἐμῶν

1 κῶδ. *χλοριὰν καὶ λεπτωτ. ἀπεωρ.* — 16 Βασιλ. 3, ιζ', 9-24. — 17 καὶ ἰδοὺ - - ὧδε] κατὰ τὸ «καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ (ἢ Σολομῶντος) ὧδε». Ματθ. ιβ', 41, 42.

συμβουλῶν ὑπακούσειας". Τοῦ δὲ σὺν δάκρυσιν πάντα τὰ κελευόμενα ἐκτελεῖν συντιθεμένου, ἐπιτιμίῳ συμπαθεστάτην διάκρισιν γέμοντι τοῦτον κατησφαλίσατο καὶ ἀπέλυσεν ἐν κελλίῳ ἡσυχαστικῶς διαζῆν· γέγονέν τε σκεῦος ἐκλογῆς καὶ τῷ Κυρίῳ ἀπερισπάστως δουλεύσας μετέστη πρὸς αὐτόν, ἀδιάψευστον πληροφορίαν ἐσχηκὼς τῆς ἀφέσεως.

27. Ἐν τούτοις μοναχός τις ὀνόματι Τιμόθεος, κατὰ τὸν καιρὸν τοῦ τρυγητοῦ τοὺς ἀμπελῶνας περισκοπῶν, μιᾷ τῶν νυκτῶν κτύπου ἐν τῷ φραγμῷ γεγενημένου ἤσθετο· κλεπτῶν δὲ ἔφοδον ὑπονοήσας, ὡς ἔσχε τάχος περὶ τὸν τόπον ἐγένετο καὶ ἐξαίφνης σφηκῶν ἀναρίθμητος πληθὺς ἐπιπίπτει αὐτῷ, ἧς τὴν φορὰν οὐχ ὑπέφερεν. Δρομαίως οὖν πρὸς τὴν τοῦ τιμίου πατρὸς Εὐστρατίου παραγενόμενος κέλλαν "Ἐλέησόν με" ἐβόα, "ὁσιώτατε, ἀπολλύμενον", ἅμα καὶ τὸ συμβὰν διηγούμενος· ὁ δὲ θεοφόρος πρὸς αὐτὸν φησίν· "Μὴ ἆρά γε εἰσῆλθον εἰς τὸ στόμα σου"; ὃ δέ· "Οὐχί, πάτερ, ἀλλ' ἢ τὴν κεφαλὴν καὶ πᾶσάν μου τὴν ὄψιν λυμαίνονται". Εὐθὺς οὖν ὁ σημειοφόρος τῶν τριχῶν αὐτοῦ ἐπιλαβόμενος καὶ τοῦτον χαμᾶζε προσρήξας καὶ εὐχὴν ἐκτενὴν ὑπὲρ αὐτοῦ ἐκτετελεκώς, λάξ τε κατὰ τὴν κοιλίαν καὶ τοῦ στήθους καὶ τῶν κνημῶν τοῦτον παίσας, ἐλεύθερον τοῦτον τῶν σφηκοειδῶς παρενοχλούντων Δαιμόνων ἔδειξεν.

28. Σεργίου δὲ τοῦ μαθητοῦ αὐτοῦ ἐκ διακονίας μετὰ κτήνους φόρτον ἐπιφερομένου καὶ πρὸς τὴν μονὴν παραγινομένου, νυκτὸς αὐτὸν εἴς τινα κατειληφυίας ποταμὸν ὠλίσθησεν τὸ ζῷον· ὃ δὲ τοῦτο διεγεῖραι θέλων καὶ ἐκβαλὼν τά τε ἐν τοῖς βραχίοσιν εἰωθότα φορεῖσθαι ὑπὸ τῶν καμνόντων ἐκ δερμάτων μανίκια καὶ τὰ ἐν τοῖς ποσὶ πέδιλα ὑπεράνω τοῦ φόρτου τέθεικε, καὶ ὡς περὶ τὴν τοῦ ζῴου ἀνόρθωσιν ἠσχολεῖτο, ἐκπεπτωκότα εἰς ἀπώλειαν

4 κῶδ. *διαζεῖν* || *σκεῦος ἐκλογῆς*] Πράξ. θ', 15 || *τῷ Κυρ. ἀπερισπάστως*] Κορινθ. 1, ζ', 35. — 10 κῶδ. *ἐξέφνης*. — 11 κῶδ. *σφικῶν*. — 18 κῶδ. *χαμάζαι*. — 19 *τὴν κοιλίαν καὶ τοῦ κτλ*] *οὕτως ἐν τῷ κώδικι*. — 20 κῶδ. *κνιμῶν* - - *σφικοειδῶς*. — 22 κῶδ. *κτίνους*. — 24 κῶδ. *ὀλίσθησεν*. — 25 ἀπόγρ. *τούτου*. — 26 κῶδ. *εἰωθῶτα* || *καμνόντων*?] κῶδ. *καμνõ*. — 27 κῶδ. *παίδηλα* - - *τέθηκε*.

ἐχώρησαν. Ἀνελθὼν οὖν καὶ τῷ ὁσίῳ τὸ συμβὰν ὁ Σέργιος διηγησάμενος ἤκουσεν παρ' αὐτοῦ, ὡς κατὰ τόνδε τὸν τόπον ὑπὸ πλατάνου ἐν μέρει τοῦ ὕδατος οὔσης κεκράτηνται· ὃς εὐθὺς τὸν τόπον ἐφθακώς, ἀψευδὲς τὸ παρὰ τοῦ ὁσίου ῥηθὲν ἐγνωκώς, ἀνθυπέστρεψεν οἴκαδε.

29. Μετὰ τοῦτο εἴκοσι τὸν ἀριθμὸν ἀδελφῶν τὰ ζεύγη τῶν βοῶν τῆς μονῆς εἰληφότων πρὸς τὰ τοῦ Καταβόλου μέρη ἐπορεύοντο, φόρτον ἐν ταῖς ἁμάξαις σίτου καὶ ἑτέρων εἰδῶν ἀποκομιζόντων· ἐπειδὴ δὲ τῆς ὁδοῦ ἀπάρχεσθαι ἔμελλον καὶ εὐχὴν ἠτοῦντο τὴν τοῦ τρισμάκαρος εἰς ἐφόδιον, τάδε πρὸς αὐτοὺς διέξεισιν ὁ προφητικώτατος· "Γινώσκειν ὑμᾶς βούλομαι, ἀδελφοί, ὡς κατὰ τόνδε τὸν ποταμὸν πειρασμός τις γενήσεται ὑμῖν παρὰ τοῦ ἐχθροῦ τοῦ ἡμετέρου γένους Διαβόλου· ἀλλὰ μὴ ῥᾳθυμήσητε· ἡ τῆς θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς τῶν χριστιανῶν προστάτου καὶ ἀρραγεστάτης βοηθείας ἀντίληψις ὑπερασπίσει ὑμῶν καὶ τοῦτον ἄπρακτον τῆς ἐπιβουλῆς ἀποπέμψεται". Ταῦτα διεξελθὼν ἀπέλυσεν αὐτούς· οἳ δὲ τὴν ὁδὸν διανύοντες καί τινα ποταμὸν κατειληφότες, ὡς μέσον τοῦ ὕδατος αἱ ἅμαξαι γεγόνασιν, ἐκωλύθησαν τοῦ πρόσω χωρεῖν· ἐν ἀμηχανίᾳ δὲ οἱ ἄνθρωποι γενάμενοι τὰς τοῦ ὁσίου σὺν δάκρυσιν ἐπεκαλοῦντο εὐχάς. Καὶ δὴ ὁρῶσιν Αἰθίοπα ὑπερμεγέθη ἐκ τῶν τοῦ ποταμοῦ ὑδάτων ἐκπεπηδηκότα, πρός τε τῇ γεφύρᾳ ἀνελθόντα καὶ τοιαῦτα βοαῖς ἰσχυραῖς ἀποδυρόμενον. "Οὐαί μοι, οὐαί μοι ἀπὸ τοῦ κακοτρόπου Εὐστρατίου! οὐκέτι μοι ἰσχὺς ἐλλέλειπται· πάντα γάρ μου τὰ μέλη συνέθλασεν". Καὶ εὐθὺς ἔρριψεν ἑαυτὸν ἐν τῷ ποταμῷ, τὸ ἄξιον αὐτῷ ἐπικράζων "Οὐαί". Οἱ οὖν ἀδελφοὶ τοῦτο ἑωρακότες καὶ τοὺς βόας ἀποκινήσαντας εὐθύμως αἰσθόμενοι δόξαν τῷ ἁγίῳ ἀπεδώκασιν Θεῷ, τῷ διὰ τῶν εὐχῶν τοῦ τρισμάκαρος τούτου πατρὸς ποιοῦντι παράδοξα καὶ πᾶσαν φύσιν ὑπεραίροντα πράγματα.

30. Κλεπτῶν ποτε εἰσελθόντων ἐν τῇ μονῇ τοῦ ὁσίου, μὴ περιόντος ἐκεῖσε, καὶ συλησάντων πάντα τὰ διαφέροντα πράγματα

3 ὃς] κῶδ. ὡς. — 20 κῶδ. *συνδάκρυσιν*. — 24 κῶδ. *ἐλλέληπται*. — 27 κῶδ. *ἐσθόμενοι*. — 29 ἀπόγρ. *ποιοῦντα*.

*

τῆς μονῆς, καὶ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν παραγενόμενος, ὡς ἔγνω τὸ πραχθέν, εἰσῆλθεν ἐν τῇ ἐκκλησίᾳ καὶ πρὸς τὴν εἰκόνα τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου γενόμενος φησὶν αὐτῷ μετὰ παρρησίας· "Πίστευσον, οὐ μὴ ἐν ταύτῃ σου τῇ σεβασμίᾳ εἰκόνι οἱ ἐν τῷδε τῷ τόπῳ οἰκοῦντες τὸ ἐκ κανδήλης φῶς παράψωσιν, εἰ μὴ τὰ ληφθέντα ἀπολαβεῖν ἡμᾶς παρασκευάσῃς". Ταῦτα εἰπὼν πρὸς τὸ καρτερικώτατον αὐτοῦ εἰσέδυ κελλίον, καὶ ἰδοὺ τῇ ἐπαύριον οἱ κεκλοφότες ἐν τῷ τῆς μονῆς πυλεῶνι παραγεγόνασιν διηγούμενοι, ὡς "Δύο ἡμέρας διοδευσάντων ἡμῶν κατέλαβεν ἡμᾶς βασιλικός τις μετὰ καὶ μονάζοντος ἱεροπρεποῦς, ἀμφότεροι λευκοῖς ἵπποις ἐφεζόμενοι, καὶ μετὰ ἀπειλῆς καὶ δριμείας ἐπιπλήξεως ἀπείρξαντες τοῦ πρόσω χωρεῖν ἕως τῶν ὧδε μετὰ πολλῆς καὶ σφοδρᾶς ἤγαγον τάσεως". Ταῦτα οἱ τῆς μονῆς ἀκηκοότες καὶ τὰ ληφθέντα σῶα εὑρηκότες μηνύσει ἐχρήσαντο πρὸς τὸν ὅσιον· ὅστις ἐξελθὼν καὶ κατηχήσας αὐτοὺς καὶ ἐφοδιάσας ὁ χριστομίμητος ἀπέλυσεν ἐν εἰρήνῃ πρὸς τὰ οἰκεῖα πορεύεσθαι.

31. Ἐξίστησίν μου τὸν νοῦν τὸ ὑπερβάλλον τῆς θείας χάριτος, τῆς ἐν τῷ ἁγίῳ τούτῳ καὶ τρισμάκαρι πατρὶ ἐνυπαρχούσης Εὐστρατίῳ, ὦ ἀγαπητοί, καὶ φόβῳ τὴν ψυχὴν μερίζομαι ἐπὶ τοῖς οὕτω θαυμαστοῖς καὶ πᾶσαν διάνοιαν ὑπερβαίνουσιν διηγήμασιν· καὶ βουλόμενος σιγῆσαι διὰ τὸ ἀνάξιον καὶ χαμερπὲς τοῦ νοός, πάλιν δὲ διὰ τὸ μὴ ὅμοια τῷ εἰς γῆν κατακρύψαντι τὸ τάλαντον πονηρῷ δούλῳ ὑποσταίην ἐκ ῥᾳθυμίας * *. Ἀπὸ τοῦ οἰκείου μετοχίου τοῦ ἐπονομαζομένου Λευκάδες ἀνιόντος ποτὲ τοῦ τρισμάκαρος πρὸς τὴν σεβάσμιον μονὴν μετὰ τοῦ ἑαυτοῦ φοιτητοῦ, ὁρᾷ ἐκ διαστήματος πολλοῦ τὸ ἕτερον τῆς ὁσίας αὐτοῦ μονῆς μετόχιον, ὅπερ λέγεται τοῦ ἁγίου Κοσμᾶ, πυρίκαυστον ὅλον γινόμενον, καὶ εὐθὺς ὡς εἶχε τάχους τοῦ ἵππου ἀποβὰς καὶ μικρὸν τοῦ συνοδοιποροῦντος αὐτῷ ὑπαναχωρήσας ἀδελφοῦ εὐχῇ τὴν τοῦ πυρὸς ὁρμὴν ἔσβε-

9 κῶδ. *διωδευσάντων*. — 11 κῶδ. *δριμίας*. — 14 κῶδ. *ὥστις*. — 22 Ματθ. κε', 24-30. — 23 μετὰ τὸ *ῥᾳθυμίας* ἐλλείπει τι. — 27 Vita S. Ioannicii σ. 538 «ἡσυχάζοντος [=Ἰωαννικίου] εἰς τὸ τῶν Ἀγαύρων μετόχιον τοῦ ἁγίου Κοσμᾶ καλούμενον».

σεν· ὡς γὰρ ὁ συμπαραπορευόμενος αὐτῷ ἀδελφὸς διηγήσατο, ὅτι περ "Τῆς νυκτὸς πανσελήνου οὔσης εἶδον αὐτὸν" φησίν, "ὡς ἐξέτεινεν τὰς ὁσίας χεῖρας ἑαυτοῦ εἰς προσευχήν, κουφισθέντα ὡσεὶ πῆχυν ἕνα καὶ ἐν τῷ ἀέρι κρεμάμενον, εὐθύς τε καὶ τὴν ἀντικρὺ ὁρωμένην φλόγα εἰς ἀφανισμὸν χωρήσασαν παντελῆ".

32. Ἐν τῇ Βασιλευούσῃ τῶν πόλεων τούτου τοῦ θεοφόρου εἰσπλέοντος πατρὸς συνέβη κατὰ τὸν τοῦ Τρίτωνος ὅρμον τὸ πλοῖον προσορμίσαι καὶ φησὶν τῷ ναυκλήρῳ ὁ τοῦ Θεοῦ ἄνθρωπος· "Ποίησον ἡμῖν βρῶμα"· τοῦ δὲ ὀψάρια μὴ κεκτῆσθαι διαβεβαιουμένου, "Ὀλιγόπιστε", ἔφη ὁ ὅσιος, "ἐν τῷ ἀφικέσθαι προθυμήθητι· καὶ ὄψῃ τὴν τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν δόξαν". Τοῦτο οὖν ἐκπληρώσας ὁ προρρηθεὶς ὅτι τάχιστα ναύκληρος εὗρεν κατὰ τὸν αἰγιαλὸν κείμενον ἰχθὺν παμμεγεθέστατον, ὃς τούς τε θεασαμένους εἰς ξενισμὸν ἤγαγεν καὶ τοὺς πώποτε θηρευθέντας ἰχθύας ὑπερβάλλει μεγέθει φύσεως.

33. Ἡ παρὰ τῷ οἰκείῳ ἀνδρὶ ἐπιβουλευθεῖσα λέγω δὴ Βάρδα τοῦ κατ' ἐκεῖνο καιροῦ καίσαρος χρηματίσαντος καὶ τῆς πρὸς αὐτὸν ἐκδιωχθεῖσα συνοικήσεως εὐλαβεστάτη ἄνθρωπος ὀνόματι Θεοδοσία τοῦτον τὸν ὅσιον πατέρα συχνῶς προσκαλουμένη καὶ τῶν οὐρανοδρόμων αὐτοῦ ἐντρυφῶσα εὐχῶν δουλίδα τετραΐζοντι ῥηγίως συνεχομένην κεκτημένη ἐν τέσσαρσιν ἔτεσιν ὑγιῆ ἀπέλαβεν τρόπῳ τοιῷδε. Μιᾷ τῶν ἡμερῶν ἐκεῖσε παραγενομένου τοῦ τρισμάκαρος, ὡς μέσον τοῦ τρικλίνου παρεπορεύετο, κύψασα ἡ πιστοτάτη ἐκείνη δουλὶς καὶ τῇ οἰκείᾳ γλώσσῃ τὸν χοῦν τῶν ἁγίων αὐτοῦ καὶ ὡραιοτάτων ποδῶν ἐκλείξασα τῆς συνεχούσης εὐθὺς ἀπελύθη νόσου, τὴν αἱμόρρουν ὑπερακοντίσασα τῇ πίστει καὶ τὸν καρπὸν δρεψαμένη τῆς πίστεως πολυθαύμαστον.

34. Οὗτος ὁ τὴν ψυχὴν πεφωτισμένος Εὐστράτιος οὐ μόνον ἀνθρώπους διὰ τῆς ἐνούσης αὐτῷ θείας εὐεργετεῖ χάριτος, ἀλλὰ

5 κῶδ. *ὁρομένην - - χωρίσαν παντελεῖ*. — 7 κῶδ. *τρίτονος*. — 8 κῶδ. *προσορμῆσαι*. — 14 ἀπόγρ. *θεαμένους*. — 18 κῶδ. *ἐκείνω*. — 22 κῶδ. *τέτρασιν*. — 23 κῶδ. *πιστωτάτη*. — 24 κῶδ. *ὡραιωτάτων*. — 25 κῶδ. *ἐκλήξασα*. — 26 κῶδ. *αἱμόρουν* || Ματθ. θ', 20-22.

καὶ τὴν τῶν κτηνῶν φύσιν· πλησίον γὰρ τοῦ τῆς Προύσης ἄστεος ἀνήρ τις ἐν πενίᾳ συζῶν καὶ μηδὲν ἕτερον τῶν ἐν τῷ οἴκῳ αὐτοῦ εἰς πορισμὸν κεκτημένος, ἀλλ' ἢ τὴν μετὰ τοῦ οἰκείου κτήνους τῶν ἐπιτηδείων ἀποκόμισιν, εἴτε ξύλων ἢ ἑτέρου τινὸς εἴδους, ὅπερ πιπράσκων τὴν σωματικὴν χρείαν ἀπεῖχεν ὁσημέραι· πῶλος δὲ ἦν τὸ τοῦ κτήνους εἶδος. Αἴφνης πήρωσιν αὐτῷ γεγονυῖαν αἰσθόμενος ὁ ἄνθρωπος καὶ ἀνάγκῃ πολλῇ συνεχόμενος—κινδυνεύειν γὰρ εἰς αὐτὴν τὴν ζωὴν αὐτός τε καὶ οἱ μετ' αὐτοῦ ἔμελλον—, ὡς εἶχε τάχους πρὸς τὸν ὅσιον μετὰ τοῦ πώλου ἀφίκετο ἱκετεύων αὐτῷ παρασχεῖν αὐτῷ ἕτερον, ὡς ἂν μὴ λιμῷ αὐτός τε καὶ [οἱ] τοῦ οἴκου αὐτοῦ διαφθαρῶσιν· ὁ δὲ θεοφόρος πατὴρ τοῦτον οἰκτείρας φησὶν πρὸς αὐτόν· "Οὐκ ἔχομεν, ὦ τέκνον, ἕτερον παρασχεῖν σοι, ἀλλ' οὖν ὁ Κύριος μεριμνήσει τὸ λυσιτελοῦν ὅτι τάχιστα". Καὶ συνεξελθὼν αὐτῷ μέχρι τοῦ πυλῶνος, ὕδωρ ἐν ταῖς ἁγίαις αὐτοῦ χερσὶν ἐπιλαβόμενος ἀπὸ τοῦ ἔξωθεν εἰσρέοντος, τοῖς ὄμμασι τοῦ πώλου ἐπιτέθεικεν τῇ τοῦ σταυροῦ δυνάμει. Εὐθέως ἀποβληθέντων ὡσεὶ λεπίδων τῶν πηρωμάτων ὑγιῆ τοῦτο εἰλη-φὼς ὁ πένης ἀνεχώρησεν εἰς τὰ οἰκεῖα αὐτοῦ εὐχαριστῶν τῷ Θεῷ.

35. Προτρέπεται δέ με ὁ καιρός, ὦ φιλακροάμονες, καὶ τὸ πέρας τοῦ παρόντος βίου τοῦ ἀοιδίμου πατρὸς ἡμῶν Εὐστρατίου ὡς ἐφικτὸν διηγήσασθαι. Μέλλοντος γὰρ αὐτοῦ πρὸς τὴν Βασι-λεύουσαν εἰσιέναι τῶν πόλεων καὶ τῆς μονῆς τῆς οἰκείας ἀπά-ραντος, ἐπειδὴ ἐν τοῖς τοῦ Καταβόλου ἐπεφθάκει μέρεσιν, τὸν γνήσιον αὐτοῦ κατασπασάμενος ὁμαίμονα καὶ τὴν συνήθη πάννυ-χον ἐκεῖσε ἐκτετελεκὼς ὑμνῳδίαν σὺν αὐτῷ παρεκελεύσατο τὰ τῆς ἑστιάσεως τάχιον ἐπιτήδεια τοὺς ἐκεῖσε καταρτίσαι ἀδελφούς. Ὡς δὲ τοῦτο διὰ τάχους ἐγεγόνει, συνευφρανθεὶς πᾶσιν ὑπομι-μνήσκει αὐτοὺς δι' αἰνιγμάτων τὰ τῆς ἐξόδου. Ἐπεὶ δὲ τῆς τρα-πέζης ἀνέστη καὶ τῷ Θεῷ τὴν εὐχαριστίαν ἀπέδωκεν, καλέσας τὸν γνήσιον αὐτοῦ ἀδελφόν, τὸν ὁσιώτατον Νικόλαον, τοῦτο γὰρ

4 κῶδ. *ἐπιτιδίων ἀποκόμησιν.* — 5 κῶδ. *ὡς ἥμεραι.* — 6 κῶδ. *πείρωσιν α. γεγονύαν.* — 17 κῶδ. *πειρωμάτων.* — 24 κῶδ. *ὁμέμονα. κ. τῇ συνήθει.* — 26 κῶδ. *καταρτῆσαι.* — 28 κῶδ. *ἐπειδῆ.*

ἦν ὄνομα αὐτῷ, λαβὼν αὐτὸν ἰδιαζόντως λέγει πρὸς αὐτόν· "Γινώσκειν σε βούλομαι, ἀδελφέ, ὡς ἐν τῇ σαρκὶ ταύτῃ ζῶντα οὐκέτι με ὄψει· καὶ γὰρ εἰσελθὼν ἐν τῇ πόλει τοῦ γηΐνου τοῦδε σαρκίου ἀπολυθήσομαι. Μὴ οὖν ὀδυρμοῖς καὶ ἀσέμνοις οἰμωγαῖς περιβαλῇς σεαυτόν· ταῦτα γὰρ τοῖς μὴ ἔχουσιν ἐλπίδα τῆς μελλούσης ζωῆς, κατὰ τὸν ἅγιον ἀπόστολον Παῦλον· φησὶν γάρ "ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα"· ἀλλὰ μᾶλλον ἀγαλλιάσθητι, ὅτι τῆς μοχθηρᾶς καὶ ἐπωδύνου τοῦ σαρκίου τοῦδε ζωῆς ἀπολύομαι καὶ πρὸς τὸν κύριόν μου καὶ Θεὸν πορεύομαι, ᾧ καὶ δεδούλευκα ἐξ ἁπαλῶν ὀνύχων ἀπερισπάστως". Ἀλλήλους οὖν οἱ ὅσιοι οὗτοι κατασπασάμενοι καὶ μικρὸν προσοιμώξαντες, οὐ γὰρ συγχωρεῖν ἡ φύσις εἶχεν ἀδακρυτὶ τοῦτο αὐτοὺς τὸ διαζευκτήριον ὑπο[μεῖ]ναι, προσκαλεσάμενος τοὺς ἀδελφοὺς καὶ πάντα τὰ εἰς σωτηρίαν συντείνοντα [εἰπών], ἐξελθὼν καὶ ἀσπασάμενος ἅπαντας "Σῴζεσθε" ἔφη· "εἰς γὰρ ὁδὸν μακρὰν ἀπάραι βούλομαι". Οἳ δὲ χάριν τοῦ ἐν τῇ θαλάσσῃ πλοὸς τοῦτο εἰρηκέναι τὸν ὅσιον ὑποπτεύσαντες οὐδεμίαν θλῖψιν ἢ ταραχὴν περὶ τούτου ἐσχήκασιν.

37. Ὁ μέντοι ἡγιασμένος οὗτος πατὴρ ἐν τῷ πλοίῳ εἰσεληλυθώς, αἰσίου τοῦ πλοὸς γεγονότος, διὰ τάχους τὴν Βασιλεύουσαν κατέλαβεν· καὶ δὴ ἐν τῷ τοῦ Ἰουλιανοῦ λιμένι, ὃν δὴ Σοφίας καλεῖν ἡ συνήθεια εἴωθεν, εἰσερχομένου τοῦ πλοίου, βραχεῖ τινι ὑφάλῳ ἐπιδραμόντος, ὀπὴν ὑπέστη δυναμένην αὐθωρὸν αὐτὸ καταποντίσαι. Τῶν οὖν ἐν αὐτῷ εἰσπλεόντων ἀγνοησάντων τὸ συμβὰν αἰσθόμενος ὁ σημειοφόρος πατὴρ εὐχὴν κατὰ διάνοιαν τῷ ἑτοίμως ἔχοντι ὑπακούειν τοῖς γνησίοις δούλοις ἐποιεῖτο πολυτρόπως ἀσινεῖς πάντας τοὺς ἐκεῖσε εἰσπλέοντας διασωθῆναι. Διαφυλαχθέντος οὖν ἀσινοῦς τοῦ πλοίου καὶ μήτε μικροῦ ὕδατος ἐκ τῆς γεγενημένης ὀπῆς εἰσελθόντος ἐν αὐτῷ καὶ τῇ γῇ προσορμισθέντος ἐκβάλλεσθαι τοὺς

4 κῶδ. *οἰμογαῖς*. — 6 Θεσσαλ. 1, δ', 13. — 7 κῶδ. *λυπεῖσθαι*. — 8 κῶδ. *ἐποδύνου*. — 11 οὗτοι] κῶδ. *τοῦτοι*. — 12 κῶδ. *πρὸς οἰμόξαντες*. — 15 κῶδ. *σώζεσθαι*. — 23 κῶδ. *ἐπιδραμών - - αὐθωρῶν*. — 26 κῶδ. *ἐποιείτω*. — 27 κῶδ. *διὰ φυλαχ*. — 29 κῶδ. *ἐναυτῶ· οὕτω καὶ ἑξῆς*.

ναυτικοὺς πάντα διὰ τάχους τὰ ἐν τῷ πλοίῳ ὄντα παρεκελεύσατο σκῦλα· οἱ δὲ τὸ κελευσθὲν διὰ τάχους ἐκτελέσαντες, ὡς μὴ καταλιπεῖν ἐν αὐτῷ εἰ μὴ μόνα τὰ ἐξάρτια, ὕστατος ἁπάντων καὶ αὐτὸς ἐξιέναι βεβούληται. Ὡς οὖν τοὺς ὡραίους αὐτοῦ καὶ ἁγίους πόδας πρὸς τὴν ἐν τῷ λιμένι ὑπάρχουσαν πλαγίαν κλίμακα ἔστησεν ὁ μακάριος, παραχρῆμα μεστὸν ὕδατος ἐκεῖνο τὸ πλοῖον ἐγεγόνει καὶ ἐπὶ τὴν τῆς θαλάσσης ἐπιφάνειαν ὡρᾶτο· ὅπερ παράδοξον οἱ ἐν αὐτῷ εἰσπλέοντες θεασάμενοι ἐξέστησαν ἐπὶ τοῖς οὕτως ὑπερανεστηκόσι πάντα νοῦν τοῦ ἁγίου θαυματουργήμασιν. Καὶ δὴ τῇ ἐπαύριον ὁ νέος οὗτος Ἠλίας ἐν τῷ πατριαρχικῷ οἴκῳ παραγενόμενος καὶ προτραπεὶς παρ' αὐτοῦ [τοῦ] τηνικάδε τῇ ἀρχι- - - - - -

37. "- - - - - - ωσιν διά τινων πληροφορηθεῖσα πραγμάτων, μηδὲν εἰς τοῦτο διστάσῃς, ἀλλὰ χαῖρε ἀμέμπτως τὸν ἐπίλοιπόν σου διατελοῦσα χρόνον· εἰ δὲ μὴ ἀπαντήσοις τοῦτο, διά τινων τεκμηρίων πληροφορίαν παρεχόντων σοι τὰ κατὰ σαυτὴν ὡς βούλῃ φρόντισον"· ἣ καὶ τὰς ἀπείρους αὐτοῦ θαυματουργίας τὰς μετὰ τὴν ὁσίαν αὐτοῦ κοίμησιν γινομένας καθ' ἑκάστην ὁρῶσα ἔχαιρεν καὶ ἠγαλλιᾶτο, θερμοτέρα περὶ τὴν ἐλεημοσύνην καὶ τὴν κατὰ Θεὸν σπουδὴν γινομένη.

38. Ἐπεὶ δὲ τῶν ἐνθένδε ἀπαίρειν ἤμελλεν ὁ ὅσιος, τῇ δεκάτῃ τοῦ ἰανουαρίου μηνός, ἡνίκα ἡ μνήμη τοῦ πανσόφου καὶ θεοφόρου πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης ἐφεστήκει ⟨μνήμη⟩, τοὺς ἐκεῖσε ὄντας ἀδελφοὺς προσκαλεσάμενος—ἦν δὲ τὸ τῆς νυκτὸς μεσαίτατον — φησὶν πρὸς αὐτούς· "Ὁ χρόνος τῆς ἐμῆς ζωῆς ἐν σαρκί, ἀδελφοί, πέρας εἴληφεν καὶ τὸ ποτήριον, ὃ πάντες ἔπιον οἱ πατέρες ἡμῶν, τὸ αὐτὸ πίνω κἀγὼ καὶ πορεύομαι, εἰ καὶ ἀνάξιος, πρὸς τὸν ἐμὸν δεσπότην καὶ κύριον, ᾧ καὶ ἐκ νεαρᾶς δεδούλευκα τῆς ἡλικίας. Λοιπόν, τέκνα μου ἀγαπητά,

4 ἀπόγρ. *βεβεβούληται.* — 9 κῶδ. *ὑπὲρ ἀνεστ.* — 12 μετὰ τὸ *ἀρχι*[ερατικῇ καθέδρᾳ] χάσμα, καθὰ φαίνεται, μέγα ὑπάρχει.—13 κῶδ. *πληροφορηθεὶς.* — 19 κῶδ, *θερμωτέρα.* — 24 ὀβελιστέον τὸ δεύτερον τοῦτο *μνήμη.* — 26 ποτήριον] Ματθ. κ', 22. Μάρκ. ι', 38-39. Κορινθ. 1, ι', 21.

τὴν παρακαταθήκην, ἣν παρά τε τῶν προηγησαμένων πατέρων καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ εἰλήφατε, φυλάξατε καὶ τὸ ἐμπιστευθὲν ἐν ὑμῖν τῆς ἀρετῆς τάλαντον πολυπλασιάσαι σπουδάσατε, ἵνα μὴ τὴν τοῦ ἀπηγορευμένου καὶ πονηροῦ δούλου μερίδα κληρώσησθε. Ἐπίγνωτε, ὅτι πάντα τὰ παρόντα πρόσκαιρα ὄντα ταχεῖαν τὴν μεταβολὴν ἔχει καὶ ἡμεῖς εἷς καθ' εἷς τῶν ἐνθένδε μεταχωροῦμεν καὶ πρὸς τὸν κοινὸν δεσπότην πορευόμεθα. Σπουδάσατε οὖν τῆς τῶν σῳζομένων μερίδος ἀξιωθῆναι καὶ τῶν ἀπ' αἰώνων ἁγίων συγκληρονόμοι γενέσθαι· ὁ γὰρ μὴ τῇ στενῇ ὁδῷ τῶν τοῦ Χριστοῦ ἐντολῶν πορευόμενος, ἀνώνητα μεταγνούς, εἰς αἰῶνας αἰώνων τιμωρηθήσεται. Τοιγαροῦν, τέκνα, σῴζεσθε καὶ Κύριος ἔσται μεθ' ὑμῶν". Ἐπὶ τούτοις τοῖς θεαρέστοις λόγοις τὸ ὑπόλοιπον τῆς νυκτὸς διελθών, ἐπειδὴ ὁ τοῦ κανόνος ἐφεστήκει καιρός, ἀρξαμένων αὐτῶν τῆς δοξολογίας καὶ τὴν ἕκτην συμπληρωσάντων ᾠδήν, ὡς εἶδεν ἑαυτὸν ἠτονηκότα, μικρὸν σιγῆσαι αὐτοὺς παρεκελεύσατο. Κατασφραγισάμενος οὖν καὶ ὑψοῦ τὰς χεῖρας ἄρας, τό τε ὄμμα πρὸς οὐρανὸν ἀνατείνας, "Εἰς χεῖράς [σου]" ἔφη, "Κύριε, παρατίθημι τὸ πνεῦμά μου"· καὶ ἐξάρας τοὺς πόδας, ὡς ὁ πάλαι Ἰσραήλ, παρέδωκεν τῷ Κυρίῳ τὸ πνεῦμα, ζήσας τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ἔτη ἐνενήκοντα πέντε, ἀποκειράμενος ἐνιαυτῶν εἴκοσι, ποιήσας δὲ ἐν τῇ μοναδικῇ πολιτείᾳ ἔτη ἑβδομήκοντα πέντε.

39. Εὐθὺς οὖν ἦν ἰδεῖν τοῦ πλήθους τοῦ ἐν τῷ Βυζαντίῳ σφοδρὰν ὅτι μάλιστα*· οἱ μὲν γὰρ τῶν αὐτοῦ ἀμφίων, ἕτεροι δὲ τῶν τριχῶν ἤ τινος τῶν ἐκ τοῦ πολυάθλου αὐτοῦ σώματος μελῶν εἰς φυλακτήριον ἆραι ἠπείγοντο. Ἐν τούτοις γυνή τις, ἔγγιστα τοῦ μετοχίου ἐκείνου καταμένουσα, θλᾶσμα κατὰ τοῦ μηροῦ ἐκ συμπτώματός τινος ὑποστάσα κλινήρης κατέκειτο ἐπὶ ἔτη δέκα ἑπτά, ἐπὶ τοῖς οἰκείοις ποσὶν στῆναι ἢ βαδίσαι μὴ σθένουσα. Αὕτη ἐν φο-

4 πονηροῦ δούλου] Ματθ. κε', 26. Λουκ. ιθ', 22. — 5 κῶδ. *ἐπίγνωται*. — 8 σῳζομένων] Λουκ. ιγ', 23 κέ. — 9 στενῇ ὁδῷ] Ματθ. ζ', 14. — 11 κῶδ. *σώζεσθαι*. — 15 κῶδ. *ἠτονικώτα*. — 16 κῶδ. *ὕψου*. — 17/18 Λουκ. κγ', 46. — 20 κῶδ. *ἐνενίκ. - - ἀποκηρ.* — 27 κῶδ. *συμπτόματος*.

ρείῳ βληθεῖσα ἀνεκομίσθη πρὸς τὸ τοῦ ὁσίου λείψανον, καὶ ἐπειδὴ κατασπάσασθαι ἠξιώθη, αἰτησαμένη τὴν προειρημένην ἄνθρωπον Θεοδοσίαν καὶ λαβοῦσα μερίδα τῶν ἐν τῷ πώγωνι αὐτοῦ τριχῶν τέθεικεν εἰς τὸν ἀλγοῦντα μηρὸν ὀψίας καὶ ἀφύπνωσεν, καὶ ὁρᾷ τὸν σημειοφόρον τοῦτον πατέρα σφραγῖδα αὐτὴν ποιοῦντα καὶ τὸ "Ἀνάστα· οὐδὲν κακὸν ἔχεις" πρὸς αὐτὴν λέξαντα. Καὶ δὴ ἀναστάσα περὶ τὸ διάφαυμα οἰκείοις βαδίζουσα ποσὶν ἕως τοῦ τόπου [αὐτῆς] παρεγένετο, βοῶσα μεγάλῃ τῇ φωνῇ τὸ θερμὸν τῆς εἰς αὐτὴν τοῦ ἁγίου ἐπισκέψεως. Πάντες τοίνυν οἱ γείτονες καὶ οἱ γνωστοὶ αὐτῆς θεωρήσαντες τὸ εἰς αὐτὴν γενόμενον θαῦμα ἐξέστησαν· ἀλλὰ μὴν καὶ ὁ ἐκ νεαρᾶς ἡλικίας συναφθεὶς αὐτῇ ἀνὴρ τῆς τῶν Εἰκονομάχων αἱρετικῶν μερίδος ὑπάρχων καὶ τῶν τῷ ἀγγελικῷ σχήματι λαμπρυνομένων ἐχθρὸς ἀδιάλλακτος—καὶ τοῦτο γὰρ ἡ ἄθεος αὕτη κέκτηται αἵρεσις—, εὐθὺς ὡς εἶχε τάχους ἐν τῷ τόπῳ γέγονεν, τὴν αἵρεσιν αὐτοῦ ἀναθεματίζων καὶ τοὺς τὸ ἅγιον σχῆμα ἐνυβρίζοντας, καὶ ὁμολογῶν τὴν ὀρθόδοξον πίστιν κρατεῖν τε καὶ φυλάττειν ἀσάλευτον, ὡς φωτὸς οὖσαν καὶ ζωῆς πρόξενον καὶ τὴν τῶν οὐρανῶν χαριζομένην βασιλείαν.

40. Τῆς οὖν συνήθους ἐπὶ τῷ ἱερῷ ἐκείνῳ σκήνει ἐπιτελουμένης ὑμνῳδίας, καὶ φωταψίας δαψιλοῦς ἡμέρας τε καὶ νυκτὸς ὑπὸ τῆς πιστοτάτης Θεοδοσίας γινομένης, τῇ ἑξῆς τῷ ἱερῷ κατατεθεικότες αὐτὸν γλωσσοκόμῳ, ἀνεῳγμένῳ ὄντι διὰ τοὺς ἐκεῖσε ἀποκομιζομένους ἀρρώστους, τὴν τῶν ἡμερῶν ἐννάδα ἀνέμενον. Καὶ δὴ τὰ τρίτα τῆς τοῦ ὁσίου κοιμήσεως πεφθακότα ἰδοὺ τρεῖς νεανίσκοι καὶ γυνὴ μία ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλούμενοι ὁρμαίως ὑπὸ τῶν ἐνοικούντων ἐν αὐτοῖς πνευμάτων ἤκασιν ἐλαυνόμενοι, καὶ ἡ μὲν γυνὴ μετὰ τοῦ ἑνὸς νεανίσκου κατ' αὐτὴν τὴν ὥραν ἠλευθερώθησαν τῆς ἐκ τῶν Δαιμόνων μάστιγος, οἱ δὲ ἕτεροι δύο ἐκεῖσε προσκαρτερήσαντες, τῇ ἐνάτῃ ἡμέρᾳ καὶ αὐτοὶ ἰαθέντες εἰς τὰ οἰκεῖα σωφρονοῦντες ἀπῆλθον.

41. Πρεσβύτερος δέ τις μιᾷ τῶν ἡμερῶν ἐξελθὼν τοῦ οἴκου αὐτοῦ καὶ εἴς τινα χρείαν ἀπιὼν αἴφνης κατέπεσεν ἐπὶ τῆς γῆς,

1 κῶδ. *φορίω*. — 3 κῶδ. *πόγονι*. — 8 προσέθηκα τὸ *αὐτῆς*.

καὶ ἡμίξηρος γεγονώς, ἐλεεινῶς ὑπὸ τῶν παρατυχόντων φιλοχρίστων βασταζόμενος εἰς τὸν οἰκεῖον οἶκον ἀπεκομίσθη. Ὀλίγας δέ τινας ἀκίνητος ἡμέρας γενόμενος καὶ τὴν αἰφνιδίως ἐπελθοῦσαν αὐτῷ ἀποδυρόμενος συμφοράν, ἀκηκοὼς περὶ τοῦ ἀοιδίμου τούτου πατρός, τάχος μετὰ τῆς κλίνης βασταζόμενος ἐνταῦθα κατέλαβεν, καὶ πλησίον τοῦ ἁγίου ἐκείνου γλωσσοκόμου ἀποτεθεὶς δάκρυσιν τὸν ἅγιον ἐλεῆσαι αὐτὸν καθικέτευεν· καὶ τῇ νυκτὶ ἐκείνῃ ἐπιφανεὶς ὁ συμπαθὴς οὗτος καὶ μέγας ἰατρὸς φησὶν αὐτῷ ἐμβριμώμενος· "Τί βοᾷς πρός με σὺν δάκρυσιν; τοῦτο οὐκ ἄλλοθέν σοι γέγονεν, ἀλλ' ἢ ἐκ τῆς πολλῆς ὑπερηφανίας καὶ τῶν ἀτάκτων ῥημάτων καὶ ὅρκων, οὓς διὰ στόματος προφέρεις ἱερεὺς τυγχάνων. Δὸς οὖν λόγον μηκέτι οὕτως ἐπίορκος ὑπάρχειν, ἀλλὰ καὶ τῇ ταπεινώσει ἑαυτὸν κοσμεῖν, καὶ ἀπολυθήσῃ τῆς νόσου ὅτι τάχιστα τῇ δυνάμει καὶ χάριτι τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν". Ὁ δὲ ἐν αὐτοῖς τοῖς ὕπνοις ἐπομωσάμενος τῷ ἁγίῳ, δοὺς αὐτῷ ὁ ὅσιος χεῖρα ἀνέστησεν αὐτόν. Σύντρομος οὖν γεγονὼς ὑγιὴς ὡς μηδέποτε λώβην τινὰ ὑποστὰς ἀνέθορεν τῇ χάριτι τοῦ Θεοῦ ἡμῶν.

42. Ἕτερος δέ τις ἐργαστηριακὸς ὑπάρχων, χειραγωγούμενον τὸν οἰκεῖον ἀπήγαγεν παῖδα πρὸς τὸ ἅγιον ἐκεῖνο λείψανον, ἐκ λοιμικῆς νόσου [πάσχοντα, καὶ] τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπιχρίσας ὑγιῆ καὶ τρανῶς καθορῶντα ἀπέδειξεν· ὅνπερ ἀπολαβὼν ὁ πατὴρ αὐτοῦ ὡς μηδέποτε πήρωσίν τινα πεπονθότα ἀπῄει χαίρων ἐν τῷ οἴκῳ αὐτοῦ.

43. Καὶ ἄλλος δέ τις ἀσκοῦ δίκην πεφυσημένος ἕως τῶν ὧδε ἀφίκετο, καὶ μὴ δυνάμενος κλιθῆναι καὶ κατασπάσασθαι τὸ τίμιον λείψανον, αἰτήσας ἀπομυρίσαι τό τε μέτωπον τοῦ πατρὸς καὶ τὰς χεῖρας τοὺς ἐκεῖσε προσκαρτεροῦντας ἀδελφούς, καὶ πιὼν τὸ τοιοῦτον ἀπομύρισμα εὐθὺς - - - - - - -

44. - - - μένη καὶ ἐπαλειψαμένη ἔστη παραυτὰ ἡ ῥύσις τοῦ αἵματος καὶ ἀπῄει εὐχαριστοῦσα τῷ Θεῷ καὶ τῷ ἁγίῳ αὐτοῦ θεράποντι.

20 κῶδ. *λυμικῆς* || προσέθηκα τὸ *πάσχοντα καὶ* || κῶδ. *ἐπιχρήσας*. — 22 κῶδ. *πείρωσιν* -- *ἀπίει*. — 26 κῶδ. *ἀπομυρῆσαι*. — 28 μετὰ τὸ *εὐθὺς* ὑπάρχει χάσμα. — 30 κῶδ. *ἀπίει*.

45. Ἄλλος δέ τις, τετυφλωμένους ἔχων τοὺς ὀφθαλμούς, χειραγωγούμενος ἀφίκετο ἐν τοῖς ἐκεῖσε, καὶ κατασπασάμενος τὸ τίμιον σῶμα τῇ ἐπαύριον ἀπῆλθεν βλέπων τρανῶς εἰς τὰ οἰκεῖα ὑμνῶν τὸν Θεόν.

46. Καὶ ἕτερος δέ τις ὡς ἐτῶν ἑβδομήκοντα ἀφωνίᾳ κρατούμενος ἐκ Διαβολικῆς ἐνεργείας, ἐνταῦθα ἀφικόμενος, λυθείσης τῆς γλώσσης αὐτοῦ ἐπανέζευξεν οἴκαδε, εὔφωνος ἐξ ἀφώνου γενόμενος.

47. Γυνή τις λελεπρωμένη τὰς ὄψεις, ἐκεῖσε ἐληλυθυῖα καὶ κατασπασαμένη τὸν ἅγιον, εὐθὺς τὴν τυφλότητα ἀποβαλοῦσα ἀνεχώρησεν ὑγιὴς εἰς τὸν οἶκον αὐτῆς.

48. Ἀφίκετο ἐν τοῖς αὐτόθι καὶ ἕτερος φῶς μὴ ἑωρακὼς τριάκοντα δύο χρόνους, καὶ παραμείνας ἡμέρας ἓξ, μηδεμίαν εὑρίσκων ὄνησιν, ἠβουλήθη τῶν ἐκεῖσε ὑπαναχωρῆσαι. Ἐπισχὼν τοίνυν τὸν ἑαυτοῦ λογισμὸν ἔτι μίαν προσπαραμεῖναι ἡμέραν καὶ ἐγκαρτερήσας τῇ νυκτὶ ἐκείνῃ φαίνεται αὐτῷ ὁ σημειοφόρος Εὐστράτιος καὶ φησίν· "Ὀλιγόπιστε, τριάκοντα δύο ἔτη ἐν ταύτῃ ἐνεκαρτέρησας τῇ παιδείᾳ, καὶ ἐν ἓξ ἡμέραις ἠθύμησας; ἰδοὺ ὑγιὴς ἔσῃ ἀπὸ τοῦ νῦν· μὴ ἀθύμει". Καὶ κατασπασάμενος τοὺς δύο αὐτοῦ ὀφθαλμοὺς ἀναβλέψαι αὐτὸν πεποίηκεν· ὃς διαναστὰς καὶ εὑρὼν αὐτὸν τρανῶς βλέποντα δόξαν τῷ Θεῷ μεγαλοφώνως ἀνέπεμπεν, τῷ ποιοῦντι παράδοξα διὰ τῶν ἁγίων αὐτοῦ.

49. Ἕτερος δέ τις παιδίον ἔχων ἄλαλον ὡσεὶ ἐτῶν ὀκτὼ ἤγαγεν αὐτὸ ἐν αὐτῷ τῷ τόπῳ, οὗ ἦν τὸ τοῦ ἁγίου λείψανον, καὶ ποιήσας κατασπάσασθαι αὐτὸ τὸν ἅγιον, κρατήσας τῆς χειρὸς τοῦ ἁγίου εἰσήγαγεν τοὺς δακτύλους εἰς τὸ στόμα τοῦ παιδίου, καὶ ἁψάμενος - - - - -

50. - - - - - καὶ περιπτυξάμενος τὸν ὅσιον εὐχαρίστησεν τῷ Θεῷ ἐπὶ τοῖς συμβεβηκόσιν.

51. Ἐν ταύτῃ τοίνυν [τῇ] τῶν Βωμῶν μονῇ καὶ ἕτερα συμ-

1 κῶδ. *τετυφλομ.* — 5 κῶδ. *ἀφονία.* — 10 κῶδ. *τυφλώτητα.* — 14 ἀπόγρ. *ὤνησιν.* — 18 κῶδ. *παιδία.* — 24 αὐτὸ] κῶδ. *αὐτῶ.* — 27 μετὰ τὸ *ἁψάμενος* ὑπάρχει φύλλον ἄγραφον ἐκ χάρτου ἐν τῷ κώδικι. — 30 κῶδ. *βομῶν.*

βέβηκεν τεράστια πᾶσαν ὑπερβαίνοντα φύσιν ἐπιτελεσθῆναι, ἃ καὶ παραλιπεῖν διὰ τὸ πλῆθος ἀναγκαῖον· πρὸς δὲ τῶν ἐντυγχανόντων βεβαίωσιν ἓν ἐκ πολλῶν παραθεὶς ἀξιόπιστον ποιήσομαι τὸν λόγον. Ἀνὴρ γάρ τις τῶν ἐκεῖσε οἰκούντων πλησιοχώρων παιδίον ὡς ἐτῶν ἐννέα κεκτημένος, ἀκίνητον τοῖς ποσὶν κωφόν τε καὶ βωβὸν ὑπάρχον ἐκ γενετῆς, βαστάσας αὐτὸ ἐκεῖσε παρεγένετο· ἔστη δὲ τοῦ ἱεροῦ σκήνους ἐν τῷ μεσαιτάτῳ τοῦ ναοῦ κατακειμένου. Τέθεικεν τὸ μειράκιον ὑπεράνω τοῦ γλωσσοκόμου, καὶ μιᾶς διελθούσης ὥρας ἀνέστη τὸ μειράκιον ἀλλόμενόν τε καὶ ἀκοῦον ὀξέως, ὡς πάντας δοξάσαι τὸν Θεὸν τὸν ποιοῦντα παράδοξα διὰ τῶν ἁγίων αὐτοῦ.

52. Ἐκεῖθεν τοιγαροῦν τὸ μαννοφόρον τοῦτο οἱ τοῦ ὁσίου φοιτηταὶ μετὰ τοῦ ἡγιασμένου αὐτῶν πατρὸς Νικολάου ἄραντες, τὸ γλωσσόκομον, καὶ γηθοσύνως, ὡς ὁ προφήτης πάλαι καὶ μέγας βασιλεὺς Δαυὶδ ἐπὶ τῇ μεταθέσει τῆς κιβωτοῦ, ἀνιόντες, ὡς πλησίον τῶν ἐν τῇ Προύσῃ θερμῶν ὑδάτων γεγόνασιν, γραῦς ὡς ἐτῶν ὀγδοήκοντα δαιμονιῶσα ἔτη πολλὰ καὶ τῆς τοῦ Δαίμονος ἀπαλλαγῆναι μὴ ἰσχύουσα ἐπιβουλῆς ἑωράκει τὸν ὅσιον· τοῦτο γὰρ οἱ ἀποκομισταὶ * πεποιήκασιν παρευθὺ τῆς ἰάσεως.

53. Τὸν μέντοι ἱερὸν τῆς τοῦ ὁσίου πατρὸς κατειληφότες νεὼν καὶ ἐπίπροσθεν τοῦ ἁγίου θυσιαστηρίου ἀνακλίναντες τὸ σεπτότατον κιβώριον καὶ τοῦτο ἀνακαλύψαντες, μονάζουσά τις ἐξηραμμένην ἔχουσα τὴν χεῖρα προσελθοῦσα καὶ τὴν τοῦ ἁγίου δεξιὰν μετὰ τῆς ὑγιοῦς κουφίσασα χειρὸς καὶ τῇ πασχούσῃ ἐπιθεῖσα, ὁ εἰς αἰῶνα ζῶν ἀληθῶς σημειοφόρος πατὴρ κρατήσας τὴν πάσχουσαν ἐπὶ τοσοῦτον ἔσφιγξεν, ὡς ἀναβοήσασαν αὐτὴν ἰσχυρῶς παρευθὺ ὑγιῆ τὴν χεῖρα ἀπολαβεῖν.

54. Πληρωθεισῶν δὲ τῶν τεσσαράκοντα ἡμερῶν κατέθεντο αὐτὸν μετὰ τοῦ ἱεροῦ ἐκείνου γλωσσοκόμου ἐν τῷ ἀριστερῷ τοῦ θυσιαστηρίου μέρει, ἰάσεις ὁσημέραι πάντα λόγον ὑπερβαινούσας ἐπιτελοῦντα· μετὰ γὰρ τὴν σεβάσμιον ἐκείνην κατάθεσιν δύο τινὲς

1 κῶδ. *τεράστεια*. — 6 κῶδ. *βοβὸν ὑπάρχων ἐκ γεννητῆς*. — 7 κῶδ. *μεσετάτω*. — 8 κῶδ. *ὑπὲρ ἄνω*. — 15 Βασιλ. 2, ς΄, 1-12. — 21 κῶδ. *σεπτώτατον*.

ἐκ τῆς τῶν Μαλαγίνων χώρας ἀφίκοντο, ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλαυνόμενοι. Ἐκεῖσε διημερεύσαντες, κατὰ τὴν τρίτην ἡμέραν τῶν ἀδελφῶν πάντων τὸν ἑσπερινὸν ὕμνον τῷ παντοδυνάμῳ ἀναπεμπόντων Θεῷ, αὐτοὶ λίθους κρυφίως ἄραντες καὶ τῇ σορῷ εἰσδραμόντες καὶ μετ' αὐτῶν τὸ ἐπικαλύπτον τὴν ἡγιασμένην λάρνακα ἀβάκιον, τερπνὸν λίαν ὑπάρχον, τυπτήσαντες εἰς πολλὰς μερίδας συντριβῆναι τοῦτο πεποιήκασιν. Αἰσθόμενοι τοίνυν οἱ μοναχοὶ τὸ γεγονὸς καὶ τούτους τοῦ ναοῦ ἐξεώσαντες, τῇ ἐπαύριον ἕτερον ἐπιθεῖναι βουλόμενοι, ἐπειδὴ ἀποκεκαλυμμένον τὸ ἱερὸν ἐφάνη κιβώριον, παρευθὺ οἱ πάσχοντες τῆς τῶν Δαιμόνων ἠλευθερώθησαν μάστιγος, εἴς τε τὰ οἰκεῖα σωφρονοῦντες ὑποστρέψαντες ὑγιεῖς καὶ ἐρρωμένοι ἕως τέλους τῇ τοῦ Κυρίου δυνάμει καὶ χάριτι διετέλεσαν.

55. Κατέλαβεν δὲ καὶ ἕτερος τὸν σεβάσμιον τοῦτον νεὼν ὑπὸ λεγεῶνος Δαιμόνων ὀχλούμενος, ἁλύσεσι βαρείαις δεδεμένος ὑπὸ τῶν ἀποκομιζόντων αὐτόν, καὶ εἰσελθὼν ἐν τῷ ναῷ, ὡς μόνην τὴν ἡγιασμένην ἑώρακεν τοῦ θεοφόρου τούτου πατρὸς λάρνακα, ἐξέπεσαν αὐτοῦ αἱ ἁλύσεις τῶν χειρῶν· εἰσδραμών τε πρὸς τὴν ὑπεράνω τοῦ τάφου ἀποκρεμαμένην κανδήλαν καὶ ταύτην πεπωκὼς ἐρρωμένος εἰς τὸ ἐξῆς ἐδείκνυτο, τὴν τῶν ἀκαθάρτων Δαιμόνων ἀποβαλόμενος πληθύν.

56. Πρεσβύτερός τις ἐκ τῶν τοῦ Καταβόλου μερῶν ἐκεῖσε ἀφικόμενος παῖδα ὡσεὶ ἐτῶν ἑπτὰ ἤγαγεν βαδίζειν μὴ σθένοντα. Ἐπευξάμενος οὖν καὶ πρὸς τῇ σεβασμίᾳ σορῷ τοῦτον ἀνακλίνας, ἐξελθὼν ἐν τῷ πυλῶνι καὶ καθεσθεὶς διηγεῖτο τοῖς ἀδελφοῖς τὸ συμβάν· μήπω δὲ τῆς διηγήσεως πέρας λαβούσης, ὁ παῖς ἐκ τοῦ ναοῦ ἐξῆλθεν τρέχων καὶ τὸν οἰκεῖον ἐπιζητῶν πατέρα. Ὁ οὖν πατὴρ αὐτοῦ χαρᾶς πλησθεὶς καὶ ἀγαλλιάσεως μεστὸς γενόμενος, εὐχαριστήσας τε τῷ ὁσίῳ καὶ παρὰ τῶν ἐκεῖσε πατέρων ἐφοδιασθείς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

57. Σχολάριος δέ τις ἀκίνητος τὸ παράπαν γενόμενος ὑπὸ

6 ἀπόγρ. *ἀβάρκιον* || κῶδ. *ὑπάρχων*. — 9 κῶδ. *ἐπιθῆναι*. — 18 ἀπόγρ. *εἰσδραμόντες*. — 21 κῶδ. *ἀποβαλλόμενος*. — 24 κῶδ. *σωρῶ*.

τῶν οἰκείων ἐν τῇ μονῇ ἀπεκομίσθη, ὃν καὶ πλησίον τῆς ἁγίας ἀνακλίναντες σοροῦ καὶ ἐκ τῆς ἐκεῖσε ὑφαπτούσης ἀλείψαντες κανδήλης, τῇ τρίτῃ ἡμέρᾳ οἰκείοις ποσὶν βαδίζοντα λαβόντες αὐτὸν πρὸς τὰ οἰκεῖα ὑπέστρεψαν.

58. Καὶ ἕτερος δέ τις πρεσβύτερος ἐν τοῖς τοῦ Καταβόλου οἰκῶν μέρεσιν ἤγαγεν ἐν τῇ αὐτῇ μονῇ τὴν οἰκείαν σύμβιον, ξηρὰν ἔχουσαν τὴν χεῖρα, καὶ πρὸς τῇ τιμίᾳ λάρνακι τοῦ θεοφόρου Εὐστρατίου ταύτην ἀνακλίνας ἐφάνη αὐτῇ ὁ ὅσιος τῆς πασχούσης χειρὸς δραξάμενος καὶ ἀνίστασθαι αὐτὴν προτρεπόμενος· ἡ δὲ σύντρομος γεγονυῖα ἀνέστη ὑγιὴς ὅλη καὶ ἐρρωμένη καὶ ἀπῆλθεν σὺν τῷ οἰκείῳ ἀνδρὶ εὐχαριστοῦσα τῷ Θεῷ.

59. Μονάζουσαι δύο ἐκ τῆς μονῆς τῆς ἐπιλεγομένης Περιστερῶν ἐκ λοιμικῆς νόσου πηρωθεῖσαι τοὺς ὀφθαλμοὺς ἐνταῦθα ἀπεκομίσθησαν, καὶ ἐπαλειψάμεναι τῇ τοῦ ἁγίου χάριτι τρανῶς ὁρῶσαι πρὸς τὸ οἰκεῖον ὑπέστρεψαν μοναστήριον.

60. Ἕτεροι δέ τινες τρεῖς ὑπὸ πνευμάτων πονηρῶν ὀχλούμενοι ἐν τούτῳ τῷ πανσέπτῳ παραγενόμενοι ἰατρείῳ ὑγιεῖς ὑπέστρεψαν εἰς τὰ ἴδια.

61. Καὶ ἄλλος τις τῇ τοῦ χαρτουλαρίου τετιμημένος παρὰ τοῖς βασιλεῦσι διακονίᾳ, πάρετος καὶ ἀκίνητος τὸ παράπαν γενόμενος, ἐνταῦθα ἀποκομισθεὶς καὶ ἐπὶ ἡμέρας πέντε καὶ δέκα τῷ ἐλαίῳ τοῦ ἁγίου ἀλειφόμενος ὑγιὴς καὶ μηδὲν ἔχων ἀνθυπέστρεψεν εἰς τὰ ἴδια.

62. Ποία τοίνυν ἐξισχύσει γλῶσσα διηγήσασθαι βροτεία τὰς τοῦ ἁγίου τούτου θαυματουργίας, ὦ φιλόχριστος ἀκοή; μέχρι γὰρ τοῦ παρόντος πάντες οἱ τοῦτο τὸ σεπτότατον καὶ θερμότατον ἰατρεῖον καταλαμβάνοντες παρευθὺ τῆς συνεχούσης ἐλεύθεροι δεικνύονται ἀρρωστίας, καὶ οὐκ ἔστι ῥᾳδίως ἀνθρώπου καταλαμβάνεσθαι νοῦν τὸ ἀπειροπληθὲς τῶν ξένων αὐτοῦ καὶ πᾶσαν αἴσθησιν ὑπεραιρόντων θαυματουργιῶν· εἰ γάρ τις μικρᾷ κύλικι πᾶσαν

2 κῶδ. *σωροῦ*. — 3 κῶδ. *κανδίλης*. — 13 κῶδ. *λυμικῆς ν. πειρωθεῖσαι*. — 17 κῶδ. *ὑγιὴς*. — 20 πάρετος] κῶδ. *παρετεὶς*. — 22 κῶδ. *ἐλέω*.— 26 κῶδ. *σεπτώτατον κ. θερμώτ*. — 27/28 κῶδ. *δεικνύντες*. — 29 κῶδ. *ἔσθησιν*.—30 ὑπεραιρόντων] οὕτως ἐν τῷ κώδικι.

τὴν τῆς θαλάσσης ἄπειρον φύσιν ἐκμετρῆσαι ἰσχύσειεν, οὗτος ἆρα καὶ τούτων διαγορεύειν τῶν τεραστίων τὸ πλῆθος δυνήσεται. Καὶ ταῦτα μὲν περὶ τῶν τοῦ μεγάλου πατρὸς ξένων καὶ τὴν φύσιν ὄντως ὑπεραιρόντων χαρισμάτων τῶν [ὑπὸ] τοῦ φιλανθρώπου Θεοῦ δωρηθέντων αὐτῷ· ἐγὼ δὲ πρὸς σὲ τὸν ἐμὸν κηδεμόνα καὶ μετὰ Θεὸν προστάτην καὶ ἀντιλήπτορα τὴν ὁρμὴν τοῦ λόγου μεταγαγὼν τοιαῦτα φαίην πρὸς σὲ ἐκ κατωδύνου ψυχῆς καὶ ἐξηπορημένης διανοίας.

63. Ὦ παμμακάριστε πάτερ καὶ οὐρανοπολῖτα Εὐστράτιε, ὡσεὶ καὶ ἀναξίως τὴν περί σου διήγησιν συστήσασθαι παρωρμήθην, ἴλεως γενοῦ τῇ ἐμῇ ἀσθενείᾳ, τὸν σὸν ἐκμιμούμενος φιλάνθρωπον καὶ ἀγαθὸν Κύριον, ὃς καὶ τὰ δύο λεπτὰ τῆς χήρας οὐκ ἀπηξίωσεν, ἀλλ' ὑπερφερέστερα τῶν τοὺς βόας καὶ τὰ πρόβατα ἐν τῷ γαζοφυλακίῳ εἰσκομιζόντων κέκρικεν· καὶ τοῦτον ἀποδεξάμενος τὸν πενέστατον λόγον, ὡς ἐκ πολλῆς καὶ ζεούσης διαθέσεως προσαχθέντα σοι, χάριν οὐρανόθεν καταπεμφθῆναί μοι τὸν σὸν ἐκδυσώπησον Κύριον καὶ τὴν ἐκ τῶν παθῶν ἐπεγειρομένην ἀγριότητα τῇ ἐμῇ ψυχῇ εἰς γαλήνην μετάγαγε καὶ τῆς τῶν σῳζομένων ἐγκαταριθμηθῆναι χορείας διὰ τῶν σῶν εὐπροσδέκτων ἀξίωσον πρεσβειῶν· τῷ τε τὴν ἱεράν σου καὶ τιμίαν μάνδραν διέποντι συναντιλαμβάνεσθαι ἐν πᾶσιν μὴ ἀποκάμοις, θαυμασιώτατε, ὁδηγῶν καὶ ἐπιστηρίζων ἅπαν τὸ ἱερώτατόν σου καὶ θεοσύλλεκτον ποίμνιον, προσδεχόμενος ἅπαντας μετὰ τὴν ἐνθένδε ἀποβίωσιν καὶ ὑπὸ τὰς σὰς ὁσίας ἄγων πτέρυγας, ἵνα καὶ ἐν τούτῳ δοξάζηται ὁ σὲ τοιοῦτον φωστῆρα καὶ ἰατρὸν ἀναδείξας Χριστὸς ὁ Θεὸς ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

2 κῶδ. *τεραστείων*. — 7 κῶδ. *κατοδύνου*. — 10 κῶδ. *παρορμήθην*.— 12 Μάρκ. ιβ', 42-44. — 14 κῶδ. *τούτων*. — 19 κῶδ. *χωρείας*.

XX.

ΠΑΛΑΙΑΙ ΜΕΤΑΦΡΑΣΕΙΣ

ἐνίων ἀραβικῶν τε καὶ τουρκικῶν ἐγγράφων περὶ τῶν Ἁγίων Τόπων.

(Cod. Patriarch. 428).

1.

Διαθήκη τοῦ Μωάμεθ, ὁποῦ ἔδωσε διὰ τοὺς μοναχοὺς καὶ ἁπλῶς περὶ πάντων τῶν χριστιανῶν.

Τὸ παρὸν γράμμα, ἐπειδὴ ὁ Θεός ἐστι μέγας καὶ κυβερνήτης, ὕστερον ἀφοῦ ἦλθον πάντες οἱ προφῆται, διὰ νὰ μὴ μείνῃ μαρτυρία ἀδικίας εἰς τὸν Θεὸν διὰ τὰ πρὸς ἀνθρώπους διδόμενα χαρίσματα, ἔγραψεν ὁ Μωάμεθ, ὁ υἱὸς τοῦ Ἀμπτουλὰχ καὶ ἀπόστολος τοῦ Θεοῦ καὶ τῆς θρησκείας του, ὡς στερεὸν καὶ βέβαιον τάξιμον καὶ ὑπόσχεσιν διὰ τὴν φυλὴν τῶν χριστιανῶν καὶ τὴν γενεὰν τῶν Ναζωραίων, ὅπου καὶ ἂν εὑρίσκωνται, σιμὰ ἢ μακράν, εὐγενεῖς ἂν εἶναι ἢ δυσγενεῖς, ἔνδοξοι ἢ καὶ ἀδιόριστοι, λέγων οὕτως· «Ὅποιος ἀπὸ τὸ ἔθνος μου θέλει χαλάσῃ τὴν ὑπόσχεσιν καὶ τὸν ὅρκον ὁποῦ εἶναι εἰς τὴν παροῦσαν συμφωνίαν, φθείρει τὴν ὑπόσχεσιν τοῦ Θεοῦ καὶ ἀρνεῖται τὸν ὅρκον του καὶ ἐναντιεῖται εἰς τὸ πρόσταγμά του, ἀντιστέκεται τῆς πίστεως του (μὴ γένοιτο Θεέ), γίνεται ἄξιος τοῦ ἀναθέματος, ἢ βασιλεὺς ἂν εἶναι ὁ τοιοῦτος, ἢ πτωχός, καὶ ἁπλῶς εἰπεῖν ὅστις καὶ ἂν εἶναι. Λοιπόν, ὁπόταν τινὰς ἀπὸ τοὺς μοναχοὺς περιηγητὰς θέλει κατοικήσει εἰς κανένα ὄρος, ἢ κορυφήν, ἢ σπήλαιον, ἢ χωρίον, ἢ τόπον οἰκούμενον, ἢ περιγιάλι, ἢ ἀμμουδίαν, ἢ μοναστήριον, ἢ

ἐκκλησίαν, ἢ οἶκον εὐκτήριον, ἐγὼ εἶμαι ἐν μέσῳ αὐτῶν προστάτης καὶ φύλαξ αὐτωνῶν καὶ ὅλων τῶν πραγμάτων τους μὲ τὴν ἰδίαν μου ψυχὴν καὶ μὲ τὴν βοήθειαν καὶ προστασίαν καὶ μὲ ὅλον μου τὸ ἔθνος· διότι αὐτοὶ εἶναι μέρος μου καὶ τιμή μου. Ἔτι προστάσσω καὶ ἐμποδίζω τοὺς ἐμίνιδες νὰ μὴ γυρεύουσιν ἀπ' αὐτοὺς χαράτζι ἢ ἄλλα δοσίματα, ὅτι εἰς αὐτοὺς βία καὶ δυναστεία δὲν γίνεται· τοὺς κριτάς τους καὶ ἡγουμένους τους νὰ μὴ τοὺς ἀλλάσσῃ τινάς, ἀλλὰ νὰ μένουν ἀμετάτρεπτοι· τοὺς περιηγητάς τους νὰ μὴ τοὺς ἐμποδίζῃ τινὰς ἀπὸ τὴν περιήγησίν τους· ἀπὸ τὰ ὑπάρχοντα τῶν ἐκκλησιῶν τους κανένα νὰ μὴν ἠμπορῇ νὰ ἐξοδιασθῇ εἰς κτίσιμον μετζιτίου ἢ ἄλλου τινὸς τόπου μουσουλμάνικου. Ὅποιος θέλει κάμῃ κανένα ἀπὸ τοῦτα ὁποῦ ἀπηγόρευσα, ἂς ἠξεύρει βέβαια πῶς ἔλυσε τὸν ὁρισμὸν τοῦ Θεοῦ καὶ ἐναντιώθη τοῦ ἀποστόλου του. Ἔτι νὰ μὴ πληρώνουσι χαράτζι οἱ κριταί τους καὶ ἡγούμενοί τους καὶ μοναχοὶ καὶ δοῦλοί τους, ὅτι ἐγὼ εἶμαι προστάτης αὐτῶν, ὅπου καὶ ἂν εὑρίσκωνται, εἰς τὴν γῆν ἢ εἰς θάλασσαν, εἰς ἀνατολὴν καὶ δύσιν, ἄρκτον καὶ μεσημβρίαν, ἐπειδὴ καὶ αὐτοὶ καὶ πάντα τὰ περὶ αὐτοὺς εἶναι χρέος μου καὶ ὅρκος καὶ παρακαταθήκη μου· καὶ ἀπ' ἐκείνους ὁποῦ ἐν ἡσυχίᾳ ἀσκητεύουσιν εἰς τὰ ὄρη νὰ μὴν πέρνουσι χαράτζι, οὔτε δέκατον εἰς τὰ εἰσοδήματά τους· οὔτε τινὰς Μουσουλμᾶνος νὰ γίνεται σύντροφος μετ' αὐτούς, ἐπειδὴ καὶ αὐτοὶ ἄλλο δὲν ἐργάζονται, μόνον τὰ πρὸς τροφήν. Ὅταν φθάσῃ ἐν εὐθηνίᾳ ὁ καιρὸς τοῦ καρποῦ, νὰ τοὺς δίδουσιν εἰς κάθε ἀρτέπι ἕνα καχί· οὔτε εἰς τὸν καιρὸν τοῦ πολέμου νὰ τοὺς εὐγάζουσι διὰ νὰ εὔγουν εἰς τὸν πόλεμον, οὔτε τότε νὰ τοὺς ζητῶσι χαράτζι. Ἔτι ἀπὸ τοὺς χριστιανοὺς οἱ ἐντόπιοι καὶ πλούσιοι, ὁποῦ μὲ πλοῦτον πραγματεύονται καὶ εἶναι ἄξιοι διὰ χαράτζι, νὰ μὴν πληρώνουσιν ἄλλο παρὰ δώδεκα δραχμάς· ἔξω ἀπὸ τὸ κεφαλοχάρατζον ἄλλο νὰ μὴ τοὺς ζητοῦσι, κατὰ τὸ πρόσταγμα τοῦ Θεοῦ ὁποῦ λέγει: μὴ ἐνοχλεῖτε τοὺς σεβομένους τὰ ἐκ Θεοῦ πεμφθέντα βιβλία, ἀλλὰ κατὰ τὸν ἀγαθώτερον τοῦ ἀγαθωτέρου τρόπον νὰ τοὺς ἀγαθοποιήσητε, καὶ μάλιστα μὲ τούτους νὰ συναναστραφῆτε· καὶ ἐκεί-

νους ὁποῦ τοὺς πειράζουσιν, ὅποιοι καὶ ἂν εἶναι, νὰ τοὺς ἐμποδίζετε. Μία γυναῖκα χριστιανή, ἐὰν ὑπανδρευθῇ μὲ ἕνα Μουσουλμᾶνον, ὁ Μουσουλμᾶνος νὰ κάνῃ τὸ θέλημα τῆς γυναικὸς ἐκείνης καὶ νὰ μὴν τὴν ἐμποδίζῃ ἀπὸ τὴν ἐκκλησίαν καὶ προσευχήν της καὶ ταῖς συνήθειαις τῆς πίστεώς της. Τινὰς νὰ μὴν τοὺς ἐμποδίζῃ εἰς τὸ νὰ ἀνακαινίζουσι τὰς ἐκκλησίας τους. Ὅστις θέλει κάμῃ τι παρὰ ταύτην τὴν ὑπόσχεσιν, ἢ νὰ πιστεύσῃ τὸ ἐναντίον, γίνεται βέβαια ἀποστάτης τοῦ Θεοῦ καὶ τοῦ θεϊκοῦ ἀποστόλου, ὅτι τοῦτο εἶναι μία βοήθεια εἰς αὐτούς, κατὰ τὴν ὑπόσχεσίν τους· καὶ εἰς αὐτοὺς ἀπάνω νὰ μὴν σηκώνῃ τινὰς ἄρματα· μάλιστα οἱ Μουσουλμᾶνοι δι' αὐτοὺς νὰ πολεμοῦσι. Καὶ διὰ τοῦτο προστάσσω οὐδεὶς ἀπὸ τὸ ἔθνος μου νὰ ἀποκοτήσῃ νὰ κάμῃ τὸ ἐναντίον ταύτης τῆς ὑποσχέσεως, ἕως νὰ ἀφανισθῇ ὁ κόσμος».

Μάρτυρες.

Ἀλῆς, υἱὸς τοῦ Ἀμπιταλίπ.	Ἀμπομπέμιρ, υἱὸς τοῦ Ἀμποκααφέ.
Ὦμαρ, υἱὸς τοῦ Χατάπ.	Ὀτμάν, υἱὸς τοῦ Γαφάς.
Ἀμπουντελντάρ, υἱὸς Ἀμπομπέκζ.	Ἀμπτουλάχ, υἱὸς Μεσούτ.
Ἀβάς, υἱὸς τοῦ Ἀμπτεμουζαλίβ.	Φαζέρ, υἱὸς τοῦ Ἀβάς.
Ἀζιβίρ, υἱὸς τοῦ Ἀβάς.	Ταλάπ, υἱὸς τοῦ Ἀπτουλάχ.
Σαήτ, υἱὸς τοῦ Μαάτ.	Σαάτ, υἱὸς τοῦ Ἀβάτ.
Θαβίτ, υἱὸς τοῦ Νεφίς.	Ζεήτ, υἱὸς τοῦ Θαβίτ.
Μπουχανιφέ, υἱὸς τοῦ Ἀβίθ.	Χασμέρ, υἱὸς τοῦ Ἀβίδ.
Χάτιθ, υἱὸς τοῦ Θαβίτ.	Μοναδέμ, υἱὸς τοῦ Καρσῆ.
Ἀμπτουλάχ, υἱὸς τοῦ Ὠμέρ.	Ἀμπτιλαζήμ, υἱὸς τοῦ Χασάν.

Ἀβίζ, υἱὸς τοῦ Μασήν.

Τὸ παρὸν ἔγραψεν ὁ ὁδηγὸς καὶ διάδοχος Ἀλῆς τοῦ Ἀμπιταλίπ, βάλλοντας τὸ χέρι του ὁ προφήτης εἰς τὸ μετζίτι τοῦ προφήτου, ἐν ᾧ εἴη εἰρήνη, τῷ β' χρόνῳ τῆς Φυγῆς, τῇ γ' ἡμέρᾳ τοῦ Μουχαρὲπ μηνός (7 ἰουλ. 623) [1].

2.

Ὁρισμὸς τοῦ Μαυία.

Εἰς δόξαν τοῦ ἐλεήμονος Θεοῦ. Δεδοξασμένος νὰ εἶναι ὁ Θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ποιήσας πτερωτοὺς τοὺς

[1] Ἔπεται μετάφρασις τοῦ ὁρισμοῦ Ὦμερ-Χαττάπ· ὅρα μετάφρασιν ἑτέραν ἐν τῷ III τόμῳ τῶν Ἀναλέκτων, σ. 216—218.

*

Ἀγγέλους καὶ αὐξάνων τὸν κόσμον, ὡς βούλεται· ὁ δὲ Θεὸς ἐν παντὶ πράγματι δυνατός, καὶ ἐὰν ὁ Θεὸς δωρεῖται ἔλεος τοῖς ἀνθρώποις, τίς δύναται κρατῆσαι; καὶ ἐὰν ὁ Θεὸς κρατήσῃ τὸ ἔλεός του, τίς δύναται λαβεῖν ἔλεος; αὐτὸς γάρ ἐστιν ἀρχὴ καὶ τέλος καὶ αὐτὸς ὅσιος καὶ σοφός, καὶ δεῖ ἡμᾶς σφόδρα εὐχαριστεῖν αὐτῷ· αὐτὸς ὁ φωτίσας τὰς καρδίας ἡμῶν τῇ πίστει, ἀποστείλας τὸν προφήτην αὐτοῦ ἔλεος ἐν τῷ κόσμῳ ποιῆσαι· ὁ Θεός· εἰς αὐτὸν εὐχὴν καὶ ἔλεος· δι' αὐτοῦ γὰρ ἐνικήσαμεν τοὺς ἐχθροὺς ἡμῶν. Ὡς ἤλθομεν ἐν Δαμασκῷ τῇ πόλει, ἦλθον πρὸς ἡμᾶς πλῆθος μοναχῶν ἐκ βασιλικῆς φυλῆς, φέροντες ἐν ταῖς χερσὶν αὐτῶν τὴν διαθήκην τοῦ προφήτου καὶ διαθήκας τῶν πιστῶν βασιλέων, τοῦ Ὅμερ-ἤμπν-ελ-Χατάπ, ᾧ τινι εἴη εὐχὴ καὶ εἰρήνη, καὶ τῶν λοιπῶν μαθητῶν, καὶ ὁπόσοι μεταγενέστεροι ἕως τῆς συντελείας τοῦ κόσμου, καὶ ἐπροσκύνησαν γονυκλιτῶς καὶ ἐζήτησαν ὁρισμὸν νὰ φυλάξωσι τὰς ἐκκλησίας τους καὶ τὰ μοναστήριά τους, τὸν Ἅγιον Τάφον καὶ τὰ λοιπὰ προσκυνήματα ἔσωθεν καὶ ἔξωθεν τῆς Ἱερουσαλήμ: τὸ Σπήλαιον τῆς Βηθλεέμ, ὁποῦ ἔχει τρεῖς πόρτας, ὅπου ἐγεννήθη ὁ Χριστός, ἐν ᾧ εἴη εἰρήνη, καὶ ὅσοι χριστιανοὶ ἀπὸ τῶν λοιπῶν φυλῶν, νὰ εἶναι ὑποτασσόμενοι τῷ πατριάρχῃ τῶν Ῥωμαίων καὶ νὰ εἶναι ἅπαντες οἱ μοναχοὶ παντελεύθεροι ἀπὸ παντὸς βάρους καὶ ἵνα μὴ πειράζωνται ὑπό τινος, ὅτι τοὺς ἐλευθέρωσεν ὁ ἀπόστολος τοῦ Θεοῦ καὶ ὕστερα ἀπὸ τὸν ἀπόστολον ὁ Ὅμερ-ἤμπν-ελ-Χατάπ· οὕτω δὴ καὶ παρ' ἡμῶν ἐλεύθεροι ἔστωσαν, καὶ οὗτός μου ὁ ὁρισμὸς ἐδόθη αὐτοῖς διαθήκη καὶ ὅρκος ἕως τῆς συντελείας τοῦ κόσμου. Ὁ Θεὸς ποιησάτω εὐχὴν καὶ ἔλεος ἐπὶ τὸν ἡμέτερον προφήτην καὶ τοὺς ἀποστόλους καὶ πιστούς του, εἰς δόξαν Κυρίου παντὸς τοῦ κόσμου. Ἐλπίζωμεν εἰς παντεπίσκοπον Θεόν. Μηνὸς ὀγδόου Σαμπάν, ἤτοι ἀπριλίου· ἔτος ἀπὸ τῆς Φυγῆς 60 (μαΐῳ 680) [1].

[1] Μετὰ τοῦτον τὸν ὁρισμὸν ὑπάρχει μετάφρασις τοῦ ὁρισμοῦ σουλτὰν Σελήμ, τοῦ ἀπολυθέντος ἔτει 923. Ὅρα Ἀναλ. III, σ. 219—222.

3.

Ἴσον τοῦ χατ-σιεριφίου τοῦ σουλτὰν Μουρὰτ διὰ τὴν ἁγίαν Βηθλεὲμ καὶ τὸν ἅγιον Γολγοθᾶ· λέγεται τὸ ζ-ον.

Ἡ ἰδιόχειρος ἐπιγραφὴ τοῦ βασιλέως· «Κατὰ τὸν τίμιόν μου ὁρισμὸν νὰ κάμετε, καὶ ὅποιος ἄλλος τινὰς κάμει ἀλλέως καὶ νὰ χαλάσῃ, εἰς τὸ σπαθὶ τοῦ Θεοῦ καὶ εἰς τὰ αἰώνια βάσανα νὰ ὀγρατίσῃ καὶ ἀνάθεμά τον».

Τῆς κρίσεως τῶν κρίσεων καὶ κατῆ τῶν κατήδων ὁποῦ πιστεύουν εἰς ἕνα Θεόν, θησαυρὲ τῆς ἀρετῆς καὶ τῆς πίστεως καὶ χοτζέτι ἀληθινὸν ἐπάνω τοῦ κόσμου καὶ τῆς διδασκαλίας τῶν προφητῶν κληρονόμε καὶ ἀποστόλων καὶ ἀπὸ τὸν ὕψιστον Θεὸν φυλαγμένε κατῆ τῆς Ἱερουσαλὴμ ἐφέντη μας, νὰ πληθύνῃ ἡ ἀρετή σου! καὶ ἐμὶρ-οὐμαρὰν τίμιε, στῦλε τετιμημένε τῶν πέριξ, εὐπρεπέστατε καὶ δυνατὲ καὶ φυλαγμένε τῇ βοηθείᾳ τοῦ ὑψίστου Θεοῦ, φλαμπουριάρη τῆς Ἱερουσαλήμ, ἡ φήμη σου εἴη διὰ παντός! Γράφομεν ὁρισμὸν ὑψηλὸν καὶ ἐρχομένου αὐτοῦ νὰ γνωρίσετε τοῦτο, [ὅτι] τὸ ἐν μέσῳ τῆς Ἱερουσαλὴμ λεγόμενον Κ̔ιάμ, ὁποῦ εἶναι γνωρισμένον μέσα εἰς τὴν ἐκκλησίαν, κατὰ μεσημβρίαν, τὴν Ἀποκαθήλωσιν ὁποῦ εἶναι ἀπὸ πρόπαλαι μοῖρα τῶν Ῥωμαίων μὲ τὰ δύο μανουάλια καὶ τὰ κηρία καὶ τὰ κανδήλια, καὶ [τὰς] εἰς αὐτὸν τὸν τόπον τέσσαρας καμάρας ἐπάνω τοῦ Γολγοθᾶ, ἄνω καὶ κάτω, καὶ τὰς ἄνωθεν τῆς δεσποίνης Μαρίας ἑπτὰ καμάρας, ἄνω καὶ κάτω, καὶ τὸ Σπήλαιον ὁποῦ εἶναι εἰς τὴν λεγομένην Βηθλεὲμ καὶ ὁ Χριστὸς ἐγεννήθη, καὶ τὰς δεξιὰ καὶ ἀριστερὰ τῶν δύο θυρῶν κλεῖς ὁποῦ εἶναι μέσα, καὶ τὰ δύο κομμάτια τὸν μπακτζὲ ὁποῦ εἶναι ἑκατέρωθεν τῆς ἐκκλησίας, ὁποῦ εἶναι ἀπὸ πρόπαλαι προσκυνήματα τῶν Ῥωμαίων, κατὰ τὴν πίστιν των, οἱ πατριάρχαι τῶν Ῥωμαίων οὕτω νὰ τὰ κάνωσι ζάπτι. Ἦλθεν ὕστερον ἡ φυλὴ τῶν Φραγκῶν [καὶ] διὰ μέσου ψεύδους καὶ γελάσματος, γενόμενοι ἕνα μὲ τοὺς κριτάς, μὲ δύναμιν τὰ ἐκάμασι ζάπτι [καὶ] διὰ τοῦτο ὁ λαὸς τῶν Ῥωμαίων ἔφυγον μακρὰν καὶ ἠσθένησαν, τῶν ὁποίων ἡ φθορὰ ἦλθεν εἰς τὰ ὦτά μου. Νῦν δὲ πέμψας ἔφερον δύο μοναχοὺς ἐνταῦθα ἐν τῇ Πόλει, ἐνώ-

πιον τοῦ διδασκάλου τῶν διδασκάλων, τοῦ δεσπότου μας Γιαχγιᾶ-
ἀφέντη σιεχ-σιλάμ, καὶ τῶν μεγάλων βεζήριδων καὶ καζασκεριδῶν
μου, καὶ μὲ πολλὴν ὄρεξιν ἐξετάσας ἀκριβῶς εὗρον, ὅτι οἱ εἰρη-
μένοι τόποι ἀπὸ τὸν καιρὸν τοῦ αὐθεντὸς τῶν πιστῶν, τοῦ χα-
ζιρὲτ Ὄμερ, καὶ τὸν καιρὸν τῶν πάλαι βασιλευσάντων τοῦ
ταϊφᾶ τῶν Ῥωμαίων ἦσαν ἐδικοί τους, καὶ εὗρον εἰς τὰς χεῖράς
τους ἰσχυροὺς ὁρισμοὺς καὶ ἐφανερώθη, ὅτι οἱ Φράγκοι παντελῶς
εἰς αὐτὰ δὲν ἔχουσι νὰ κάμουν, ἀλλὰ κατὰ τὰς ἀποφάσεις τῶν
ὁρισμῶν τῶν παλαιῶν βασιλέων ἐγνωρίσαμεν, ὅτι ὁ πατριάρχης
τῶν Ῥωμαίων εἶναι ἄξιος νὰ τὰ ὁρίζῃ· ἀλλὰ μὴν καὶ μπακτζέδες
καὶ ἐλαίας καὶ τὰ λοιπὰ καρποφόρα δένδρη, διὰ τῶν ὁποίων τὸ
δέκατον εἰς τὸ ἰμαρέτιον τοῦ ἐλεήμονος πατρός μου σουλτὰν
Ἀχμὲτ-χὰν πεποιημένον ἐν τῇ φυλαγμένῃ Πόλει νὰ δίδουνται
ἔξοδος κάθε χρόνον γρόσια χίλια καὶ μήτε παραπάνω, μήτε πα-
ρακάτω. Οἱ εἰρημένοι τόποι ἄνωθεν καὶ ἀπὸ παλαιὰ καὶ τὰ λοιπὰ
ὁποῦ κάνωσι χρεία, καὶ τῶν δύο θυρῶν τὰ κλειδία, τοῦ νῦν μο-
ναχοῦ καὶ πατριάρχου τῆς Ἀδελφότητος τῶν Ῥωμαίων καὶ τῶν
μετὰ ταῦτα γενησομένων πατριαρχῶν νὰ εἶναι ἐδικά των ἐγνωρί-
σαμεν καὶ νὰ τοὺς κάμωσι ζάπτι· καὶ ἀπὸ τὸν ταϊφᾶ τῶν Φραγ-
κῶν καὶ τῶν λοιπῶν φυλῶν ὅσοι θέλουσι νὰ κάμωσι προσευχήν,
ἀπὸ τὰς δύο πόρτας ὁποῦ εἴπαμεν μὲ θέλημα τοῦ πατριάρχου
τῶν Ῥωμαίων νὰ προσκυνοῦσι. Τὸ εἰρημένον μοι [διὰ τούτους]
τοὺς τόπους καὶ τὰ εἰρημένα ἅπαντα καὶ τὰς κλεῖς τῶν δύο θυ-
ρῶν ἀπὸ τὰς χεῖράς τους νὰ μὴ τὰ πάρετε, μήτε μετὰ ταῦτα, ἢ
ἀπὸ τὸ μέρος τῶν κριτῶν τοῦ τόπου ἢ ἄλλων ἀνθρώπων χωρὶς
ἄλλο πείραξιν νὰ μὴ ἔχωσιν ἢ ἀνακάτωσι καὶ νὰ μὴ χαλασθῇ
ὁ ὁρισμός μου μετὰ δόλου, [διότι] θέλημα δὲν ἔχω νὰ γένῃ ἀλ-
λέως, καὶ ἀδικία ἂς μὴ φαίνεται. Τούτη λοιπὸν εἶναι ἡ ὑψηλή
μου ἀπόφασις καὶ ὁ ὁρισμός. Ὥρισα, ὅταν φθάσῃ αὐτοῦ τὸ παρόν,
κατὰ τὴν ἀπόφασιν καὶ τὸν ὁρισμόν μου νὰ κάμετε τὸν μέγαν·
τῶν δ' εἰρημένων τόπων καὶ τῶν λοιπῶν κλειδίων τῶν δύο θυρῶν
οἱ πατριάρχαι τῶν Ῥωμαίων νὰ εἶναι ἐξουσιασταὶ καὶ νὰ ὁρίζωσι
καὶ τοὺς μπακτζέδες καὶ ἐλαῖς καὶ ὅλα τὰ καρποφόρα δένδρη,

δι' ὧν τὸ δέκατον ἐγίνη νὰ δίδουνται εἰς τὸ ἰμαρέτιον τοῦ πατρός μου τὸν χρόνον χίλια γρόσια, καὶ μήτε περισσότερα, μήτε ὀλιγώτερα, καὶ νὰ τὰ ὁρίζουν αὐτὰ ὅλα καθὼς καὶ πρόπαλαι, καὶ μηδαμῶς ἀπὸ τὸν ταϊφᾶ καὶ τοὺς καλογήρους τῶν Φραγκῶν καὶ ἀπὸ τἄλλα ἔθνη νὰ εἶναι καμμία πείραξις εἰς αὐτούς. Οὕτω ποιήσατε καὶ νὰ μὴν ἀφίνετε νὰ τοὺς ἀνακατώνουσι· καὶ ἐσεῖς ὁποῦ εἶστε αὐτοῦ μερέα μπεγλερπεΐδες καὶ μπέιδες καὶ κατῆδες καὶ δευτερντάρηδες, ὁποῦ συνάζετε τὸν βασιλικὸν βίον, καὶ ὅποιος ἄλλος ζαπτηντζῆς, διὰ τὰ εἰρημένα μοι χίλια γρόσια εἰς τὸν πατριάρχην τῶν Ῥωμαίων καμμίαν ἀνακάτωσι νὰ μὴ κάνετε, μήτε ἄλλον τινὰ νὰ ἀφίσετε· μόνον αὐτοὶ μοναχοί τους κάθε χρόνον νὰ τὰ φέρνωσιν ἐδῶ εἰς τὸ τζαμί. Καὶ ἀπὸ τοὺς ἀνθρώπους σας καὶ ἀπὸ λόγου σας τινὰς νὰ μὴ ἀνακατώνεται εἰς τοὺς πατριάρχας, μήτε νὰ τοὺς πειράζετε, οὔτε ἕνα ἄσπρον ἢ ἕνα σπυρὶ νὰ πάρετε ἢ ἄλλον νὰ ἀφίσετε [νὰ πάρῃ]. Ἔπειτα, οἱ κριταὶ ὁποῦ εἶστε νὰ κάμετε καθὼς ὁρίζομεν, διότι ἀλλέως νὰ γένῃ δὲν εἶναι παντελῶς ὁρισμός μου, μήτε μὲ ἄλλην τινὰ τέχνην νὰ χαλάσετέ τι τῶν προσταχθέντων μοι. Τοῦτος εἶναι ὁ ὁρισμός μου ὁ τίμιος, καὶ ἂν εὐγάλῃ τινὰς εἰς αὐτὸν μετὰ δόλου τίποτε ἐναντίον, ἢ τὸν σχηματίσῃ ἀλλέως νὰ τὸν ἀλλάξῃ, ἐκείνους τοὺς ὁρισμοὺς ὁποῦ νὰ φέρωσι νὰ μὴ τοὺς πιάσετε· μόνον τὰ χαρτία νὰ πάρετε ἀπὸ τὰς χεῖράς των καὶ νὰ τὰ βουλλώσετε εἰς κεσὲ νὰ μᾶς τὰ στείλετε τῆς βασιλείας μου ἐδῶ· ἀκόμι, ἂν ἔχουν καὶ παλαιὰ χαρτία εἰς χεῖράς των. Οὗτός μου ὁ ὁρισμὸς νὰ εὐθύνῃ καὶ νὰ κάμετε, ὡς ὁρίζομεν, καὶ τὸ τίμιόν μου σημεῖον νὰ πιστεύετε. Μηνὶ ἰουνίῳ, ἐν τῷ σαραγίῳ τοῦ Ταούτ-πασιᾶ, τὸ ,αμγ' (1043 = 1731) ἔτος τῶν Φυγῶν.

4.

Ἴσον χατίου τοῦ σουλτὰν Μουρὰτ διὰ τὸ Ἅγιον Φῶς· λέγεται τὸ η'.

Ἐνδοξότατον καὶ τιμιώτατον ἀγγεῖον τῆς καλωσύνης, μουτεβελῆ τῆς Ἱερουσαλήμ, νὰ πληθύνῃ ἡ τιμή σου!

Ὡσὰν φθάσῃ αὐτοῦ ὁ ὑψηλός μου ὁρισμός, νὰ γινώσκετε

ταῦτα. Ἦλθασιν ἀπὸ τὸ μέρος τοῦ πατριάρχου τῶν Ῥωμαίων ἄνθρωποι καὶ ῥίψαντες ἀρζηχὰλ μᾶς ἀνήγγειλαν, ὅτι ἀφ' οὗ ἤνοιξαν τὴν Ἱερουσαλὴμ οἱ βασιλεῖς ἡμῶν, ἐδῶ εἰς τὸν ἡγιασμένον οἶκον, ὁποῦ εἶναι μέσα εἰς τὸ Κ̲ιάμ, εἶχον συνήθειαν νὰ ἔρχωνται εἰς προσκύνησιν τὸν κάθε χρόνον, εἰς τὸν καιρὸν τῆς Φανερᾶς Φωτίας, ἀπὸ τῶν ἄκρων τῆς γῆς οἱ Ἀρμένιοι καὶ Ἴβηροι καὶ Φράγκοι καὶ Χαμπέσοι καὶ αἱ λοιπαὶ τῶν ἀλλοτρίων φυλαὶ καὶ νὰ κάμνωσι καὶ ὑποταγὴν τῶν πατριαρχῶν τῶν Ῥωμαίων, ⟨καὶ ἡ ῥηθεῖσα ἐκκλησία ἄνω καὶ κάτω καὶ ἡ ὁλόγυρα καὶ ἀντικρὺ τῆς θύρας ὁποῦ διαβάζουν τὸ Εὐαγγέλιον καὶ προσκυνοῦν καὶ κάνουν γύραν κατὰ τὴν τάξιν των καὶ κάθε βράδι θυμιάζουν καὶ ὅπου ἅπτουν τὰ κηρία ἀπὸ τὴν εἰρημένην φωτία⟩, καὶ ἡ ῥηθεῖσα φυλή, ἤγουν ὁ πατριάρχης τῶν Ῥωμαίων καὶ οἱ καλόγεροί του καὶ ὁ ταϊφᾶς του, [συνήθειαν εἶχον] νὰ πηγαίνουν προτήτερα ἀπὸ ὅλους νὰ κάνουν τὴν τάξιν τους· καὶ (=ἀλλ') ὕστερον ἀπὸ τὴν Περσίαν ὁ λεγόμενος Γρηγόριος Ἀρμένης καὶ οἱ μετ' αὐτοῦ ἐκάμασιν ἐναντιότητα εἰς τὴν τάξιν ὁποῦ ἦτον ἀφ' οὗ ἐπάρθη ἡ Ἱερουσαλὴμ καὶ ἀπὸ τοὺς πρόπαλαι βασιλεῖς, καὶ μὲ τὴν δύναμιν τῶν ἀσπρῶν ἐνώθησαν μετὰ τῶν ἐγχωρίων ζαπίτιδων καὶ πέρνοντες μιᾶς λογῆς χοτζέτιον ἐναντίον τῆς παλαιᾶς τάξεως ἐχάλασαν τὴν παλαιὰν συνήθειαν, καὶ μέσα εἰς τὴν εἰρημένην ἐκκλησίαν μὲ τὴν δύναμιν τῶν ἀσπρῶν ἐπάτησαν τὸν δρόμον τῶν Ῥωμαίων· καὶ ἐγνωρίσαμεν πῶς ἔκαμαν ἀδικίας νὰ διαβάζουν αὐτοὶ προτήτερα καὶ δὲν ἄφικαν τὸν πατριάρχην τῶν Ῥωμαίων νὰ ὑπάγῃ ἐμπροσθά· καὶ εὔγαλαν (=ἔδειξαν οὗτοι) τοὺς ἐνδόξους αὐτῶν ὁρισμοὺς εἰς τοὺς ἐνδόξους καζασκέριδες τῆς Δύσεως καὶ Ἀνατολῆς καὶ εἰς τὸν διδάσκαλον τῶν διδασκάλων καὶ ὑπεράνω τῶν ἀρετῶν αὐθεντός μας Ἀμετουλᾶ καὶ τοῦ Νῶε καὶ ἐγίνηκεν μὲ τὴν συντροφίαν τῶν Ἀρμενίων μουραφᾶς καὶ εἴδαμεν ἀμφοτέρων τὰ χαρτία· ἔδειξαν οἱ Ἀρμένιοι χοτζέτια ἀπὸ τὸν καιρὸν ὁ ποῦ ἠνοίχθη ἡ Ἱερουσαλὴμ ἐναντία τῆς τάξεως τῶν Ῥωμαίων· ἐφανερώθη ὅμως, ὅτι μὲ δύναμιν ἀσπρῶν τὰ εὔγαλαν· ἀμὴ τὰ εὑρισκόμενα εἰς χεῖρας τοῦ ταϊφᾶ τῶν Ῥωμαίων θεῖα προστάγ-

ματα εἶναι ἀληθινά· τὰ ὁποῖα ἰδόντες οἱ καζασκέρηδές μου συντόμως εἶπον, ὅτι τὸ δίκαιον εἶναι τῶν Ῥωμαίων ἀπροφασίστως, καὶ τὴν αἰτίαν ἔγραψαν καὶ μοῦ ἔδωκαν μὲ ταλχήση, ὅτι, κατὰ ὁποῦ εἶναι παλαιά, ὁ πατριάρχης τῶν Ῥωμαίων καὶ ὁ ταϊφᾶς του προτήτερα ἀπὸ ὅλαις ταῖς φυλαῖς νὰ σεβαίνουσιν (=εἰς τὸν Ἅγιον Τάφον)—τὸ ὁποῖον τώρα ἔδωκα διὰ γράμματος ἀποφασιστικοῦ καὶ βεβαιωτικοῦ—, καὶ ὁ ταϊφᾶς τῶν Ἀρμενίων καὶ αἱ ἄλλαι πᾶσαι φυλαὶ εἰς τὸν πατριάρχην καὶ εἰς τὴν φυλὴν τῶν Ῥωμαίων νὰ μὴ ἐναντιώνωνται, ἀλλὰ προτήτερα ἀπὸ ὅλους εἰς τὴν ἐκκλησίαν τοῦ Κι̯ὰμ καὶ τῶν λοιπῶν ἄνω καὶ κάτω καὶ εἰς τὸν τόπον τῆς γύρας καὶ εἰς τὰ προσκυνήματα ὁ ταϊφᾶς τῶν Ῥωμαίων καὶ οἱ πατριάρχαι των νὰ κάμνωσι ζιαρέτι καὶ νὰ εὔχωνται ἀπὸ τὰς ἄλλας φυλὰς προτήτερα, κατὰ τὴν τάξιν των. Ἔτζι ἐγίνηκεν ἀπόφασις τοῦ ὑψηλοῦ μου ὁρισμοῦ καὶ ὥρισα, ὅτι κατὰ τὴν ἐξουσίαν μου εἰς τὴν ῥηθεῖσαν τοῦ Κι̯ὰμ ἐκκλησίαν κατὰ τὴν πρόπαλαι ἀπόφασιν νὰ κάνωσι τὴν προσευχήν τους, καθὼς καὶ παλαιά, πρότερον ἀπὸ ὅλους, ἢ εἰς τὴν πόρταν ἐμπροσθὰ ὁποῦ διαβάζουσι τὸ Εὐαγγέλιον, ἢ ἀπάνω, ἢ κάτω καὶ κάθε ἄλλον τόπον, νὰ κάμνουν τὴν τάξιν τους καὶ νὰ θυμιάζουν κατὰ νύκτα πρότερον (=οἱ Ῥωμαῖοι)· καὶ κάθε βράδι τὴν Παρασκευὴν νὰ ἀνάπτουν τὰ κηρία των πρότερον ἀπὸ τοὺς Ἀρμενίους καὶ τὰς ἄλλας φυλάς, Φράγκους, Ἴβηρας, Χαμπέσηδες καὶ Κόπτας, καὶ ὅλοι αὐτοὶ νὰ ἀνάπτουν τὰ κηρία των ἀπὸ τὸν πατριάρχην· καὶ ὅπου θέλει νὰ κάμῃ προσευχὴν (=οὗτος), νὰ μὴ ἀφήσετε παντελῶς νὰ τὸν προπάρῃ καμμία ἄλλη φυλή. Οὕτω γενέσθω, διατὶ μετὰ τὸν ὁρισμόν μου ὁ ταϊφᾶς τῶν Ἀρμενίων καὶ αἱ ἄλλαι φυλαί, ἂν δὲν μετανοήσουν καὶ κάμουν ἄλλον τινὰ ὁρισμόν, ἢ ἄλλο χοτζέτι, καὶ γυρεύουν νὰ προεστεύουν καὶ τὰ φέρουν ἔμπροσθέν σας, νὰ τὰ πάρετε ἀπὸ τὰς χεῖράς των καὶ νὰ στείλετε ἀσφαλῶς ἐδῶ εἰς τὸν θρόνον τῆς βασιλείας, ἐπειδὴ ἐτόλμησαν ἐναντία τῆς βασιλείας μου, καὶ ἐρχόμενα ἐδῶ νὰ δώσω δίκας καὶ τοῦ ταβίου τὴν ἀπόκρισιν εἰς τὸ Ντιβάνι. Νὰ περάσῃ ἡ κρίσις μου, διατὶ κατὰ τὴν ἀπόφασίν μου τοῦ πατριάρχου καὶ τῶν Ῥωμαίων νὰ εἶναι τὰ διωρισμένα, καὶ

τὸν ταϊφᾶν τῶν Ἀρμενίων καὶ τὰς ἄλλας φυλὰς νὰ μὴ ἀφίσετε νὰ ἄρχουν. Ἀπὸ ὅλους, Ἀρμενίους, Ἴβηρας, Χαμπέσηδες, Φράγκους καὶ Κόπτας, ὁ ταϊφᾶς τῶν Ῥωμαίων νὰ προτιμεύῃ, καὶ εἰς τὴν ἐκκλησίαν τοῦ Καμαμὲ καὶ τὰ ἄλλα προσκυνήματα καὶ εἰς τὰς ἐκκλησίας τὰς χρειαζούμενας ἀπὸ ὅλους νὰ εἶναι παράνω, καὶ ἐναντίωσιν τοῦ ὁρισμοῦ μου οὐ βούλομαι γενέσθαι. Τὸν εἰρημένον ταϊφᾶν τῶν Ῥωμαίων καὶ τὸν πατριάρχην, ὅποιος ἐναντιώνεται καὶ κάνει πεῖσμα καὶ μένει ἀμετανόητος, νὰ τὸν φέρετε ἐπὶ κρίσεως, καὶ ἂν κάνῃ χρεία νὰ τοὺς ἔρχεσθε ἀπὸ τὸ δίκαιον. Ὕστερον ἀπὸ τὸ ἀνάγνωσμα τοῦ τόμου (=τούτου) τὸν τίμιον ὁρισμὸν νὰ ἀφίσετε εἰς χεῖράς τους καὶ τὸ τίμιόν μου σημεῖον νὰ πιστεύετε. Μεσοῦντος μηνὸς ὀκτωβρίου τὸ ,αμδ' (1044=1731) ἔτος ἐν Κωνσταντινουπόλει.

5.

Ἴσον χατίου τοῦ σουλτὰν Ἠμπραχήμ· λέγεται τὸ ι'.
Κατῆ καὶ πασιᾶ.

Ἐρχομένου αὐτοῦ τοῦ ὑψηλοῦ μου ὁρισμοῦ νὰ γνωρίσετε, ὅτι ὁ λεγόμενος Καμαμές, μέσα εἰς τὴν Ἱερουσαλὴμ ἐγνωρισμένος, καὶ ἡ κατὰ μεσημβρίαν ἔξω τῆς ἐκκλησίας Ἀποκαθήλωσις (παλαιὰ μοῖρα τῶν Ῥωμαίων) μὲ τὰ δύο σαμουντάνια καὶ τὰ κηρία καὶ τὰ κανδήλια, καὶ αἱ καμάραι ὁποῦ εἶναι εἰς τὸν τόπον τοῦ πατριάρχου ἄνω καὶ κάτω καὶ αἱ τέσσαρες (καμάραι), ἤτοι εἰς τὸν τόπον τοῦ Γολγοθᾶ, καὶ αἱ ἄνω τῆς δεσποίνης Μαρίας καὶ κάτω ἑπτὰ καμάραι καὶ τὸ εἰς τὴν Χριστοῦ Γέννησιν Σπήλαιον καὶ τῶν κατὰ βορρᾶν καὶ κατὰ μεσημβρίαν δύο θυρῶν τὰ κλειδία καὶ τὰ ἔσω ὄντα μανουάλια καὶ κανδήλια καὶ τὰ ἐκατέρωθεν τῆς ἐκκλησίας (Βηθλεὲμ) δύο κομμάτια περιβόλια ἀπὸ τοὺς παλαιοὺς καιροὺς ὄντα τῶν Ῥωμαίων, ὡς καθὼς καὶ οἱ πατριάρχαι των τὰ ἐκάνασι ζάπτι κατὰ τὴν θρησκείαν τους ὡς προσκυνήματά τους· καὶ ὕστερον ὁ ταϊφᾶς τῶν Φραγκῶν γενόμενοι ἕνα μὲ τοὺς κριτὰς τοῦ τόπου μετὰ δόλου τὰ ἔκαμαν αὐτὰ ὅλα ζάπτι καὶ ἐνίκησαν μὲ τὴν δυναστικὴν δύναμιν, καὶ ἠκούσαμεν ὅτι ὁ ταϊφᾶς τῶν Ῥωμαίων ἠσθένησε καὶ ἐγίνασι ξένοι καὶ ἐφέραμεν ἐκατέρωθεν τῶν μερῶν δύο

μοναχούς· εἰ καὶ προλαβὼν ὁ κεκοιμημένος σιὲχ-σιλὰμ Γιαχαγιᾶς ἔμπροσθεν τῶν βεζήριδων καὶ καζασκέριδων ἔκαμε περὶ τούτου σφοδρὰν ἐξέτασιν καὶ ἐγνώρισε τοὺς εἰρημένους τόπους καὶ (ὅτι) τὰ κλειδία τῶν δύο θυρῶν ἦσαν εἰς τὴν ἐξουσίαν τῶν Ῥωμαίων ἀπὸ τὸν καιρὸν τοῦ χαζιρὲτ Ὄμερ καὶ τῶν πάλαι βασιλευσάντων, καὶ εὗρεν εἰς χεῖράς τους ὁρισμοὺς ἰσχυροὺς καὶ (εἰς) τοὺς Φράγκους ἔδειξεν ὅτι παντάπασι δὲν ἔχουσι νὰ κάμουν· καὶ κατ' ἐκείνους τοὺς ὁρισμοὺς ὁποῦ εὗρεν ἔκαμεν ἀπόφασιν νὰ τὰ ἐξουσιάζουν, οἱ τῶν Ῥωμαίων πατριάρχαι φημί, καὶ περιβόλια ἐλαίας καὶ τὰ λοιπὰ καρποφόρα δένδρη (δι' ὧν τὸ δέκατον νὰ δίδωσιν αὐτοὶ οἱ μοναχοὶ τὸν κάθε χρόνον γρόσια χίλια καὶ μήτε πλείονα μήτε ἐλάττονα νὰ δίδουν), καὶ τοὺς εἰρημένους τόπους καὶ τῶν θυρῶν τὰ κλειδία καὶ τὰ λοιπὰ οἱ τῶν Ῥωμαίων μοναχοὶ ὄντες καὶ ἐσόμενοι πατριάρχαι νὰ τὰ ἐξουσιάζουν, καὶ ἀπὸ τῶν Φραγκῶν τὴν συντροφίαν καὶ ἐξ ἄλλων τινῶν φυλῶν ἂν θέλωσι νὰ προσκυνήσουν κατὰ τὴν πίστιν των εἰς τοὺς εἰρημένους τόπους καὶ εἰς τὰς δύο πόρτας μὲ τὸ θέλημα τοῦ πατριάρχου νὰ προσκυνοῦν. Καὶ αὐτοὺς τοὺς εἰρημένους τόπους καὶ τὰ κλειδία τῶν δύο θυρῶν ἀπὸ τὰς χεῖρας τῶν πατριαρχῶν νὰ μὴ τὰ πάρετε· εἶτα μηδὲ τινὰς ἀπὸ τοὺς κριτὰς αὐτοῦ τοῦ βιλαετίου καὶ τοὺς ἀνθρώπους νὰ τοὺς πειράζῃ, μηδὲ νὰ τοὺς ἀνακατώνῃ, καὶ εἰς ταύτην μου τὴν κρίσιν δόλος καὶ ἐναντιότης νὰ μὴ γένῃ, διατὶ ὁ ἀδελφός μου σουλτὰν Μουράτης εἰς τὸν καιρόν του τοὺς ἔδωσεν ὁρισμόν, καὶ τώρα ὁποῦ ἐκάθησα εἰς τὸν θρόνον τῆς βασιλείας ἠθέλησαν νὰ ἀνακαινίσουν τὸν ὁρισμὸν καὶ νὰ γίνεται κατὰ ποῦ λέγει ὁ ἐκείνου ὁρισμός, καὶ ἐχαρίσαμεν τὸ ζήτημα. Ὁρίζω λοιπὸν ταῦτα, ὅτι φθάνοντος αὐτοῦ τοῦ ὁρισμοῦ μου, καθὼς εἴπαμεν πρότερον νὰ κάμετε κατὰ τὸν ὁρισμόν μου, καὶ τοὺς εἰρημένους τόπους καὶ τὰ κλειδία τῶν δύο θυρῶν οἱ πατριάρχαι τῶν Ῥωμαίων νὰ τὰ ἐξουσιάζουν, καὶ τοὺς μπαχτζέδες καὶ ἐλαίας καὶ τὰ καρποφόρα δένδρη (ὧν τὸ δέκατον νὰ δίδωσιν εἰς τὸ Γενὶ-τζαμὶ 1000 γρόσια, καὶ μήτε πλείονα μήτε ἐλάττονα) νὰ τὰ κάμνωσιν αὐτὰ ὅλα ζάπτι, καὶ ἀπὸ τὴν συνοδίαν τῶν Φραγκῶν καὶ ἀπὸ τοὺς Φράρους καὶ ἀπὸ τὰς ἄλλας φυλὰς νὰ μὴ

ἀντιστέκῃ τινὰς καὶ νὰ τοὺς συγχύζῃ νὰ φυλάξετε. Καὶ ἐσεῖς ὁποῦ εἰς αὐτὸ τὸ μέρος εὑρίσκεσθε μπεϊλερμπεΐδες καὶ μπέιδες, κατῆδες καὶ δευτερδάρηδες καὶ μουχασίληδες καὶ ζαπτηντζῆδες, διὰ τὰ εἰρημένα χίλια γρόσια τῶν Ῥωμαίων νὰ μὴ τοὺς πειράζετε, μήτε ἄλλους νὰ ἀφήσετε (νὰ τοὺς πειράζουν)· μόνον αὐτοὶ κατ' ἐνιαυτὸν νὰ ἔρχωνται νὰ τὰ δίδωσι. Χωρὶς ἄλλο ἀπὸ τὸ μέρος σας καὶ ἀπὸ τοὺς ἀνθρώπους σας τοὺς πατριάρχας τῶν Ῥωμαίων καὶ τοὺς ἀνθρώπους των δι' αὐτὴν τὴν ὑπόθεσιν νὰ μὴ τοὺς πειράζετε, μήτε ἕνα ἄσπρον ἢ ἐν σπυρὶ νὰ τοὺς πάρετε, καὶ οἱ μετὰ ταῦτα κριταὶ κατὰ πῶς ὁρίζομεν νὰ κάμουν καὶ δόλον καὶ ἐναντιότητα νὰ μὴ δείξωσι, μήτε μὲ ἄλλον τρόπον ἢ τέχνην νὰ ἀλλάξωσι τοῦτον τὸν ὁρισμόν. Καὶ ἂν τολμήσῃ τινὰς νὰ δράμῃ καὶ νὰ εὐγάλῃ ἄλλον ὁρισμὸν κατὰ τοῦ παρόντος, ἐκεῖνον τὸν ὁρισμὸν ὁποῦ νὰ φέρῃ κατὰ τούτους καὶ ὅσους ἄλλους ἔχει προτήτερα, ὁποῖοι ποτ' ἂν ὦσι, καὶ τὰ χοτζέτιά του ὅλα νὰ τὰ βουλλώσετε εἰς μίαν κεσὲ καὶ νὰ μοῦ τὰ στείλετε. Οὗτός μου ὁ ὁρισμὸς νὰ εὐθύνῃ καὶ νὰ βοηθῆτε καὶ νὰ κάμετε κατὰ ποῦ λέγει· ἔτζι νὰ ἠξεύρετε καὶ τὸ τίμιόν μου σημεῖον νὰ πιστεύετε. Ἐν ἔτει ,ανδ' (1054-1741) τῷ τῆς Φυγῆς ἐν Κωνσταντινουπόλει μεσοῦντος τοῦ ἰουνίου.

6.

Ἴσον χατίου τοῦ νῦν σουλτὰν Μεχμέτ, υἱοῦ Ἠμπραχήμ· λέγεται τὸ ια'. Κατῆ καὶ πασιᾶ.

Φθάνοντος αὐτοῦ τοῦ μεγίστου μου ὁρισμοῦ νὰ γνωρίζετε, ὅτι οἱ Ῥωμαῖοι ὁποῦ εὑρίσκονται μέσα εἰς τὴν Ἱερουσαλὴμ ἔστειλαν εἰς τὸ σέβας μου ἀρζιχάλι, ὅτι δίδουσι τὸ κεσίμι τοῦ βακουφίου τοῦ σουλτὰν Ἀχμὲτ καὶ (προσθέτουσιν ὅτι) "Ἀφ' οὗ ἐπάρθη ἡ Ἱερουσαλὴμ ἀπὸ τοὺς Τούρκους καὶ ἕως τώρα ἔχομεν χοτζέτια καὶ ὁρισμοὺς εἰς χεῖράς μας τίποτα νὰ μὴ δίδωμεν· μάλιστα ἀπὸ τὸν καιρὸν τοῦ χαζιρὲτ Ὄμερ ἔχομεν χάριν ἀπὸ τινὰ ἄλλον ξένον νὰ μὴ πειραζώμεθα. Τώρα ἀπὸ τὸν μπεγλέρμπεϊ τοῦ Σαμίου καὶ ἀπὸ τὸ μέρος τοῦ δευτερδάρη ἀδυνατούντων ἡμῶν ἔρχεται μπουμπασίρης πολλαῖς φοραῖς μὲ δολεμένην κρίσιν φέρων γράμ-

ματα ἐναντία τῶν χαρισμάτων, καὶ εἰς τὴν ἐκκλησίαν τοῦ Καμαμὲ μέσα καὶ ἔξω χωρὶς ἀφορμὴν ἔρχεται ἕνας λίγεος (καὶ λέγει) χωρὶς ἄλλο νὰ μᾶς βοηθήσητε, καὶ πολλὰ περισσὰ πέρνουσι τὰ ἄσπρα μας· καὶ δὲν φθάνει τόσον, ἀλλὰ καὶ παράδες μαξούζικους πέρνουσι-δίδουσι· ἀπὸ τριανταένα δίδει τὸ γρόσι καὶ Σ̣αμλίδικον κουμάσι φέρνει, ὁποῦ ἔχει πέντε γρόσια, καὶ μᾶς τὸ ῥίχνει διὰ τριάντα· καὶ τὸ κοιλὸν τὸ σιτάρι τὸ ἀφεντικόν, ὁποῦ περνᾷ εἰς τὸ παζάρι δέκα μαδία, μᾶς τὸ δυναστεύει διὰ δύο γρόσια καὶ μᾶς τὸ μοιράζει· καὶ κατὰ τὴν συνήθειάν μας ὑπαγαίνοντες εἰς τὸν Ἰορδάνην, ἐπάνω εἰς τὸ νερὸ ὄντας ἀντέτι νὰ δίδωμεν μόνον τρία γρόσια, τώρα τέσσαρα γρόσια καὶ τούλτι πέρνουσι, καὶ ὡσὰν αὐτὰ ἄλλας καὶ πολλὰς ἀδικίας μᾶς πέρνουσι καὶ μᾶς κάνωσι. Καὶ πάλιν εἰς τὸν Καμαμὲ καὶ εἰς ταῖς ἐκκλησίαις μας καὶ εἰς τὸ ντεβαπί μας Ἰβήρων Χαμπεσίων καὶ τὰ βακούφιά των (τὰ ὁποῖα ἀπὸ τοῦ χαζιρὲτ Ὅμερ καὶ τοὺς πάλαι βασιλεύσαντας μὲ τόσους ὁρισμοὺς ὁποῦ ἔχομεν εἰς τὰς χεῖράς μας) ἔχομεν ἐξουσίαν ὅποιος γένῃ πατριάρχης τῶν Ῥωμαίων ἀπὸ τὸ μέρος του νὰ γίνωνται ζάπτι καὶ τινὰς εἰς τὰ βακούφιά των νὰ μὴ ἀνακατώνεται· διὰ τοῦτο μηδὲ ἦτον συνήθεια ὁ Σ̣αμ-μπεϊλερμπεγὶς καὶ δευτερδάρης νὰ στείλουν ἀνθρώπους νὰ ἀνακατώνουνται εἰς τὰ ῥοῦχά μας. Καὶ κατὰ τὴν παλαιὰν συνήθειάν μας ἀπὸ τὴν Φωτίαν ὁποῦ εὐγαίνει (εἶναι συνήθεια) νὰ ἀνάπτωμεν τὰ κηρία μας καὶ νὰ γυρίζωμεν ἀπὸ τοὺς Ἀρμενίους καὶ Φράγκους καὶ ἀπὸ τὰς ἄλλας φυλὰς προτήτερα· καὶ εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ, εἰς τῆς Βηθλεὲμ τὸ Σπήλαιον, καὶ τῶν δύο του θυρῶν τὰ κλειδία κατὰ νότον καὶ βορρᾶν καὶ τὰ σαμουντάνια καὶ κανδήλια καὶ τὰ λοιπά, ὁποῦ εἶναι εἰς τὴν ἐκκλησίαν, καὶ τὰ δύο κομμάτια ὁ μπακτζὲς καὶ τὰ μνήματα νὰ μὴ πειράζουνται ἀπὸ τινά". Εἰς αὐτὰ ἐγύρευσαν τίμιόν μου ὁρισμὸν καὶ ἀποφάσισα νὰ κάμετε κατὰ ποῦ ὁρίζω. Ὥρισα, ὅτι, φθάνοντος αὐτοῦ τοῦ ὁρισμοῦ μου, νὰ γενῆτε εἰς αὐτὸν ἐπιμεληταί, κατὰ τὰ χοτζέτια καὶ ὁρισμοὺς καὶ διαθήκας ὁποῦ ἔχουσι, καὶ στανεὸ τινὰς νὰ μὴ τοὺς πειράζῃ, ὅτι δίκαιον δὲν ἔχει· καὶ ἀπὸ τὸ μέρος τοῦ Σ̣αμίου τοῦ μπεηλέρμπεϊ καὶ τοῦ δευτερδάρη

εἰς αὐτοὺς ἀπάνω, ὡσὰν ὁποῦ εἶναι χωρὶς πταίσιμον καὶ εἶναι καὶ ἀδύνατοι, νὰ μὴ ἔρχωνται ἄνθρωποι διὰ νὰ συνάξουν βίον μὲ ὁρισμοὺς καὶ συνήθειαις δολεμέναις, καὶ (διὰ) τὰ μοναστήρια μέσα καὶ ἔξω καὶ τὰς ἐκκλησίας των χωρὶς πταίσιμον νὰ μὴ τοὺς πειράζουν, καὶ εἰς κάθε σαράντα ἡμέραις νὰ μὴ στέλλωσιν ἀπάνω τους ἀνθρώπους. Καὶ πάλιν ὄχι αὐτὸ μόνον ὁποῦ τοὺς ἀδικοῦσιν, ἀλλὰ καὶ τοὺς 6 παράδες ὁποῦ ἔχουσι ἕνα γρόσι καὶ τοὺς ῥίπτουν εἰς αὐτοὺς (διὰ) τριάντα εἰς τὸ γρόσι νὰ τοὺς σηκώσετε, καὶ τὰ κουμάσια ὁποῦ ἔχουσι πέντε γρόσια νὰ μὴ τοὺς τὰ ῥίχνουσι διὰ τριάντα, καὶ (διὰ) τὸ κοιλὸν τὸ σιτάρι ὁποῦ ἔ[χει δέκα μαδία] νὰ μὴ τοὺς πειράζωσι καὶ τοὺς φορτώνουσιν (αὐτὸ) ἀπὸ δύο γρόσια· (ταῦτα) νὰ τὰ σηκώσετε. Καὶ κατὰ τὴν τάξιν τους ὁποῦ ὑπάγουσιν εἰς τὸ Ζεμζὲμ-σουγιοῦ, ὁποῦ εἶναι ἀρχαία συνήθεια νὰ δίδωνται μόνον γρόσια τρία, νὰ μὴ πέρνουσι τέσσαρα γρόσια καὶ τούλτι ἀδικοῦντες, καὶ τὰς τούτου ὁμοίας ἀδικίας νὰ ἀφήσωσιν· καὶ εἰ οὕτως ἔχει, νὰ τὰ σηκώσετε παντελῶς· καὶ τὸν Καμαμὲ καὶ ὅλων τῶν ἐκκλησιῶν καὶ μοναστηρίων καὶ τῶν τεβαμπίδων τους Ἰβήρων καὶ Χαμπεσίων καὶ τὰ βακούφιά των, ὁποῦ εἶναι δομένα ἀπὸ τὸν καιρὸν τοῦ χάζιρὲτ Ὅμερ καὶ τῶν πάλαι βασιλευσάντων, νὰ τὰ ὁρίζῃ ὁ πατριάρχης τῶν Ῥωμαίων, καὶ παντελῶς εἰς τὰ τούτων βακούφια νὰ μὴ ἀνακατώνεται μηδὲ τινὰς ἀπὸ τὰς ἄλλας φυλάς· καὶ εἰς τὴν πίστιν τους ἀπὸ τὸ μέρος τοῦ Σιὰμ-μπεϊλέρμπεϊ καὶ τοῦ δευτερδάρη νὰ μὴν ἀφίνετε νὰ τοὺς πειράζωσι· καὶ κατὰ τὴν συνήθειάν τους, ὁπόταν ἀνάπτουσι τὰ κηρία των, νὰ γυρίζουν ἀπὸ τὰς ἄλλας φυλὰς ἐμπροσθά, Ἀρμενίους καὶ Φράγκους, κατὰ τὰ παλαιὸν ἔθος· καὶ τοῦ Σπηλαίου εἰς τὴν Βηθλεὲμ τῶν δύο θυρῶν τὰ κλειδία κατὰ νότον καὶ βορρᾶν καὶ τὰ μανουάλια καὶ κανδήλια καὶ τὰ λοιπὰ καὶ οἱ ἄνωθεν ἑκατέρωθεν τῆς ἐκκλησίας μπακτζέδες καὶ τὰ χρειαζόμενα νὰ εἶναι αὐτωνῶν, ὡς καὶ ἐκ τὸ ἔκπαλαι. Οἱ μπεγλερμπεῖδες, βοϊβοδάδες, σουμπασίδες, ζαΐμιδες, τιμὰρ-σπαχίδες, μουταφαρακάδες, τζαούσιδες, σπαχίδες καὶ γενίτζαροι καὶ οἱ ἄλλοι τῆς πύλης μου δοῦλοι καὶ οἱ δυνάσται καὶ ὅσοι ἄλλοι

μηδένας νὰ μὴ τοὺς ἐνοχλῇ· μόνον κατὰ ποῦ ὁρίζομεν νὰ γένῃ, διατὶ πάλιν γενόμενον σικιαχὰτ νὰ μὴ γένῃ ἑτέρου ὁρισμοῦ ἔνδεια. Ἔτζι νὰ ἰξεύρετε, καὶ ὕστερον ἀπὸ τὴν θεώρησιν τοῦ παρόντος νὰ τὸν ἀφίσετε τὸν τίμιόν μου ὁρισμὸν εἰς χεῖράς των καὶ τὸ τίμιόν μου σημεῖον νὰ εὐλαβῆσθε. Ἔτει ,αξδ' (1064=1751) τῷ τῆς Φυγῆς ἐν Κωνσταντινουπόλει, τῇ ι' τοῦ ἰουνίου.

7.

Ἴσον χατίου τοῦ νῦν βασιλέως (λέγεται τὸ ιβ'), τοῦ σουλτὰν δηλαδὴ Μεχημέτ, υἱοῦ σουλτὰν Ἠμπραχήμ.

Τοῦ ὑψηλοῦ μου ὁρισμοῦ ἐρχομένου αὐτοῦσε νὰ γινώσκετε τὸ αἴτιον ὅτι εἶναι τόδε. Ὅσοι εἶναι μέσα εἰς τὴν Ἱερουσαλὴμ μὲ τὸν πατριάρχην τῶν Ῥωμαίων καὶ οἱ λοιποὶ ὁποῦ εἶναι εἰς τοὺς περιφρουρημένους μου τόπους Ῥωμαῖοι, ὁποῦ πληρώνουσι χαράτζι, ἦλθασιν οἱ μοναχοί τους ὑπὸ τοὺς πόδας μου καὶ ἐγγὺς τῆς Ὑψηλῆς μου Πύλης καὶ εἶπαν: Μέσα εἰς τὴν Ἱερουσαλὴμ τὸν φανερὸν Καμαμὲ ἡ ἐκκλησία καὶ τὸ ἔσωθεν τούτου Μουγτεσὲλ καὶ τὰ ἔκπαλαι δύο μανουάλια καὶ τὰ κανδήλια καὶ τὸν τόπον ὁποῦ ὁρίζει ὁ πατριάρχης τοῦ Γολγοθᾶ ἄνω καὶ κάτω καὶ τὰς τέσσαρας καμάρας καὶ ἄνωθεν τῆς δεσποίνης Μαρίας τὰς ἑπτὰ καμάρας ἄνω καὶ κάτω, καὶ τῆς μεγάλης ἐκκλησίας τὸ μέσον μετὰ τῶν μνημάτων καὶ ὅλα τὰ προσκυνήματα καὶ ἔξωθεν ἡ αὐλὴ τοῦ Καμαμὲ καὶ αἱ τρεῖς ἐκκλησίαι καὶ ἡ ἀντικρὺ τοῦ λεγομένου Μαρ-Χάννα καὶ ἡ εἰς τόπον ὁποῦ εὑρίσκεται ὁ πατριάρχης λεγομένη Ἑλένη, καὶ ἡ Μαρ-Θέκλα καὶ Μαρ-Αἰκατερίνη καὶ ὁ Μαρ-Εὐθύμιος καὶ Μαρ-Μιχαὴλ καὶ Μαρ-Γεώργιος καὶ Μαρ-Ἰωάννης μετὰ τοῦ περιβολίου καὶ Μαρ-Βασίλειος καὶ Μαρ-Νικόλαος καὶ Μαρ-Δημήτριος καὶ ὁ ἄλλος Μαρ-Χάννας καὶ ἡ αὐτοῦ ἐκκλησία καὶ τὸ τῶν Ἰβήρων λεγόμενον μοναστήρι Μαρ-Γιακοὺπ καὶ ὁ Μαρ-Γεώργιος αἱ ἐκκλησίαι, καὶ ἔξωθεν τῆς Ἱερουσαλὴμ τὸ μνῆμα τῆς μητρὸς Μαρίας καὶ ὁ Μαρ-Σάββας καὶ ἡ Φυλακὴ τοῦ Χριστοῦ καὶ τὸ Ὀσπήτιον τοῦ Ἄννα καὶ τὰ μνήματα ὁποῦ εἶναι ἔξω καὶ τὸ μοναστήριον τῶν Ἰβήρων, ὁ Σταυρός, καὶ ὁ Μαρ-Συμένος καὶ Μαρ-Ἠλίας καὶ τὸ περι-

βόλιόν του καὶ αἱ ἐλαίαις καὶ τοῦ Μαρ-Σάββα τὸ μοναστήρι, καὶ εἰς τοῦ Πεζαλᾶ ὁ Ἅγιος Γεώργιος καὶ ἡ Γέννησις τοῦ Χριστοῦ, ὁποῦ λέγεται Βηθλεέμ, ἤτις εἶναι καὶ φανερά, τὸ Σπήλαιον καὶ ἡ ἐκκλησία καὶ τὰ δύο κλειδία τῶν δεξιὰ καὶ ἀριστερὰ πυλῶν καὶ τὰ ἑκατέρωθεν τῆς ἐκκλησίας δύο περιβόλια καὶ αἱ ἐλαίαις καὶ τὰ μνήματα καὶ πάντα τὰ κατὰ χώραν μοναστήρια καὶ αἱ ἐκκλησίαι ὁποῦ εἶναι ταπὶ τοῦ πατριάρχου, οἵ τε τῶν Ἰβήρων καὶ Χαμπέσιδων καὶ Συριάνων καὶ Κοπτῶν ταϊφάδες καὶ τὰ προσκυνήματά τους καὶ τὰ βακούφιά των, κατὰ τὸ ποίημα καὶ τὴν προσταγὴν τοῦ χαζιρὲτ Ὅμερ, γραμμένον κ̲ουφί, εἶναι ὅλα τῶν Ῥωμαίων καὶ τῶν πατριαρχῶν τους, καὶ κατὰ τοὺς λοιποὺς ὁρισμοὺς (ὁποῦ εἶχαν εἰς χεῖράς τους) τῶν πάλαι βασιλευσάντων πάππων μας τῶν μεγίστων, σουλτὰν Σελὴμ-χὰν καὶ σουλτὰν Σουλεϊμὰν-χάν. Τὸ εἰρημένον ἡμῖν, ἡ ἐκκλησία τοῦ Καμαμέ, καὶ τὰ ἄνω καὶ κάτωθεν εἰρημένα προσκυνήματα καὶ τῶν Ἰβήρων ὁ ταϊφᾶς καὶ τῶν Χαμπεσίδων καὶ Συριάνων καὶ Κοπτῶν, ὁποῦ εἶναι εἰς τοὺς Ῥωμαίους ὑποκείμενοι, νὰ τὰ ἀφήσετε εἰς χεῖρας τῶν κατὰ καιροὺς πατριαρχῶν τῶν Ῥωμαίων, καὶ οἱ Φράγκοι Ἀρμένιοι καὶ ἄλλαις φυλαῖς νὰ μὴ τοὺς ἀνακατώνουσιν εἰς τὸ παντελές, διατὶ ἐκεῖνο τὸ εὐλογημένον τοῦ χαζιρὲτ Ὅμερ χατ-σ̲ερίφιον, ὁποῦ ἔδωκεν ἁπλῶς καὶ ἐξηγημένως καὶ ὥρισε καὶ ἐθεμελίωσε τῷ τιμίῳ αὐτοῦ ἀχτιναμέ, [οὕτω προστάσσει· ὅπερ] καὶ ὁ ἐλεημένος καὶ ἀναπαυμένος πάππος μου σουλτὰν Ἀχμὲτ-χὰν καὶ δεύτερον ἐβεβαίωσε, διατὶ εἶδε τὸν ἀχτιναμὲ τοῦ Ὅμερ καὶ τὸν ἐβεβαίωσε. Εἰς τούτην τὴν ἀπόφασιν ἀπάνω ὄντες οἱ Ῥωμαῖοι (= τοιούτων οὖν προνομίων κεκτημένων τῶν Ῥωμαίων), πρὸ ὀλίγου καιροῦ τῶν Ἀρμενίων ὁ ταϊφᾶς κάμνοντες ἕνα χοτζέτιον δολεμένον εὔγαλαν ἐπάνω εἰς αὐτὸ ὁρισμὸν καὶ τοὺς τόπους ὁποῦ εἴπαμεν πῶς ἦσαν τῶν Ῥωμαίων τοὺς ἐπερίλαβον. Εἰς τὸν καιρὸν τοῦ συγχωρημένου θείου μου σουλτὰν Μουρὰτ-χὰν ἤλθασιν οἱ Ῥωμαῖοι καὶ ἔδωσαν ἀρζιχάλι καὶ ἐγίνηκαν μουραφὰ μὲ τοὺς Ἀρμενίους ἐπὶ τῆς Τιμίας Κρίσεως, καὶ ἐγροίκησε ὅτι δυνατὰ εἶναι ψεῦσται οἱ Ἀρμένιοι καὶ λακὰ εἰς αὐτὰ παντελῶς δὲν ἔχουσι καὶ φανερὰ

εἶναι τοῦ πατριάρχου τῶν Ῥωμαίων· καὶ βεβαιωθεὶς τὸ ψεῦδος τῶν Ἀρμενίων ἔδωκε τῶν Ῥωμαίων χοτζέτι καὶ ἐπάνω εἰς αὐτὸ χατ-σερίφι καὶ ἰσχυρὰν ἀπόφασιν, καὶ ἐγίνηκεν εἰρήνη· καὶ ἀνεκαίνισαν τὰ σκάνδαλα καὶ τώρα μὲ τὴν δυστροπίαν τους λέγουν, ὅτι οἱ Χαμπέσιδες καὶ τὰ προσκυνήματά των εἶναι εἰς αὐτοὺς γιαμάκιδες, καὶ μετὰ δόλου πάλιν ἔλαβον ὁρισμὸν καὶ τὸν εὔγαλαν ἐνώπιον τοῦ Ὑψηλοῦ μου Κριτηρίου καὶ τῶν βεζήριδων καὶ καζασκέριδων μου, καὶ ἐγίνηκαν πάλιν ἄμφω τὰ μέρη μουραφά· καὶ τῶν δύο μερῶν τὰ χαρτία εἴδαμεν, καὶ οἱ λεγόμενοι τόποι, οἱ Χαμπέσιδες καὶ οἱ Κόπται καὶ τὰ προσκυνήματά τους, εἶναι γιαμάκιδες εἰς τοὺς Ῥωμαίους καὶ ἐβεβαιώθημεν τὸ φανερὸν ψεῦδος καὶ τὴν κακουργίαν τῶν Ἀρμενίων· καὶ κατὰ τοὺς ὑψηλοὺς ὁρισμοὺς καὶ τὰς τιμίας κρίσεις τῶν Ῥωμαίων μοῦ ἔκαμαν ἀναφορὰν οἱ καζασκέριδες καὶ πάντες οἱ κριταί, ὅτι τῶν Χαμπεσίδων τὸν ταΐφᾶν καὶ τὰ προσκυνήματά των καὶ τοὺς τόπους τους ὅλους καὶ τὰ χρειαζόμενα ἅπαντα καὶ τῶν δύο θυρῶν τὰ κλειδία κατὰ τοὺς ἀχτιναμέδες ἀπὸ τῆς ἀρχῆς δὲν ἦλθε ποτὲ νὰ κάμνουν ζάπτι οἱ Ἀρμένιοι, μόνον ἦσαν εἰς τὰς χεῖρας τῶν Ῥωμαίων, καὶ παντελῶς οἱ Ἀρμένιοι καὶ ἀπὸ τὸ μέρος τῶν ἄλλων φυλῶν νὰ μὴ τοὺς ἀνακατώνῃ τινάς, μήτε νὰ στέκετε ἀντικρύ· διὸ καὶ χατ-σερίφι μου μεγαλοπρεπέστατον ἐγίνηκε. Ὥρισα, ὅτι, φθάνοντος αὐτοῦ τοῦ ὁρισμοῦ μου, νὰ κάμετε κατὰ τὴν ἀπόφασίν μου καὶ τὸ χατ-σερίφι μου. Τοὺς εἰρημένους τόπους, ὁποῦ εἶναι εἰς τὴν ἐκκλησίαν τοῦ Καμαμέ, καὶ τοὺς ἄλλους εἰρημένους καὶ μετρουμένους τόπους καὶ τὰς μοῖρας τῶν τόπων ὁποῦ βαστάζουν, καὶ τὰ μοναστήρια καὶ προσκυνήματά των καὶ τοὺς Ἴβηρας καὶ Χαμπέσιδες καὶ Κόπτας καὶ Συριάνους ὅλους μὲ τὰ τεβαμπία των καὶ τὰ χρειαζόμενά των καὶ τὰ βακούφιά τους (νὰ εἶναι τῶν Ῥωμαίων), κατὰ τὸν ἀχτιναμὲ τοῦ χαζιρὲτ Ὄμερ καὶ τῶν πάλαι βασιλευσάντων καὶ πάππων μου καὶ τοῦ ἐν τῷ Παραδείσῳ πατρός μου σουλτὰν Ἠμπραχὴμ-χὰν τὸν ἐξηγητὸν καὶ ἁπλὸν ἀχτιναμὲ καὶ τοὺς θείους μου ὁρισμούς· καὶ τὸν ταΐφᾶν τῶν Χαμπέσιδων καὶ Κοπτῶν οἱ πατριάρχαι τῶν Ῥωμαίων καὶ οἱ Ῥωμαῖοι νὰ τοὺς

ἔχουν ὑποκειμένους καὶ νὰ τὰ ὁρίζωσιν ὅλα, καὶ οἱ Ἀρμένιοι νὰ μὴ ἀνακατώνουνται εἰς αὐτὰ παντελῶς, μηδὲ ἡ φυλή τους. Ἔπειτα οἱ τῆς φυλῆς τῶν Ἀρμενίων ἂν κάμουν ταβᾶ καὶ ἔλθουν νὰ κριθοῦν, νὰ μὴ τοὺς ἀκούητε· μόνον κατὰ τὸ χατχουμαούνι μου καὶ τὸν τίμιόν μου ὁρισμόν, ὁποῦ τώρα ἐγίνηκαν, νὰ κάμετε, μὴ δείχνοντες καμμίαν δολιότητα (οἱ κριταὶ αὐτοῦ καὶ ὁ κατῆς), ἀλλ' ἰσχυρῶς νὰ ὑπακούσητε καὶ νὰ στερεώσετε τὰ ὡρισμένα. Οὕτω νὰ γινώσκετε καὶ τὸ τίμιόν μου σημεῖον νὰ πιστεύετε καὶ νὰ εὐλαβῆσθε. Τὸ ,αξζ' (1067=1656-1657) ἔτος τῆς Φυγῆς, τὸν μῆνα τὸν δεκέμβριον, ἐν Κωνσταντινουπόλει.

8.

Ἴσον τοῦ νέου χατίου τοῦ σουλτὰν Μεχμὲτ διὰ τὸ ἡμέτερον μοάφι.
Κατῆ καὶ πασιᾶ,

Ἐρχομένου αὐτοῦσε τοῦ ὑψηλοτάτου ὁρισμοῦ νὰ γινώσκετε, ὅτι ὁ πατριάρχης καὶ οἱ καλόγηροι ὁποῦ εἶναι μέσα εἰς τὴν Ἱερουσαλὴμ ἔδωκαν ἀρζιχάλι εἰς τὴν Ὑψηλοτάτην μου Πύλην, λέγοντες ὅτι ἀπὸ τὸν εὐτυχισμένον καιρὸν τοῦ ἐνδοξοτάτου ἀποστόλου καὶ τοῦ Ὥμερ-ἤμπην-Χαττὰπ ἐδόθη αὐτοῖς ἔντιμος διαθήκη νὰ εἶναι μοάφιδες, κατὰ τὴν ὁποίαν δέδωκεν αὐτοῖς ὕστερον καὶ ὁ σουλτὰν Σελὴμ-χάνης καὶ ὁ σουλτὰν Σουλεημάνης (ὧν ὁ χοῦς εἴη ἀγαθός) καὶ καθεξῆς οἱ λοιποὶ βασιλεῖς χατ-σερίφια μετὰ ἰσχυρῶν ἐπιγραφῶν, νὰ εἶναι πάντῃ δηλονότι μοάφιδες· καὶ πρὸς τούτοις (λέγουσιν) ὅτι δίδουν κάθε χρόνον εἰς τὸ γιαμὶ τοῦ σουλτὰν Ἀχμὲτ-χὰν γρόσια 1000, ἀσλανία· οἱ ἐξουσιασταὶ ὅμως τῆς Ἱερουσαλὴμ καὶ οἱ κατῆδες ἐρχόμενοι εἰς τὰ Ἱεροσόλυμα, μετὰ τὴν ἐκούσιον τῶν καλογήρων προσκύνησιν καὶ θεληματικὴν δόσιν τῶν τζοχῶν καὶ κουμασίων καὶ τζαχτζηρίων, οἱ ῥηθέντες ἐξουσιασταὶ μὴ ἀρκούμενοι εἰς ἐκεῖνα ζητοῦσι βιαίως βοήθειαν, προφασιζόμενοι ὅτι εἶναι ἐμιρχάτζιδες, λέγοντες "Δότε μας τὰ πεντακόσια γρόσια ὁποῦ ἐδίδετε διὰ τὰ μοναστήρια καὶ κάμετέ μας καὶ φιλίαν, ἢ ἀντὶ τῆς φιλίας δότε μας ἄσπρα, δότε μας γιαμουρλούκια μὲ μαλαγματένια κουμπία καὶ κάθε μῆνα νὰ ἔρχεσθε εἰς ἡμετέραν

52. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλκαδὲ 1232= 1817) περὶ τοῦ τὴν θείαν λειτουργίαν ἐπὶ τοῦ Τάφου τοῦ Χριστοῦ τελεῖν ἀκωλύτως τοὺς Ῥωμαίους καὶ περὶ τῆς καταργήσεως ἑκάστης καινοτομίας τῶν Λατίνων ἐν τῷ θείῳ Κουβουκλίῳ.

53. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλκαδὲ 1252=1838), παρέχον τοῖς Ῥωμαίοις ἄδειαν ἐπισκευῆς τοῦ ναοῦ τῆς Ἀναστάσεως καὶ πᾶσαν κατ' αὐτῆς ἔνστασιν τῶν Ἀρμενίων παρακωλῦον.

54. Ἕτερον τοῦ σουλτάνου Μετζὶτ α' (μεσ. Σεβὰλ 1256 = 1840), παρέχον τοῖς Ῥωμαίοις ἄδειαν ἐπισκευῆς τοῦ Καμαμὲ καὶ τοῦ μεγάλου τρούλλου.

---

55. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν α' (μεσ. Τζεμάζιλ-ἐββὲλ 958 = 1551), παρέχον ἄδειαν τοῖς Ῥωμαίοις ἐπισκευάσαι τὸ ἐν τῇ πόλει Βηθλεὲμ αὐτῶν μοναστήριον.

56. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ δ' (ἀρχ. Ῥαμαζὰν 1041 = 1632) περὶ τοῦ ὅτι ἡ θύρα τοῦ Σπηλαίου τῆς Γεννήσεως ἐν Βηθλεὲμ καὶ οἱ τῆς ἐκκλησίας αὐτῆς ὄπισθεν κῆποι κτήματα τῶν Ῥωμαίων ἐστίν.

57. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Ῥαμαζὰν 1041 = 1632) περὶ τοῦ ἔχειν τοὺς Ῥωμαίους τὰς κλεῖς τοῦ ἐν Βηθλεὲμ Σπηλαίου τῆς Γεννήσεως.

58. Ἕτερον τοῦ σουλτάνου Ἰπραΐμ (μεσ. Τζεμάζιλ-ἐββὲλ 1055=1645) περὶ τοῦ κοιμητηρίου τοῦ ἐν Βηθλεὲμ μοναστηρίου τῶν Ῥωμαίων.

59. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (ἀρχ. Τζεμάζιλ-ἐββὲλ 1055= 1645), ὁρίζον τὸν ἀριθμὸν τῶν ἐν τῷ Σπηλαίῳ σαμδανίων καὶ κανδηλῶν τῶν Ῥωμαίων.

60. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (τελ. Σεβὰλ 1083 = 1673), παραχωροῦν ἄδειαν τοῖς Ῥωμαίοις ἐπισκευάσαι τὴν ἐν Βηθλεὲμ βασιλικὴν ἐκκλησίαν.

61. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1086 = 1675), δι' οὗ τοῖς Μουσουλμάνοις ἀπαγορεύεται ἡ εἰς τὴν ἐν Βηθλεὲμ βασιλικὴν ἐκκλησίαν εἴσοδος.

62. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (20 Σεβὰλ 1087 = 1677), περὶ τοῦ δικαίῳ τρόπῳ εἰσπράττεσθαι τὸ χαράτζιον τῶν ἐν Βηθλεὲμ ὀρθοδόξων χριστιανῶν. Τρία ἀντίγραφα.

63. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ β' (ἀρχ. Τζεμάζιλ-ἀχχὶρ 1101 = 1690), παραχωροῦν ἄδειαν τοῖς Ῥωμαίοις ἐπισκευάσαι τὴν ἐν Βηθλεὲμ βασιλικὴν ἐκκλησίαν.

64. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ δ' (μεσ. Σεβὰλ 1043 =

1634) περὶ τοῦ εἶναι τὰς κλεῖς τοῦ ἐν Βηθλεὲμ Σπηλαίου τῆς Γεννήσεως παρὰ τοῖς Ῥωμαίοις καὶ περὶ τοῦ μακτοὺ τῆς δεκάτης. Δύο ἀντίγραφα.

65. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Τζεμάζιλ-ἐββὲλ 1047 =1637), καθορίζον τὰς ἐν Βηθλεὲμ καὶ τὰς ἐν τοῖς λοιποῖς προσκυνήμασι προνομίας τῶν Ῥωμαίων.

66. Ἕτερον τοῦ σουλτάνου Ἰπραΐμ (μεσ. Σεβὰλ 1054=1644), διατάσσον τὴν παραλαβὴν τῶν κλειδῶν τοῦ ἐν Βηθλεὲμ Σπηλαίου τῆς Γεννήσεως ἐκ τῶν χειρῶν τῶν Φραγκισκανῶν καὶ τὴν ἀπόδοσιν αὐτῶν εἰς τοὺς Ῥωμαίους· ὁρίζει δὲ καὶ τὸ μακτοὺ τῆς δεκάτης. Δύο ἀντίγραφα.

67. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ β' (ἀρχ. Σαπὰν 1224= 1809) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους προτέρους τῶν Ἀρμενίων ἐν ἅπασι τοῖς προσκυνήμασι, τελουμένων ἐν αὐτοῖς ἑορτῶν, καὶ περὶ τοῦ λειτουργεῖν τοὺς Ἀρμενίους ἐν τῷ βορείῳ μέρει τοῦ ναοῦ τῆς Βηθλεὲμ δὶς τοῦ ἔτους ἀδείᾳ καὶ μόνῃ τῶν Ῥωμαίων.

---

68. Χατισερίφιον τοῦ σουλτάνου Μουρὰτ δ' (μεσ. Τζεμάζιλ-ἐββὲλ 1047=1637), καθορίζον τὰς ἐν ἅπασι τοῖς προσκυνήμασι προνομίας τῶν Ῥωμαίων καὶ διατάσσον τὴν εἰς αὐτοὺς ἀπόδοσιν τῶν κλειδῶν τοῦ ἐν Βηθλεὲμ Ἁγίου Σπηλαίου. Τρία ἀντίγραφα.

69. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (ἀρχ. Ζιλχιτζὲ 1088 =1678), διατάσσον τὴν ἀπόδοσιν τοῦ Καμαμὲ καὶ τοῦ ναοῦ τῆς Βηθλεὲμ εἰς τοὺς Ῥωμαίους· κατεῖχον δὲ τότε τὰ προσκυνήματα ταῦτα παρανόμως οἱ Φραγκισκανοί.

70. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (ἀρχομ. Τζεμάζιλ-ἀχχὶρ 1099=1688), ἐπικυροῦν τὰ προηγηθέντα χατισερίφια περὶ τῶν ἐν τοῖς προσκυνήμασι προνομιῶν τῶν Ῥωμαίων. Τέσσαρα ἀντίγραφα.

71. Ἕτερον τοῦ σουλτάνου Ὀσμὰν γ' (τελ. Ζιλκαδὲ 1170= 1757), ἐντελλόμενον τὴν κατάπαυσιν τῶν περὶ τοῦ ναοῦ τῆς Ἀναστάσεως ἐρίδων τῶν Ἀρμενίων πρὸς τοὺς Ῥωμαίους, καθορίζον τὰ ἐν τοῖς προσκυνήμασι δικαιώματα τῶν Ῥωμαίων καὶ διατάσσον

τὴν εἰς τοὺς Ῥωμαίους ἀπόδοσιν τοῦ ναοῦ τῆς Βηθλεέμ, ὃν οἱ Φραγκισκανοὶ παρανόμως κατεῖχον. Τρία ἀντίγραφα.

72. Ἕτερον τοῦ σουλτάνου Μουσταφᾶ γ' (τελ. Ῥεπιοὺλ-ἐββὲλ 1171=1757), ἐπικυροῦν τὸ χατισερίφιον τοῦ σουλτάνου Ὀσμὰν γ'. Δύο ἀντίγραφα.

73. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλχιτζὲ 1171 = 1758) περὶ τοῦ ὅτι οἱ Ἀρμένιοι ὀφείλουσιν ὑποταγῆναι ταῖς διατάξεσι τοῦ προτέρου χατισεριφίου.

74. Ἕτερον τοῦ σουλτάνου Χαμὶτ α' (τελ. Ῥαμαζὰν 1188= 1774), ἀνανεοῦν τὸ χατισερίφιον τοῦ σουλτάνου Ὀσμὰν γ'. Δύο ἀντίγραφα.

75. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ῥετζὲπ 1199=1785), ἐπικυροῦν τὸ τοῦ σουλτάνου Χαμὶτ α' καὶ προστιθέμενον, ὅτι τὸ ὀπίσω τῆς σιδηρᾶς θύρας τοῦ ἐν Βηθλεὲμ ναοῦ ὑπάρχον δωμάτιον κτῆμα τῶν Ῥωμαίων ἐστίν.

76. Ἕτερον τοῦ σουλτάνου Σελὶμ γ' (τελ. Ζιλκαδὲ 1206= 1791), ἐπικυροῦν τὸ χατισερίφιον τοῦ σουλτάνου Ὀσμὰν γ'. Δύο ἀντίγραφα.

77. Ἕτερον τοῦ σουλτάνου Μουσταφᾶ δ' (τελ. Σεβὰλ 1222= 1807), ἐπικυροῦν ὡσαύτως τὸ αὐτὸ χατισερίφιον.

78. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ β' (τελ. Ῥετζὲπ 1222= 1807), ἐπικυροῦν τὸ αὐτὸ χατισερίφιον καὶ διαλαμβάνον σὺν ἄλλοις καὶ περὶ τῶν Σύρων καὶ τῶν Ἀβησινῶν.

79. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (τελ. Ῥεπιοὺλ-ἐββὲλ 1067=1656) περὶ τοῦ μὴ ἐπεμβαίνειν τοὺς Ἀρμενίους εἰς τὰ δικαιώματα τῶν Ῥωμαίων ἐν τοῖς προσκυνήμασι καὶ περὶ τοῦ ὅτι οἱ Σύροι, οἱ Κόπται καὶ οἱ Ἀβησινοὶ γιαμάκιά ἐστι τῶν Ῥωμαίων. Πέντε ἀντίγραφα.

80. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ α' (μεσ. Τζεμάζιλ-ἀχχὶρ 1146=1733) περὶ τοῦ μὴ ἐπεμβαίνειν τοὺς Ἀρμενίους εἰς τὰ ἐν τοῖς προσκυνήμασι δικαιώματα τῶν Ῥωμαίων, καὶ περὶ τοῦ ὅτι οἱ Γεωργιανοί, οἱ Ἀβησινοί, οἱ Κόπται, οἱ Σύροι καὶ οἱ Σέρβοι γιαμάκιά ἐστι των Ῥωμαίων. Δύο ἀντίγραφα.

81. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλκαδὲ 1152=1740), καθορίζον τὰ ἐν τοῖς προσκυνήμασι τοῦ ναοῦ τῆς Βηθλεὲμ δίκαια τῶν Ῥωμαίων καὶ προστιθέμενον ὅτι οἱ Σύροι καὶ οἱ Ἀβησινοὶ γραμάκιά ἐστι των Ῥωμαίων. Τρία ἀντίγραφα.

82. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ β' (τελ. Ῥετζὲπ 1223= 1808), καθορίζον τὰ ἐν τοῖς προσκυνήμασι καὶ ἰδίᾳ τὰ ἐν τῇ Γεθσημανῇ δίκαια τῶν Ῥωμαίων.

---

83. Φιρμάνιον τοῦ σουλτάνου Ἀχμὲτ α' (ἀρχ. Σαπὰν 1023= 1614) κατὰ Μουχάμετ Ἀλεμῆ, ζητοῦντος ἐν τῷ προσκυνήματι τῆς Ἀναλήψεως ἐπισκευάζειν ὃ μέρος ἴδιόν ἐστι τῶν Ῥωμαίων.

84. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ β' (τελ. Ῥεπιοὺλ-ἐββὲλ 1235 = 1820) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους ἀνενοχλήτους ἐκ τῶν Φραγκισκανῶν ἐν τῇ ἐκκλησίᾳ τῶν Ποιμένων.

85. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ δ' (μεσ. Σεβὰλ 1048 = 1639) κατὰ τῶν διοικητῶν καὶ τῶν Μουσουλμάνων τῶν ζητούντων ποιεῖν ἐρεύνας ἐν ταῖς ἐν Παλαιστίνῃ ἐκκλησίαις τῶν Ῥωμαίων, τῶν Ἀρμενίων καὶ τῶν Λατίνων.

86. Ἕτερον τοῦ σουλτάνου Ἰπραΐμ (14 Ζιλχιτζὲ 1052= 1643) περὶ τοῦ φόρου "βεργκὶ" τῶν ἐν Ἱερουσαλὴμ χριστιανικῶν ἐθνῶν· ἕκαστον αὐτοῦ τρίτον διδότω τῷ ταμείῳ τὸ μοναστήριον τῶν Ἁγιοταφιτῶν, τὸ μοναστήριον τῶν Ἀρμενίων καὶ τὸ τῶν Φραγκισκανῶν.

87. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (15 Τζεμάζιλ-ἐββὲλ 1055 1645) περὶ τῆς αὐτῆς ὑποθέσεως.

88. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (ἀρχ. Τζεμάζιλ-ἀχχὶρ 1067=1657) περὶ τοῦ μὴ παραπέμπειν τινὰ εἰς Δαμασκὸν τὰς ἐναντίον τῶν ἐν Ἱερουσαλὴμ μοναστηρίων τῶν τριῶν ἐθνῶν ἀγωγάς.

89. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (ἀρχ. Τζεμάζιλ-ἐββὲλ 1071 = 1661) κατὰ τῶν διοικητῶν τῶν πιεζόντων τοὺς ἐν Ἱερουσαλὴμ Ῥωμαίους, Λατίνους καὶ Ἀρμενίους.

90. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (ἀρχ. Τζεμάζιλ-ἀχχὶρ 1076 = 1665) περὶ τοῦ μὴ γίνεσθαι παρὰ τῶν Μουσουλμάνων ἐρεύνας

ἐν ταῖς ἐκκλησίαις τῶν Ῥωμαίων, τῶν Λατίνων καὶ τῶν Ἀρμενίων.

91. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Ῥετζὲπ 1081=1670), κωλῦον τοὺς διοικητὰς ἀπαιτεῖν ἀναθεώρησιν ἢ ἐπικύρωσιν τῶν παρὰ τοῖς Ῥωμαίοις Ἀρμενίοις καὶ Λατίνοις τῆς Ἱερουσαλὴμ εὑρισκομένων χοτζετίων.

92. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (μεσ. Τζεμάζιλ-ἐββὲλ 1122=1710) περὶ τοῦ μὴ ἐπεμβαίνειν τοὺς Μουσουλμάνους εἰς τὰς ὑποθέσεις τῶν ἐν Ἱερουσαλὴμ μοναστηρίων τῶν Ῥωμαίων, Ἀρμενίων καὶ Λατίνων.

93. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Τζεμάζιλ-ἀχχὶρ 1122 =1710) περὶ τοῦ μὴ κινεῖν τοὺς διοικητὰς ἀγωγὰς ἐναντίον τῶν παρὰ τοῖς Ῥωμαίοις, Ἀρμενίοις καὶ Λατίνοις, εὑρισκομένων παλαιῶν χοτζετίων.

94. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1124=1712) περὶ τοῦ μὴ ἀπαιτεῖν τοὺς Μουσουλμάνους κηρὸν ἀπὸ τῶν μοναστηρίων τῶν ἐν Ἱερουσαλὴμ τριῶν χριστιανικῶν ἐθνῶν.

95. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Μουχαρὲμ 1134 = 1721) διὰ τὰ ἀδικούμενα ἐν Ἱεροσολύμοις μοναστήρια τῶν Ῥωμαίων, τῶν Ἀρμενίων καὶ τῶν Φραγκισκανῶν, ὑπὸ τοῦ δολίου μουσουλμάνου δυνάστου Χαλὶλ-ἴπνι-Νάσιρ.

96. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Τζεμάζιλ-ἐββὲλ 1138 = 1726) ὑπὲρ τῶν ἀδικουμένων καὶ ἀργυρολογουμένων ἐν Ἱεροσολύμοις Ἁγιοταφιτῶν καὶ Ἀρμενίων μοναχῶν.

97. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ α' (3 Ῥετζὲπ 1147= 1734) περὶ τοῦ εἶναι μετὰ πεντεκαίδεκα ἔτη πᾶσαν κτηματικὴν τῶν ἐν Ἱεροσολύμοις τριῶν χριστιανικῶν ἀρχῶν, Ἑλληνικῆς, Ἀρμενικῆς καὶ Λατινικῆς, ὑπόθεσιν ὅλως ἀνεπιθεώρητον, ὡς ἤδη χοτζετίῳ τοῦ κριτηρίου κεκανονισμένην. Δύο ἀντίγραφα.

98. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σεφὲρ 1158=1745), παρέχον ἄδειαν τοῖς Φραγκισκανοῖς ἐπισκευάσαι ἐκκλησίαν τινὰ τοῦ ἁγίου Γεωργίου· τὸ αὐτὸ φιρμάνιον ἐπιτάττει τοῖς Μουσουλμάνοις οὐ ποιεῖν ἐρεύνας, ἕνεκα χρηματισμοῦ, ἐν ταῖς χριστιανικαῖς ἐκκλησίαις,

οὐδ' ἐπεμβαίνειν εἰς τὰς ὑποθέσεις τῶν μοναστηρίων τῶν ἐν Ἱεροσολύμοις χριστιανικῶν ἐθνῶν.

99. Ἕτερον τοῦ σουλτάνου Σελὶμ γ' (μεσ. Ῥεπιοὺλ-ἀχχὶρ 1213 = 1798) κατὰ τῶν ἐνοχλούντων καὶ καταδιωκόντων τοὺς ἐν Ἱερουσαλὴμ Ῥωμαίους καὶ Ἀρμενίους.

100. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν α' (μεσ. Τζεμάζιλ-ἀχχὶρ 931=1525) περὶ τῶν βακουφίων καὶ τῶν προνομιῶν τῶν ἐν Ἱεροσολύμοις Ἰβήρων. Τρία ἀντίγραφα.

101. Ἕτερον τοῦ σουλτάνου Ὀσμὰν β' (2 Τζεμάζιλ-ἐββὲλ 1031=1622), παρέχον τοῖς Ἁγιοταφίταις ἄδειαν ἐπισκευῆς τῶν ἐν Ἱεροσολύμοις οἰκιῶν αὐτῶν. Δύο ἀντίγραφα.

102. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ δ' (22 Ῥετζὲπ 1044= 1635) περὶ τῶν βακουφίων καὶ τῶν προνομιῶν τῶν ἐν Ἱεροσολύμοις Ἰβήρων.

103. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (ἀρχ. Ῥεπιοὺλ-ἐββὲλ 1099=1688) περὶ τοῦ ὅτι ἡ κώμη Καακούλ ἐστι βακούφιον τῆς μονῆς τοῦ Σταυροῦ. Δύο ἀντίγραφα.

104. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ β' (ἀρχ. Σεβὰλ 1105= 1694) περὶ τοῦ ὅτι τὰ βακούφια τῶν ἐν Ἱεροσολύμοις Ἀβησινῶν ἴδιά ἐστι τῶν Ῥωμαίων Ἁγιοταφιτῶν καὶ περὶ τοῦ εἶναι τούτους ἀνενοχλήτους διὰ τὰ βακούφια ταῦτα.

105. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (μεσ. Μουχαρὲμ 1129 =1717), παρέχον τοῖς Ῥωμαίοις ἄδειαν ἐπισκευῆς τῶν ἐν Ἱεροσολύμοις βακουφικῶν αὐτῶν οἰκιῶν.

106. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Σεβὰλ 1131=1719) πρὸς τοὺς ἐν Γενι-σεχὲρ διοικητάς, περὶ τῶν ἐκεῖ βακουφίων τῶν Ἁγιοταφιτῶν.

107. Ἕτερον τοῦ σουλτάνου Σελὶμ γ' (28 Τζεμάζιλ-ἀχχὶρ 1207=1793) περὶ τοῦ ὅτι κληρονόμος τῶν ἐν Ἱερουσαλὴμ ἀποθνησκόντων ὀρθοδόξων προσκυνητῶν ἐστι τὸ μοναστήριον τῶν Ἁγιοταφιτῶν.

108. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (28 Ζιλχιτζὲ 1211 = 1797) περὶ τῆς αὐτῆς ὑποθέσεως. Δύο ἀντίγραφα.

109. Ἕτερον τοῦ σουλτάνου Ἀζὶζ (8 Τζεμάζιλ-ἀχχὶρ 1289 = 1872) περὶ τοῦ ὅτι τῶν πραγμάτων τοῦ θανόντος ἀρχιμανδρίτου Καισαρίου κληρονόμος ἐστὶ τὸ μοναστήριον τῶν Ἁγιοταφιτῶν.

110. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (τελ. Μουχαρὲμ 1083= 1672) περὶ τοῦ ἀνενοχλήτους εἶναι τοὺς περιοδεύοντας Ἁγιοταφίτας.

111. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (24 Ζιλκαδὲ 1091=1680) περὶ τοῦ ἀνενόχλητον εἶναι τὸν ὀρθόδοξον πατριάρχην Ἱεροσολύμων περιοδεύοντα μετὰ τῶν σὺν αὐτῷ μοναχῶν.

112. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (29 Τζεμάζιλ-ἀχχὶρ 1099=1688), παρέχον ἄδειαν τῷ Ῥωμαίῳ πατριάρχῃ Ἱεροσολύμων εἰσπράξαι τὰ ἑαυτοῦ μοναστηριακὰ δικαιώματα ἐκ τῶν ἐν Παλαιστίνῃ ὀρθοδόξων χριστιανῶν.

113. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ β' (12 Τζεμάζιλ-ἐββὲλ 1103 = 1692), παρέχον ἄδειαν τῷ Ῥωμαίῳ πατριάρχῃ τῶν Ἱεροσολύμων τιμωρεῖν, ὡς βούλεται, τοὺς ἀπειθοῦντας αὐτῷ μοναχούς.

114. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (28 Ζιλκαδὲ 1118= 1907) περὶ τῶν προνομιῶν τοῦ ὀρθοδόξου Πατριαρχείου τῶν Ἱεροσολύμων.

115. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σεβὰλ 1132=1720), παρέχον ἄδειαν τῷ πατριάρχῃ Χρυσάνθῳ τιμωρεῖν, ὡς βούλεται, τοὺς ἀπειθοῦντας αὐτῷ ἀρχιερεῖς, ἱερεῖς καὶ ἡγουμένους.

116. Ἕτερον τοῦ σουλτάνου Μουσταφᾶ γ' (μεσ. Σαπὰν 1172= 1759) περὶ τοῦ μὴ ἐπεμβαίνειν τοὺς ἐν Ἱερουσαλὴμ Φραγκισκανοὺς εἰς τὰς ἐπιβαλλομένας τοῖς Ἁγιοταφίταις ὑπὸ τοῦ Ῥωμαίου πατριάρχου τῶν Ἱεροσολύμων ποινὰς καὶ εἰς τὴν καθαίρεσιν τοῦ κατέχοντος ἐπιτροπικῶς τὴν αὐτοῦ θέσιν ἐν Ἱερουσαλήμ.

117. Χάττι-σερίφιον τοῦ σουλτάνου Μετζὶτ α' (τελ. Σαπὰν 1269 = 1853) πρὸς τὸν ἐν Κωνσταντινουπόλει οἰκουμενικὸν πατριάρχην Γερμανὸν δ', ἐπικυροῦν τὰς ἐν τῷ Τουρκικῷ Κράτει προνομίας τοῦ Ῥωμαϊκοῦ ἔθνους. Τρία ἔντυπα ἀπόγραφα.

118. Φιρμάνιον τοῦ σουλτάνου Ἀχμὲτ α' (τελ. Ζιλκαδὲ 1020 = 1612) κατὰ τῶν εἰσερχομένων Μουσουλμάνων εἰς τὰς ἐκκλη-

σίας καὶ τὰ μοναστήρια τῶν ἐν Ἱερουσαλὴμ Ἁγιοταφιτῶν ἐπὶ προφάσει τῆς ἐρεύνης ὅπλων.

119. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ δ' (μεσ. Σαπὰν 1041=1632) κατὰ τῶν Λατίνων τῶν προσηλυτιζόντων τοὺς ὀρθοδόξους χριστιανούς.

120. Ἕτερον τοῦ σουλτάνου Ἰπραΐμ (22 Σαπὰν 1057=1647), παρέχον τοῖς Ῥωμαίοις ἄδειαν ἐπισκευῆς τοῦ ἐν Ἱερουσαλὴμ μοναστηρίου τοῦ ἁγίου Κωνσταντίνου.

121. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (ἀρχ. Τζεμάζιλ-ἀχχὶρ 1077=1666) περὶ τοῦ ἀνεξετάστους εἶναι καὶ ἀμεταπέμπτους εἰς Δαμασκὸν τὰς ἐναντίον τῶν Ἁγιοταφιτῶν ἀγωγάς.

122. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλχιτζὲ 1079=1669), διατάσσον τὴν κατάπαυσιν τοῦ διωγμοῦ, ὃν Χαλὶλ ὁ τοῦ Σεριφεδδὶν ὑπηρέτης ἐκίνησε κατὰ τῶν Ἁγιοταφιτῶν.

123. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1086=1675), διατάσσον τὴν κατάπαυσιν τοῦ διωγμοῦ, ὃν ὁ Σαχὶν ὁ Χιτζὲς ἤγειρε κατὰ τῶν Ἁγιοταφιτῶν.

124. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1086=1675) κατὰ τοῦ καταπιέζοντος τοὺς Ἁγιοταφίτας Ἀποῦ-Σοούδ.

125. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1086=1675), παρέχον ἄδειαν τοῖς Ἁγιοταφίταις ποιῆσαι καμάραν ἐπὶ τῆς ὁδοῦ, συνενοῦσαν τὸ μοναστήριον αὐτῶν τῷ ναῷ τοῦ ἁγίου Ἰακώβου, καὶ τὴν ἐκκλησίαν τῆς ἁγίας Θέκλης ἐπισκευάσαι.

126. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (τελ, Τζεμάζιλ-ἀχχὶρ 1099=1688), ἀποβάλλον Σάκιρ τὸν διερμηνέα τοῦ ἐν Ἱερουσαλὴμ Μεχκεμὲ καὶ διορίζον ἀντ' αὐτοῦ ἕτερον διερμηνέα, Σουουδῆν ὀνομαζόμενον.

127. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (4 Ῥεπιοὺλ-ἐββὲλ 1100=1689) περὶ τοῦ μὴ ποιεῖν τινά τι ἀντιβαῖνον τοῖς ὁρισμοῖς καὶ τοῖς παλαιοῖς χοτζετίοις, τοῖς δεδομένοις τοῖς Ἁγιοταφίταις, καὶ περὶ τοῦ ὅτι πᾶσα κατ' αὐτῶν ἀγωγὴ παραπέμπεται πρὸς τὴν Ὑψηλὴν Πύλην.

128. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Σαπὰν 1100=1689),

ἀπαγορεῦον τοῖς Λατίνοις τὸ προσηλυτίζειν τὰ τέκνα τῶν ἐν Παλαιστίνῃ ὀρθοδόξων χριστιανῶν. Δύο ἀντίγραφα.

129. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ β' (ἀρχ. Σεββὰλ 1105= 1694) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους Ἁγιοταφίτας ἀνενοχλήτους διὰ τὰ κατεχόμενα παρ' αὐτῶν κτήματα τῶν Ἰβήρων.

130. Ἕτερον τοῦ σουλτάνου Μουσταφᾶ β' (μεσ. Σαπὰν 1106 =1695), ἀπειλοῦντος τοὺς ἐν Παλαιστίνῃ ὀρθοδόξους χριστιανοὺς τοὺς δεχομένους τὸ παπικὸν τῶν Λατίνων θρήσκευμα.

131. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (ἀρχ. Τζεμάζιλ-ἐββὲλ 1115 = 1703) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους προτέρους τῶν Ἑβραίων ἐν τοῖς δικαστηρίοις.

132. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (15 Ῥετζὲπ 1120=1708) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους προτέρους τῶν Λατίνων ἐν τοῖς δικαστηρίοις καὶ περὶ τοῦ μὴ ἐπεμβαίνειν αὐτοὺς εἰς τὰ τοῦ θρησκεύματος τῶν Ῥωμαίων.

133. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Τζεμάζιλ-ἐββὲλ 1122 =1710) περὶ τοῦ εἶναι τὰς ἐκκλησίας καὶ τὰ μοναστήρια τῶν Ῥωμαίων ἀνερεύνητα παρὰ τῶν κυβερνητικῶν ὑπαλλήλων.

134. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Τζεμάζιλ-ἀχχὶρ 1122 = 1718) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους προτέρους τῶν Ἑβραίων ἐν τοῖς διοικητηρίοις.

135. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (8 Ῥεπιοὺλ-ἐββὲλ 1123= 1711) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους προτέρους τῶν Φραγκισκανῶν ἐν τοῖς διοικητηρίοις.

136. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (8 Ζιλκαδὲ 1123=1711) περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ περὶ τῆς Ἁγίας Πόρτας. Τρία ἀντίγραφα.

137. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1124=1712) περὶ τοῦ εἶναι τὴν χρῆσιν τῶν κωδώνων καὶ τῶν σημάντρων ἀκώλυτον ἐν ταῖς ἐκκλησίαις.

138. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ α' (29 Σεφὲρ 1154= 1741) περὶ τοῦ μὴ εἶναι τοῦ λοιποῦ ἐν τῇ μονῇ τῶν Ἁγιοταφιτῶν Ἱεροσολυμίτην γραμματέα, τοῦ ἤδη τοιούτου ὑπάρξαντος Ἀττάλλα καταχραστοῦ σαφῶς ἀποδειχθέντος.

139. Ἕτερον τοῦ σουλτάνου Μετζὶτ α' (τελ. Τζεμάζιλ-ἀχχὶρ 1272 = 1856), ἐμπεριέχον τὸ παρ' αὐτοῦ τοῖς χριστιανοῖς παραχωρηθὲν τανζιμάτιον. Τρία ἀντίγραφα.

140. Ἕτερον τοῦ σουλτάνου Ἀζὶζ (13 Ζιλκαδὲ 1292=1875) περὶ τῶν ἐν τῷ Τουρκικῷ Κράτει μεταρρυθμίσεων, ἀραβιστὶ γεγραμμένον. Τέσσαρα ἀντίγραφα.

141. Ἕτερον τοῦ σουλτάνου Μουσταφᾶ α' (9 Ζιλκαδὲ 1031= 1622), παρέχον ἄδειαν ἐπισκευῆς τῶν ἐν τοῖς ὀρθοδόξοις μοναστηρίοις τῆς Ἱερουσαλὴμ οἰκημάτων τῶν προσκυνητῶν.

142. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (μεσ. Σεφὲρ 1097= 1686), παρέχον ἄδειαν ἐπισκευῆς ἁπάντων τῶν ἐν Παλαιστίνῃ Ῥωμαϊκῶν μοναστηρίων. Τρία ἀντίγραφα.

143. Ἕτερον ὅμοιον τοῦ σουλτάνου Σουλεϊμὰν β', ἀρχ. Τζεμάζιλ-ἐββὲλ 1099=1688.

144. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (3 Ῥεπιοὺλ-ἐββὲλ 1123 = 1711), κυροῦν ἅπαντας τοὺς προτέρους περὶ τῶν Ῥωμαϊκῶν ἐκκλησιῶν καὶ μοναστηρίων βασιλικοὺς ὁρισμούς.

145. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (14 Ῥετζὲπ 1129=1717), περὶ τοῦ εἶναι τοὺς ἐν Σινὰ μοναχοὺς ἐλευθέρους παντὸς χαρατζίου.

146. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ γ' (μεσ. Σεβὰλ 991 = 1583), παρέχον τοῖς Φραγκισκανοῖς ἄδειαν ἐπισκευῆς τῆς ἐν Ἱερουσαλὴμ μονῆς τοῦ ἁγίου Γεωργίου, ἐν ᾗ, καθὰ τὸ φιρμάνιον ὁμολογεῖ ῥητῶς, κάθηνται ἐκεῖνοι ἐπ' ἐνοικίῳ· ἔστι δὲ τὸ μοναστήριον τοῦτο κτῆμα τῶν ὀρθοδόξων Ἰβήρων.

147. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν α' (τελ. Τζεμάζιλ-ἐββὲλ 972 = 1564), διατάσσον τὴν ἐξέτασιν αἰτήσεως περὶ τοῦ ὅτι ἐν τῇ μονῇ τοῦ Σταυροῦ μιναρὲς ὑπῆρξέ ποτε καὶ τέμενος μουσουλμανικόν.

148. Ἕτερον τοῦ σουλτάνου Μουρὰτ γ' (τελ. Ζιλχιτζὲ 996= 1588) περὶ τοῦ εἶναι παντάπασιν ἀστήρικτον τὴν περὶ ὑπάρξεώς ποτε μιναρὲ καὶ τεμένους ἐν τῇ μονῇ τοῦ Σταυροῦ διάδοσιν.

149. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (μεσ. Τζεμάζιλ-ἐββὲλ 1097=1686) περὶ τῆς αὐτῆς ὑποθέσεως.

150. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (τελ. Ῥεπιοὺλ-ἐββὲλ 1100=1689) περὶ τῆς αὐτῆς ὑποθέσεως.

151. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (ἀρχ. Ῥαμαζὰν 1058 = 1648), παρέχον ἄδειαν ἐπισκευῆς τινος ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα.

152. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Ῥεπιοὺλ-ἐββὲλ 1090 = 1679), παρέχον ὡσαύτως ἄδειαν ἐπισκευῆς ἐν τῇ αὐτῇ λαύρᾳ.

153. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (μεσ. Σαπὰν 1119= 1707), βεβαιοῦν ὅτι τάφος ἐπ' ὀνόματι τοῦ Σεχ-Μίνσι οὐκ ἔστιν ἐν τῇ ἁγίᾳ Σιών.

154. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ α' (ἀρχομ. Μουχαρὲμ 1146=1733), διατάσσον τοὺς Δαουτλήδας μὴ καταστρέφειν τοὺς ἐν τῇ Σιὼν τάφους τῶν ὀρθοδόξων χριστιανῶν.

155. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν α' (τελευτ. Τζεμάζιλ-ἐββὲλ 972 = 1564), ἐπιτρέπον τὴν χρῆσιν ὅπλων ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, φυλακῆς ἕνεκα ταύτης.

156. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ α' (τελ. Τζεμάζιλ-ἀχχὶρ 1022=1613), παρέχον ἄδειαν ἐπισκευῆς τῆς αὐτῆς λαύρας.

157. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (ἀρχ. Ῥεπιοὺλ-ἐββὲλ 1099 = 1688) περὶ τοῦ εἶναι τοὺς Ἁγιοσαβίτας μοναχοὺς ἀνενοχλήτους ὅλως ὑπὸ τῶν καφαρτζήδων.

158. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (ἀρχομ. Τζεμάζιλ-ἀχχὶρ 1099 = 1688) περὶ τοῦ εἶναι τὰς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα καὶ τὰς ἐν τοῖς λοιποῖς ὀρθοδόξοις μοναστηρίοις γινομένας ἐπισκευὰς ἀκωλύτους ὅλως καὶ ἀνεξετάστους ὑπὸ τῶν κυβερνητικῶν ὑπαλλήλων καὶ τῶν λοιπῶν Μουσουλμάνων. Τρία ἀντίγραφα.

159. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (μεσ. Ῥεπιοὺλ-ἐββὲλ 1118 = 1706), παρέχον ἄδειαν ἐπισκευῆς τῆς λαύρας τοῦ ἁγίου Σάβα.

160. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ α' (μεσ. Τζεμάζιλ-ἐββὲλ 1144=1731) περὶ τοῦ εἶναι τὴν λαύραν τοῦ ἁγίου Σάβα καὶ τὰ περὶ ταύτην μοναστήρια παντάπασιν ἀνενόχλητα. Πέντε ἀντίγραφα.

161. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (20 Σαπὰν 1147=1735), διατάσσον τοὺς διοικητὰς μήτε ταράττειν τοὺς Ἁγιοσαβίτας, μητ' ἐπεμβαίνειν εἰς τὰ τῆς λαύρας αὐτῶν πράγματα.

162. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (τελ. Σεβὰλ 1083= 1673) περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους μοναχοὺς ὅλως ἀφορολογήτους.

163. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Ῥετζὲπ 1093 = 1682) περὶ τῆς αὐτῆς ὑποθέσεως.

164. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (ἀρχομ. Τζεμάζιλ-ἐββὲλ 1079=1668) περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ περὶ τοῦ εἶναι τοὺς ὀρθοδόξους ναοὺς ὅλως ἀνενοχλήτους.

165. Ἕτερον τοῦ σουλτάνου Σουλεϊμὰν β' (ἀρχ. Τζεμάζιλ-ἀχχὶρ 1101=1690) περὶ τῆς αὐτῆς ὑποθέσεως.

166. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ β' (τελ. Ῥεπιοὺλ-ἀχχὶρ 1102=1691) περὶ τῆς αὐτῆς ὑποθέσεως.

167. Ἕτερον τοῦ σουλτάνου Ἀχμὲτ γ' (τελ. Τζεμάζιλ-ἐββὲλ 1122=1710), καθορίζον τὸ καφάριον τῶν εἰς Ἰόππην ἀποβιβαζομένων προσκυνητῶν. Δύο ἀντίγραφα.

168. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. Σαπὰν 1122 = 1710), ἐπιτρέπον τὸν διορισμὸν ἑρμηνέως ἐν τῷ μοναστηρίῳ τῶν Ῥωμαίων, τῷ ἐν Ἰόππῃ, ἐπὶ τῷ συνοδεύειν τοὺς εἰς Ἱεροσόλυμα πορευομένους προσκυνητὰς καὶ καθοδηγεῖν αὐτοὺς οὕτως, ὥστε καθ' ὁδὸν εἶναι παντάπασιν ἀνενοχλήτους. Δύο ἀντίγραφα.

169. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ῥαμαζὰν 1122= 1710) περὶ τῆς αὐτῆς ὑποθέσεως. Δύο ἀντίγραφα.

170. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελ. ἔτους 1131=1719), καθορίζον τὸ καφάριον τῶν ἐν Ἱεροσολύμοις προσκυνητῶν.

171. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλκαδὲ 1138 = 1726) περὶ τοῦ μὴ διδόναι τοὺς ταξειδεύοντας προσκυνητὰς πλεῖον τοῦ ὡρισμένου καφαρίου.

172. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (μεσ. Ζιλκαδὲ 1138 = 1726) περὶ τοῦ μὴ κλείειν τινὰ τὴν πύλην τῆς Ἱερουσαλὴμ ἐπὶ σκοπῷ ἀργυρολογίας ἐκ τῶν προσερχομένων εἰς τὴν Ἁγίαν Πόλιν προσκυνητῶν.

173. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ α' (ἀρχ. Ῥετζὲπ 1144 = 1731) πρὸς τοὺς ἐν Ἀτταλείᾳ διοικητάς, περὶ τοῦ εἶναι τοὺς ἐκεῖθεν διερχομένους προσκυνητὰς ἀνενοχλήτους καὶ ὅλως ἀφορολογήτους.

174. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελευτ. Ῥεπιοὺλ-ἐββὲλ 1145=1732), καθορίζον τὸ καφάριον τῶν εἰς Ἰόππην ἀποβιβαζομένων προσκυνητῶν.

175. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (τελευτ. Τζεμάζιλ-ἀχχὶρ 1155=1741) περὶ τοῦ ὅτι οἱ προσκυνηταὶ δικαίωμα ἔχουσι τοῦ θαλασσοπλοεῖν ᾧτινι βούλονται πλοίῳ.

176. Ἕτερον τοῦ σουλτάνου Ὀσμὰν γ' (τελ. Ῥεπιοὺλ-ἐββὲλ 1169=1756) περὶ τοῦ εἶναι τοὺς προσκυνητὰς ἀνενοχλήτους ἐν τοῖς πλοίοις.

177. Ἕτερον τοῦ σουλτάνου Μουσταφᾶ γ' (25 Μουχαρὲμ 1175=1761) περὶ τοῦ εἶναι τοὺς προσκυνητὰς καὶ τοὺς μοναχοὺς ἀνενοχλήτους ἐν Ἰόππῃ, ὀφείλοντας διδόναι μόνον τὸ καθωρισμένον καφάριον.

178. Ἕτερον τοῦ σουλτάνου Χαμὶτ α' (21 Ζιλχιτζὲ 1196= 1782) περὶ τοῦ μὴ διδόναι τοὺς προσκυνητάς, ἐρχομένους εἰς Ἰόππην διὰ τῆς Ἀσπρης Θαλάσσης καὶ φέροντας ἀπόδειξιν χαρατζίου, ἕτερον χαράτζιον τοῖς ἐν Ἰόππῃ κυβερνητικοῖς ὑπαλλήλοις.

179. Ἕτερον τοῦ σουλτάνου Σελὶμ β' (10 Μουχαρὲμ 1208= 1793) πρὸς τοὺς ἐν Καισαρείᾳ, Κοτυαείῳ, Βοζαλικίῳ καὶ Ἀγκύρᾳ διοικητάς, περὶ τοῦ εἶναι τοὺς προσκυνητὰς ἐλευθέρους τελωνιακοῦ δασμοῦ καὶ καφαρίου.

180. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (25 Μουχαρὲμ 1211 = 1796) περὶ τῆς αὐτῆς ὑποθέσεως.

181. Ἕτερον τοῦ σουλτάνου Μαχμοὺτ β' (22 Σεφὲρ 1224= 1809) περὶ τοῦ εἶναι τοὺς προσκυνητὰς περιοδεύοντας ἐν παντὶ λιμένι καὶ πόλει χαρατζίου καὶ καφαρίου παντάπασιν ἐλευθέρους.

182. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (3 Τζεμάζιλ-ἀχχὶρ 1235 = 1820) πρὸς τὰς διοικήσεις Ἀγκύρας, Νίγδης καὶ Ἀμίδης, περὶ τοῦ εἶναι τοὺς προσκυνητὰς ἀνενοχλήτους.

*

183. Ἕτερον τοῦ αὐτοῦ σουλτάνου (23 Ῥεπιοὺλ-ἐββὲλ 1246= 1830) πρὸς τοὺς διοικητὰς Προύσης, Χαλεπίου καὶ Δαμασκοῦ, περὶ τοῦ εἶναι τοὺς Ῥωμαίους μοναχοὺς καὶ τοὺς προσκυνητὰς ἐλευθέρους τελωνιακοῦ δασμοῦ καὶ καφαρίου.

184. Ἕτερον τοῦ σουλτάνου Μεχμὲτ δ' (μεσ. Σεφὲρ 1072= 1661), διατάττον τὴν ἀνάκρισιν ἀγωγῶν περί τινων χρηματικῶν ὀφειλῶν τῶν ἐν Ἱερουσαλὴμ Ἰβήρων μοναχῶν καὶ τῆς μονῆ τῶν Ἁγιοταφιτῶν.

ΠΑΡΟΡΑΜΑΤΑ ΔΙΟΡΘΩΤΕΑ

ΕΝ ΤΩΙ ΔΕΥΤΕΡΩΙ ΤΟΜΩΙ [1].

(Ὅρα τοῦ αὐτοῦ τόμου σελ. 489-491).

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
3	4	ἔμελλεν	ἔμελεν
6	24	κιρνᾶτε ”	κιρνᾶτε ”;
»	22	μυροφόροις ;	μυροφόροις.
8	18	Ὡσαννά - - ἐρχόμενος	“ Ὡσαννά - - ἐρχόμενος ”.
»	20/21	Λάζαρον ἡ ἀνάστ. Χριστέ·	Λάζαρον· ἡ ἀνάστασις Χριστέ,
10	1	κύκλω	κύκλῳ
»	24	νικητὴν	νικητῇ (ὡς ἐν τῷ κώδικι)
*12	8	ἀντίκτησιν [cod.]	ἀντέκτιστον
»	10	φιλεῖς	φιλεῖς [με]
14	9	ᾧ	ὦ (ὡς ἐν τῷ κώδικι)
20	11	αὐτοὺς [cod.]	αὐτὸς
22	14	ὑπαντοῦντας [cod.]	ὑπαντῶντας
24	23	Φιλιππισίους [cod.]	Φιλιππησίους
25	13	ἀπέλθετε	ἀπέλθατε (ὡς ἐν τῷ κώδικι· οὕτω καὶ ἐν ταῖς σελίσι 48, 12, 26. 228, 11)
26	10	ἐπιτυχεῖν	ἐπιτυχίαν (ὡς ἐν τῷ κώδικι)

[1] Ὅσα μετ' ἀστερίσκου, διορθώματά ἐστι τοῦ φιλολόγου Ἐδουάρδου Kurz εἰκαστικά, παραλειφθέντα ἐξ ἐπιστολῆς αὐτοῦ πρός με καὶ ἐκ τῆς αὐτοῦ τοῦ δευτέρου τόμου τῶν ἀναλέκτων εὐμενοῦς αὐτοῦ ἐπικρίσεως. Ὁ σπουδαῖος οὗτος ἀνὴρ ἀναγινώσκει καὶ τὴν Ἱεροσολυμιτικὴν Βιβλιοθήκην καὶ τὰ ταύτης Ἀνάλεκτα μετὰ ζήλου πολλοῦ, πιστεύων ὅτι καὶ ταῦτα κἀκείνη βιβλία παριστῶσιν ἀεὶ χρήσιμα· διὸ καὶ τὰ ἐν τοῖς Ἀναλέκτοις ἰδίᾳ περιεχόμενα κείμενα μετὰ προσοχῆς οὐ μικρᾶς ἐπεξερχόμενος εὑρίσκει τῶν ἡμαρτημένων ὅσα τὸ ἡμέτερον ὄμμα διὰ τὸ ταχὺ καὶ τὸ βίαιον τῆς ἐκτυπώσεως ἀπαρατήρητα καταλείπει. Τοῦτό με λίαν, ὡς εἰκός, εὐφραίνει, βοήθειαν ἐμοὶ παρέχον ἀδρὰν ἐπ' ἀγαθῷ τῶν ἀναγνωστῶν μου· διὸ καὶ χάριτας τῷ ἀνδρὶ φανερῶς ὁμολογῶ. Ὅρα Βυζαντινῶν Χρονικῶν τόμον I (1894), σ. 683-697, καὶ τὸν II-ον τόμον τῶν ἐμῶν Ἀναλέκτων σ. 485-487.

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
27	8	(ὁ τὸν)	(ὀ β έ λ ι σ ο ν· πρβλ. σ. 21, 21, 26)
»	9	δυμάμει	δυνάμει
28	12	ἔλεος	ἔλεον (ὡς ἐν τῷ κώδικι)
30	25	συμμετασχῶμεν - - βασιλείου	συμμετάσχωμεν - - βασιλείας
31	20	εὐσπλαγνίᾳ	εὐσπλαγχνίᾳ
*34	4	λάμψε [cod.]	λάμψαι
»	6	προσνέμοντες	προσμένοντες
»	12	σοί [cod.]	σέ
»	31	αὐτῇ [cod.]	αὐτὴ
35	19	σε [cod.]	σου
»	30	ῥύσασθαι·	ῥύσασθαι
39	20	εὐπλαγχνίᾳ	εὐσπλαγχνίᾳ
*40	1	ὑψοποιῶν	ὑψοποιὸν (ὡς ἐν τῷ κώδικι)
»	11	κολακείαις	κολακείας
42	15	συντετριμμένη	συντετριμμένῃ
46	12	ἐπλάσθη	ἐπλήσθη
»	31	ἐγγίζουσι,	ἐγγίζουσι
47	11	ἀπολέσαντα.	ἀπολέσαντας.
»	20	εὔσπλαγνος	εὔσπλαγχνος
»	33	24 22	22 23
49	23	πρόσχωμεν [cod.]	πρόσσχωμεν
50	3	πρόσχωμεν [cod.]	πρόσσχωμεν
»	24	καρποφορῆσαι τὴν ὀσμήν - - σου,	καρποφορῆσαι, τὴν ὀσμὴν - - σου
51	7	διαλάγηθι [cod.]	διαλλάγηθι
52	7	ῥαθυμοῦντα	ῥᾳθυμοῦντα
»	17	δέσποτα· | - - μερίδος	δέσποτα, | - - μερίδος·
54	22	Κύριον [cod.] γεννήσασαν,	κυρίως γεννήσασαν (πρβλ. σ. 133, 14)
*56	11	προσέλθωμεν	προσηλωθῶμεν (ὡς ἐν σ. 136, 28)
59	2	ἀνταπεδίδωσάν [cod.]	ἀνταπεδίδοσάν
»	21	σκέπει	σκέπῃ
61	14	δάνειον,	δάνειον |
62	12	βρυγμοὺς	βρυγμὸς
»	16	ἀγείρω [cod.]	ἀγήρω
63	24	ἀθανατήσῃ [cod.]	ἀθανατίσῃ
*64	5	ῥιγήματι	ῥοιζήματι
»	10	Ἄπαξ	Ἅπας
*64	13	ἐλέγχοντες	ἐλέγχονται
65	14	Πρόσχωμεν [cod.]	Πρόσσχωμεν
66	4	δεδημένα	δεδεημένα
67	35	20 - - 29	21 - - 31
*68	21	ὃν παρέδρα [cod.]	ὥνπερ ἕδρα
69	21	ὁ Θεὸς	Θεὸς
»	35	37	31
70	21/23	πάντα - - αἰῶνας.	" πάντα - - αἰῶνας ".

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
71	6	Ἱερουργεῖτε [cod.]	Ἱερουργεῖται
*72	4	λογοπραγεῖ	λογοπρατεῖ
*72	14	ὅ τι ψυχὴ	ὅτι ψυχῇ
»	21	τῇ	τὸ
73	8	ἡ	ἢ
»	14	τῷ Φαρισαίῳ	τῶν Φαρισαίων
*73	23	ἑδράσασα - - λεντίω	δράσασα - - λεντίον
74	7	με.	με ".
75	36	παθῶν	13 παθῶν
77	17	μετανοοῦσαν,	μετανοοῦσαν "·
78	14	οὓς [cod.]	ὧν (κατὰ τὰς ἐκδόσεις)
»	18	ἔλεος.	ἔλεος ".
*81	17	δυσώπει, παρθένος,	δυσωπεῖ παρθένος
*86	15	Τμηθείσῃ τιμᾶται	Τμηθεὶς ἐπιτιμᾶται
86	25/26	ἐνδόξως - - ἡμῶν.	" ἐνδόξως - - ἡμῶν ".
88	11	κενὸν [cod.]	καινὸν (ὡς ἐν σ. 114, 7 καὶ 191, 24)
88	31	Κύριον - - με	" Κύριον - - με "·
89	1	Ῥύπον	" Ῥύπον
91	1	" Ἄπιτε τοῖς μαθηταῖς "	" Ἄπιτε " τοῖς μαθηταῖς
»	5	" Δημιουργὸν	" Δημιουργῶν
92	4	σε [cod.]	σοί
*94	26	ἀργύρια [cod.]	ἀργυρίων (οὕτω καὶ ἐν ταῖς σελίσι 120, 6 121, 6. 126, 16. Πρβλ. Λουκᾶ ιβ' 6)
94	29	συμπαθὼν	συμπαθῶν
97	11	ἀξιώμενος [cod.]	ἐξιώμενος
*97	19/20	παραπτωχίαν διδάσκων τί [cod.]	παρὰ πτωχείαν διδάσκοντι
98	16	Ἰσχύει [cod.]	Ἰσχύϊ
99	9	καθήσει [cod.]	καθίσει
100	5	πρᾶσιν	πρᾶσιν·
»	7	πωλουμένου·	πωλουμένου
103	27	διαφυλάξειεν	διαφυλάξειες
105	15	Κύριε·	Κύριε ",
107	22	Σεραφεὶμ [cod.]	Σεραφὶμ
110	6	τοὺς	εἰς τοὺς
111	19	ἐξέμαξας τῆς σῆς χάριτος,	ἐξέμαξας, τῆς σῆς χάριτος
113	31	ἐπλαστουγήθη	ἐπλαστουργήθη
115	18	μετασχῶμεν [cod.]	μετάσχωμεν
117	7	συμπνίγωμεν [cod.]	συμπνιγῶμεν
»	28	ἐσώμεθα [cod.]	ἐσόμεθα
119	14	πανύμνυτε	πανύμνητε
*119	17	σκῆψιν	σκέψιν
123	4	ἀνείκαστρς	ἀνείκαστος
»	15	δώδεκα [cod.]	ἕνδεκα (πρβλ. σ. 148, 16)
124	36	31	30

Σελ.	Στιχ.		Γ ρ ά φ ε.
125	25	δόξαν	δίψαν
126	3	ὀδυρωμένη	ὀδυρομένη
»	23	ὑμεῖς	ἡμεῖς
128	22	πρόστηθί	πρόσστηθί
»	33	κἀκεῖνα με δοξάσει	κἀκεῖνά με δοξάσουσι
131	31	15	14
132	20	του	σου
»	29	αὐτῷ·	αὐτοῦ·
135	4	πάθει	βάθει (ὡς ἐν ταῖς ἐκδόσεσι)
»	11	ἐρήγνυντο	ἐρρήγνυντο
*135	26	Τῆς σταθείσης	Τῆς ταθείσης
*135	27	πρωτοπάτορος	προπάτορος
*137	10	βρώσεως [cod.]	γνώσεως (ὡς ἐν σελ. 135, 26)
*138	5	ἡμῖν [cod.]	ἡμῶν
139	23	ὄλοισθε	ὄλησθε
»	37	29	30
140	12/13	ἔφη πικρῶς δακρύσας·	ἔφη· "πικρῶς δακρύσας
141	14	τούτους - - μανναδοτήσας;	τούτου - - μανναδότησας;
142	4	κυήσει	κεντήσει [cod. κενήσει]
»	26	καταξένουσα	καταξαίνουσα
143	11	τῷ κράτει	τοῦ κράτους (ὡς ἐν σελ. 134, 18)
»	34	22	29
145	14	ἀναφὴ	ἀναφὴς
146	6/7	βασιλέα; μακρόθυμε	βασιλέα"; Μακρόθυμε
147	25	προπάριον	τροπάριον
149	19	ἐφύλαξα·	ἐφύλαξα"·
»	25	καταπλήττοντο·	κατεπλήττοντο·
150	8/13	διὰ - - παράνομοι.	"Διὰ - - παράνομοι".
»	13	ἐκκεντᾶτε [cod.]	ἐκεντᾶτε
151	13	ἐκαθαίρησα [cod.]	ἐκαθάρισα (ὡς ἐν σελ. 46, 1 καὶ 128, 27)
152	11	κόσμου.	κόσμου".
157	6	τελείας	τελέσας
160	30	σου, σὺν	σου σὺν
163	27	με.	με".
164	27	ἐλεησόν	ἐλέησόν
165	18	θατατώσαντι	θανατώσαντι
167	6	θανέντας [cod.]	θανόντας
»	8	παρανόμους [cod.]	πρὸ τοῦ Νῶε
»	17	παντοδύναμος	παντοδύναμος".
169	17	αὐτοῖς	αὐτῶν
170	22	θνητὸς	ὡς θνητὸς (ὡς ἐν σελ. 187, 3)
»	25	σάββατόν	τὸ Σάββατόν (ὡς ἐν σελ. 187, 6)
173	12	κυλύπτει	καλύπτει
»	14	ἡμαγμένην	ἡμαγμένην

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
173	16	μεγαλύνω	μεγαλυνῶ
174	10	εὔσπλαχνος	εὔσπλαγχνος
*176	24	καταπτώσεως [cod.]	καταπόσεως
177	24	ἑβδόμην·	ἑβδόμην ".
178	14	ἀνέστησε·	ἀνέστησε "·
*178	21	ἀλλὰ πολλῶν	ἀλλ' ἀπολῶ
»	15	σου ".	σου.
»	23	ἐγείρει·	ἐγείρει "·
179	2	κράτος·	κράτος ".
»	3	δόξα - - σου ".	Δόξα - - σου.
180	17	νοήσατε	βοήσατε
180	24	ἐν	ἐκ
183	28	τοῦτο	τοῦτο δὲ πάλιν
185	23	μυστικῶς προάγγελον, τοῦ πάσχα	μυστικὸς προάγγελος τοῦ πάσχα
»	34	25	24
191	25	πέτρας	πέτρας ἀγόνου
»	26	πηγήν,	πηγὴν
193	31	ὡς	ὥς
196	11	ὦ	ὦ
»	31	ἀκουσίως	ἑκουσίως.
197	17	κτίσεως,	κτίσεως
199	3	Πιστὸς καὶ	Πιστὸς Κύριος
»	7	'Ανάστησον	'Ανάστη(θι)
»	14	δεξία	δεξιὰ
»	30	ἠγέρθη " γὰρ	ἠγέρθη γάρ "
202	8	ἀφθαρτήσας [cod.]	ἀφθαρτίσας
»	16	τριάδος,	τριάδος
»	29	οὐκ	οὐχ
203	5	πρέσδεξαι	πρόσδεξαι
»	30	18 19	17 18
»	31	22 24 27	21 23 26
206	22	ἱερεῖον	ἱερείου
207	13	ἀπειλήφαμεν.	ἀπειλήφαμεν ".
»	32	11	21
*208	26	ἐπαφῆκασί με [cod.]	ἐπαφῆκάς μοι
209	12	τάφον	τάφου
»	13	νεκρώσας,	νεκρώσας
»	14	φύλακας	φύλακας,
211	22	ζητεῖτε "	ζητεῖτε ";
212	4	εὐγένουσιν [cod.]	ἐβγαίνουσιν
*213	3	φοβερὸν	ζοφερὸν
214	10	εὔσπλαγνος	εὔσπλαγχνος
»	19	κυρύξατε	κηρύξατε

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
*215	4/5	τάφου δ. ἠλευθερώθη τε	τάφου· δ. ἠλευθερώθητε
*217	21/23	σήμερον, " ἐξανέστη - - νεκρούς " μ. βοῶντα·	σήμερον· ἐξανέστη - - νεκρούς, μεγ. βοῶντας·
218	8	ἄκανθα	ἄκανθαν
»	16	εὐαγγελίστριας	εὐαγγελιστρίας
»	24	θανέντων	θανόντων
219	3	προσκληθεὶς	προσβληθεὶς
»	10	οὐρανοί	οὐρανός
*219	18	ἐγκαλλώπισεν [cod.]	ἐκαλλώπισεν
*221	11	ἀνεκ[άλε]σας	ἀνεκ[αίνι]σας
*225	20	Ἐπανακλήσει [cod.]	Ἐπ' ἀνακλήσει
226	19	κατάρᾳ	κατάρα
»	26	τηλαυγῶς - - ὡραιότητα	τηλαυγῶς· - - ὡραιότητα ὑπὲρ κτλ.
227	29	τοῦ	τούτου
227	30	Ἄρα	Ἆρα
229	14/15	ἐπαγγείλατε· τὴν κατ - - μεταστρέψασθε·	ἀπαγγείλατε τὴν κατ - - - μεταστρέψασθαι,
231	1	εἰλίσσας	εἰλήσας (ὡς ἐν σ. 160, 27)
»	8	ἐμπλήσθητε·	ἐμπλήσθητε ".
»	20	ἔλεος.	ἔλεος ".
232	9	κευθμόνων	κευθμώνων
»	9	πάσχα δουλείας	πάσχα, δουλείας
»	19	κατωτάτω	κατωτάτῳ
233	4	Γῦναι	Γύναι
*234	19	κατῆλθες [cod.]	ἀνῆλθες
234	24	ὃν	ὃ
235	21	πρόσγαια - - οἵα	πρόσγεια - - οἷα
»	25	ἐπαγγέλλουσα	ἀπαγγέλλουσα
236	34	8	7
238	7	ἀνέωξας	ἀνέῳξας
*241	14/15	ἀπέλυσας - - γενόμενος [cod.]	ἀπέλυσε - - γενόμενον
242	4	ἡμῶν.	ἡμῶν ".
»	17	μελῳδοῦντα	μελῳδοῦσα
*247	23	παναγία, οἱ σεπτοί, [cod.]	παναγία ἡ σεπτή, .
249	6	κατωτάτω	κατωτάτῳ
»	34	33	31
252	18	δαφύλαττε	διαφύλαττε
255	12	ἄδολον	ἄδηλον
260	2	Χρισοῦ	Χριστοῦ
262	4	ἁγίω	ἁγίῳ
»	10	ματριότητος	μετριότητος
»	15/16	ἄλλο τι	ἄλλ' ὅ τι
298	22	ἅπαξ	ἅπας

ΕΝ ΤΩΙ ΤΕΤΑΡΤΩΙ ΤΟΜΩΙ.

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
1	15	Θεος	Θεός
2	15	θεότητος	θεότης
»	29	ὑποκείμενον της	ὑποκείμενόν της
»	31	Ψαλμ. ιη′	Ψαλμ. ιζ′
10	25/26	’Αριμαθείας	’Αριμαθαίας
12	12	τῆν	τὴν
13	22/23	λογιάζεται	λογιάζετε
17	14	πρὸς	υἱὸς
19	17	’Αμπηριμπᾶς	’Αμπτηριμπᾶς
»	13	αὐτοῦ	αὐτοῦ
20	1	πατριαρχεῖον	Πατριαρχεῖον
»	2	ἐπιτροπικὸν κελλί	’Επιτροπικὸν Κελλί
22	3/4	μουμεβελῆς	μουτεβελῆς
»	13	αὖτήν	αὐτήν
»	22	Ῥαντὰτ	Ῥαντάπ,
24	18	χτέμιδες	Χτέμιδες
26	8	μὲν τὸ	μὲ τὸ
27	23/24	”Ατεβης	”Αλεβης
28	15	ζηλότ.	ζολότ.
»	23	”Ατεβης	”Αλεβης
29	1	οἰκονόμου	οἰκονόμου
»	18	τδους	τους
»	30	τὸν ἀδελφὸν	τῶν ἀδελφῶν
32	8	Κτέμη	Χτέμη
35	24	’Αλαί	’Αλαῖ
»	28	65	35
36	15	33	36
»	26	34	37
37	12	35	38
»	28	36	39
41	6	μετὰ	κατὰ
48	1	Ισον	Ἴσον
64	2	Διονυσίου γ′.	Διονυσίου δ′
67	11	ή	ἤ
82	9/10	ἀμείψαντᾳ	ἀμείψαντα
83	2	καθήρειν [sic]	καθαιρεῖν
»	21	Διονυσίου γ′	Διονυσίου δ′
85	19	ξυνοπαθούντων	δεινοπαθούντων
91	21	τοιαυτας	τοιαύτας
94	10	τῶν	τῶν ὧν
96	7/8	πληρώση	πληρώσει
97	25	αὐτῷ	αὐτὸν
109	8	Μιχαὴλ τοῦ	Μιχαὴλ τοῦ τοῦ

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
109	33	9 12 17	18 21 26
110	2	(ὡς) ὁ	ὃ
»	7	ἐξομοσάμενος, καὶ (ὁ)	ἐξομοσάμενος καὶ
111	28	μητρὸς	μητρὶ
131	11	'Εδέσῃ	'Εδέσσῃ
»	27	υἱὸν	[ὡς] υἱὸν
132	16	θέλων [cod.]	θέλειν
133	8/9	εἰσῆλθεν [sic cod.] εἰς τὸ Διακονικόν. Προσέπεσεν	εἰσελθεῖν εἰς τὸ Διακονικόν, προσέπεσεν
134	20	αἱς	αἷς
135	7	τί [cod.]	τίς
139	26	ἀρνήσασθαί μοι [cod.]	ἀρνήσασθαί με
140	1	εἰπεῖν αὐτὸν [cod.]	ἐπ' αὐτῶν
143	5	Θέον	Θεόν
»	10	ἤρξαντο	ἤρξατο
»	20	ταῖς ἀπειλαῖς	τὰς ἀπειλάς
146	1	ὑπεριδόντες [cod. ὑπὲρϊδόντες]	ὑπερείδοντες
»	5	τοῦ υἱοῦ	τῶν υἱῶν
»	9	ὄντα [cod.]	ὀστᾶ
»	20	κα	καὶ
147	11	ἀπολυθήσεσθαι	ἀπολυθήσεσθε
152	29	τνιες	τινες
157	8	τεμὼν [cod.]	ταμὼν
164	24	ἡμαγμένα	ἠμαγμένα
165	4	ἀποτεμὼν [cod.]	ἀποταμὼν
172	2	τῆς	τὴν
179	3	πάσας	πάσας
180	20	αὐτοῖς, καθὼς εὕραμεν [cod.]	αὐτοῖς· " Καθὼς εὕρομεν
»	21	«Περιπατῶν	περιπατῶν
189	15	ἀφειδήσαι	ἀφειδῆσαι
196	31	τριήμε-	τριημε-
199	14	Πρωτισίλεως	Πρωτεσίλεως
206	24	ἀχθῆναι οἱ	ἀχθῆναί οἱ
208	18	ἀνθρωπίνει	ἀνθρωπίνῃ
209	21	καταδέχοιντο οἱ	καταδέχοιντό οἱ
211	19	διεγείροντο	διηγείροντο
217	7	εὐαγους	εὐαγοῦς
226	7	Σατορνῖλος	Σατορνίλος
232	7	αἴρε	αἶρε
»	9	αἴρε	αἶρε
234	1	ἰπίγνωσιν	ἐπίγνωσιν
246	16	ὄφελε	ὤφελε
248	16	προσσχήματι	προσχήματι
249	27	πατρᾶσιν	πατράσιν

Σελ.	Στίχ.		Γ ρ ά φ ε.
255	254	ἀπόλεσθε	ἀπόλησθε
262	14	αἰτήσοι [cod.]	αἰτήσῃ
266	24	ὑπερμεγεθέσιν	ὑπερμεγέθεσιν
280	33	Ἡσσῖα	Ἡσαΐα
289	31	εν	ἐν
314	20	ἐλάβατε	ἐλάβετε
315	19	συνέσπερε	συνέσπειρε
316	9	συναρρήγοντος	συναρήγοντος
322	14	εὐέμπτωτος τινων	εὐέμπτωτός τινων
»	26	οὐ δυσωπεῖτο [cod.]	οὐκ ἐδυσωπεῖτο
327	20	διατέμωσιν [cod.]	διατάμωσιν
353	5	διασαφῶν.	διασαφῶν ".
369	18	πλᾶσιν [cod.]	πλάσιν
382	27	πανοικεῖ [cod.]	πανοικεὶ
389	20	ῥηγίως [cod.]	ῥιγίῳ
393	10	ἀνώνητα [cod.]	ἀνόνητα
»	27	θλᾶσμα	θλάσμα
»	28	ὑποστάσα	ὑποστᾶσα
394	6/7	ἀναστάσα	ἀναστᾶσα
404	2	δωρεῖται	δωρῆται
407	26	1731	1631
410	8	ἀὐτὴν	αὐτὴν
»	12	1731	1631
412	19	1741	1641
415	5	1751	1651
455	14	Μουρὰτ α′	Μουρὰτ δ′
457	16	Μουρὰτ β′	Μουρὰτ γ′
458	1	Ἕερον	Ἕτερον
461	17	Σελλὶμ - - Σαΐαν	Σελὶμ - - Σαΐὰν
464	26	Μαχμοὺτ δ′	Μεχμὲτ δ′
477	8	Σαΐαν	Σαΐὰν
478	4	1372	1732
496	18	Μουρὰτ γ′	Μουρὰτ δ′
535	9	ἐκείνους	ἐκείνους θρόνους
536	17	διετέλεσαν	διετέλεσαν καὶ εὑρέθησαν

ΠΡΟΣΘΗΚΑΙ.

Σελ. 1. Διονύσιος πατριάρχης, πρὸς ὃν ἡ τοῦ Νεκταρίου προσφώνησις, ἦν ἐξ Ἄνδρου τῆς νήσου καὶ Βάρδαλις ἢ Σπανὸς ἐπωνομάζετο· ἐγένετο δὲ πατριάρχης οἰκουμενικὸς ἔτει 1662-ῳ· ἀλλ' ἔτει 1665-ῳ δοὺς παραίτησιν ἐγένετο πρόεδρος Θεσσαλονίκης, καὶ ἔτει 1670-ῳ παραγενόμενος εἰς Ἱεροσόλυμα συνελειτούργησε μετὰ τοῦ τότε ἐπιτρόπου τοῦ πατριάρχου Δοσιθέου, Νεκταρίου τοῦ πρώην Ἱεροσολύμων πατριάρχου, τῇ Μεγάλῃ Πέμπτῃ, ὅτε καὶ μετέσχε τῆς κατασκευῆς ἁγίου μύρου. Διατρίβων δ' ἐν τῇ Ἁγίᾳ Πόλει «προσήνεγκε καὶ ἀφιερώσατο τῷ Κοινῷ τοῦ Παναγίου Τάφου, εἰς μνημόσυνον αὐτοῦ αἰώνιον καὶ ψυχικὴν σωτηρίαν, δέκα χιλιάδας γροσίων, ἐντειλάμενος, ἵνα ὁ τόκος αὐτῶν δαπανᾶται εἰς κατασκευὴν ἄρτων λευκῶν καὶ καθαρῶν (τῶν κοινῶς προσφόρων καλουμένων), διανεμομένων κατὰ πᾶν Σάββατον ὅλου τοῦ ἐνιαυτοῦ τοῖς τε ἐν τῷ μοναστηρίῳ εὑρισκομένοις Ἁγιοταφίταις πατράσι καὶ τοῖς ἐν τοῖς λοιπαῖς μοναῖς τε καὶ ἐκκλησίαις, τοῖς μὲν πρὸς μικρὰν γοῦν παραμυθίαν, τοῖς δ' αὖθις πρὸς ὁλοκάρπωσιν καὶ προσφορὰν τῷ Κυρίῳ· τοῦθ' ὅπερ ἔτι δεῦρο ἀκριβῶς καὶ ἀπαραβάτως διατετήρηται, σεμνυνομένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἀδιαλείπτως μετὰ τῶν τῆς Ἁγίας Πόλεως ἀειμνήστων πατριαρχῶν» ἐν ταῖς ἱεραῖς λειτουργίαις. Γρηγορίου Παλαμᾶ Ἱεροσολυμιάς, ἤτοι σύντομος ἱστορία τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. Ἐν Ἱεροσολύμοις 1864, σελ. φλζ'.

Σελ. 73, γρ. 12. Τὰ τῆς ἐκλογῆς Χρυσάνθου τοῦ Νοταρᾶ, διὰ τὸν πατριαρχικὸν θρόνον τῆς Ἱερουσαλήμ, ἀφηγεῖται γράμμα

τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως ἐγκύκλιον, συντεταγμένον ἔτει 1707-ῳ, ἐπὶ πατριάρχου Γαβριὴλ τοῦ γ'· οὗτινος ἀντίγραφον ὑπάρχει ἐν τῷ κώδικι τοῦ Κριτίου, τῷ ἐν τοῖς ἀρχείοις τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως, σελ. 25 κἑ [1]. Τὸ γράμμα τοῦτο τύποις ἦν ἀνέκδοτον· ἐξ ἀντιγραφῆς δὲ τοῦ κ. Χρήστου Παπαϊωάννου παρατίθεται κατὰ λέξιν ὧδε. «Ὑπόμνημα διεξοδικώτατον ἅμα καὶ τεχνικώτατον Χρυσάνθου, καὶ δηλοποιοῦν τὰς αἰτίας, δι' ἃς ὁ ἐν Κωνσταντινουπόλει (πατριαρχικὸς) θρόνος μετὰ τῆς περὶ αὐτὸν Συνόδου ἀντελάβετο ἀδελφικῇ ἀγάπῃ τοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ πεποίηκε τὰς ψήφους τοῦ αὐτοῦ Χρυσάνθου, μετὰ τὴν ἀποβίωσιν τοῦ μακαρίτου Δοσιθέου, ἐνταῦθα, ἐν Κωνσταντινουπόλει· φαίνεται δὲ τὸ παρὸν πόνημα εἶναι τοῦ μακαρίτου ἐξ ἀπορρήτων πρώτου Ἀλεξάνδρου, ἐκ τῆς τοῦ λόγου δεινότητος καὶ τοῦ κάλλους τῶν νοημάτων· ἐγένετο δὲ εἰς εἶδος γράμματος σιγιλλιώδους καὶ τοῖς πᾶσιν ἐξαγγελτικοῦ.—Ἡ ἐνιαία πηγὴ τῆς ζωῆς, ἡ μοναδικὴ τῆς ἀγαθότητος οὐσία, ἡ ἀρχικωτάτη τῶν ὄντων ἀρχὴ καὶ αἰτία, ἡ τὸ εἶναι καὶ τὸ εὖ εἶναι τοῖς οὖσι χορηγοῦσα δι' ἄκραν ἀγαθότητα, ὁ ἐν τρισὶ προσώποις ἀδιαιρέτως ὑμνούμενος καὶ ἐν μονάδι φύσεως ἀσυγχύτως αἰνούμενος Θεὸς ἡμῶν ἐν εὐρύθμῳ ἀριθμῷ τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν συνιστῶν, ἐν αὐτῇ ὅμως τῇ πληθύι σῴζει τὸ ἑνιαῖον αὐτῆς· θέλει γὰρ τὴν λογικὴν σωτηρίαν ἡμῶν. Τῆς δὲ σωτηρίας οὐχ ἑτέρως γίγνεσθαι δυναμένης, εἰ μὴ διὰ τῆς πρὸς αὐτὸν ὡς ἐφικτὸν ὁμοιώσεως καὶ ἑνώσεως τῶν σῳζομένων, ἐχομένως τὰ μέρη τῆς ἐκκλησίας ἑνοποιεῖ πρὸς ἄλληλα καὶ διὰ τῆς ἀγάπης εἰς ὁμόνουν καὶ σύμπνουν συμφυΐαν τὴν κατ' αὐτὴν ὁλομέλειαν συνάπτει καὶ συναπαρτίζει. Καὶ δὴ καὶ ἑαυτῷ τῷ πρὸς αὐτὸν ἀνατεινομένῳ καὶ ἡμᾶς ἀνατείνοντι τῶν καλῶν ἔρωτι αὐτὴν ἑνίζει καὶ συμπτύσσων ὑπερφυῶς τὰς διαιρέσεις καὶ τὰς ἑτερότητας εἰς ἑνοειδῆ καὶ θείαν ἀποτελειοῖ ζωήν, ἕξιν τε καὶ ἐνέργειαν. Ὅτου χάριν καὶ ὁ ὑπερούσιος λόγος τοῦ ἀνάρχου πατρός, ὁ θεόφυτος βλαστὸς τῆς πηγαίας καὶ θεογόνου θεότητος, ὁ διὰ τὴν ἡμετέραν ἀνόρθωσιν σάρκα φορέσας καὶ διὰ τοῦ ἰδίου θανάτου τὴν εἰς φθορὰν ἀπορρυεῖσαν φύσιν ἀναζωογονήσας, πολλοὺς ἀνα-

[1] Ὅρα περὶ τοῦ κώδικος τούτου Μηνᾶ Χαμουδοπούλου μνημείων γραπτῶν περισυναγωγὴν ἐν τῇ Ἐκκλησ. Ἀληθείᾳ II, 1882, σ. 491.

λαμβάνει μαθητὰς καὶ πολλοῖς μέρεσι κατακαλλύνει τὴν αὐτοῦ ἐκκλησίαν· ἀλλ' οὖν πᾶσαν διάστασιν καὶ διαίρεσιν ἀποκρίνων αὐτοὺς ἑνίζει καὶ ἑαυτῷ καὶ ἀλλήλοις τῷ λόγῳ τῆς ἀγάπης ἐνοειδῆ τελειότητα συναπαρτίζει· "ἐν τούτῳ γάρ", φησί, "γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους" (Ἰωάν. ιγ', 35). Ἔνθεν τοι, τὴν ἀγάπην ὥσπερ μεγάτιμον παρακαταθήκην καὶ πολυτελῆ κλῆρον καὶ πάντων κειμηλίων ὑπερτέραν πρὸς ἀλλήλους διατηροῦντες οἱ ἀπόστολοι, ἀλληλοδιαδόχῳ μεταδόσει καὶ μεταλήψει τοῖς μετ' αὐτοὺς μέχρι καὶ εἰς ἡμᾶς οἱονεὶ ἀρραγῆ καὶ ἀδιάλυτον σύνδεσμον παρεπέμψαντο. Καὶ μὴν καὶ οἱ πρὸ ἡμῶν προστατεύσαντες τῶν κατὰ τὴν ὑφ' ἥλιον ἁγίων ἐκκλησιῶν διὰ τῆς ἐν ἁγίῳ πνεύματι ἀγάπης εἰς μίαν σύμπνοιαν καὶ ξυμφυΐαν πνευματικῶς ἑνούμενοι ἀλλήλων ἀντελαμβάνοντο καὶ κατὰ τὰς ἀνακυπτούσας χρείας τὰ βάρη πασῶν πάντες ἀντισηκοῦν οὐκ ὤκνουν, ἀλλ' ὅλῳ σθένει τοῖς χρῄζουσιν ἀρρωγὴν καὶ βοήθειαν προθύμως παρέχοντες διετέλουν, καὶ καταπονουμένῳ ἀδελφῷ ἐπικουρίας ὀρέγοντες χεῖρα τὸν δεσμὸν τῆς ἑνώσεως ἄρρηκτον καὶ ἀδιάσπαστον συνεφύλαττον. Καὶ πάντων δὲ ἄριστα ὁ τῶν ἄλλων ὑπερκείμενος ἁγιώτατος ἀποστολικὸς οἰκουμενικὸς οὗτοσὶ θρόνος διακαοῦς φιλαδελφίας ἐπιδείξεσι τὸν ἀπὸ σπλάγχνων ἀπονέμων οἶκτον ταῖς ἀνὰ μέρος παροικίαις κατὰ διαφόρους καιροὺς καὶ τρόπους λαμπρὰν ἀποδοῦναι ἐπικουρίαν καὶ τῇ ἀπωθήσει τῶν ἐπιόντων δεινῶν βαθεῖαν προμνηστεύσασθαι γαλήνην ἀνενδότως ἐπεμελεῖτο. Καὶ δῆτα οἱ τοὺς οἴακας τῆς Μεγάλης Ἐκκλησίας πρὸ ἡμῶν διιθύναντες ἁγιώτατοι πατριάρχαι μάλιστα κατὰ ταυτηνὶ τοῦ χρόνου τὴν ἐσχατιὰν τῶν ἀποστολικῶν πατριαρχικῶν θρόνων τῶν κατὰ πόλεις Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, εἰς ἀδελφικὴν ἀντίληψιν, ἀπὸ τοῦ καιροῦ καὶ τῶν πραγμάτων παροτρυνόμενοι καὶ τῆς ἐν τῇ καθόλου ἐκκλησίᾳ συμφυΐας καὶ ὁμονοίας μέγιστον λόγον ποιούμενοι καὶ ἐξαίσιον ἀεὶ φροντίδα καταβάλλοντες τῇ μετὰ προθυμίας καὶ διακαοῦς διαθέσεως προμηθείᾳ καὶ βοηθείᾳ πᾶν μέτρον ἀγάπης ἀπεπληρώσαντο. Ἀμέλει καὶ ἡ μετριότης ἡμῶν τῇ ἐξ ὕψους προνοίᾳ καὶ χάριτι τὴν Μεγάλην Ἐκκλησίαν

ταχθεῖσα πηδαλιουχεῖν, καὶ διὰ τοῦτο παντὸς χριστωνύμου πληρώματος ὀφείλουσα πνευματικῶς προνοεῖσθαι, φροντίζει μὲν συντόνως, ὅπως πάντα τὰ ἐν τῇ τοῦ Χριστοῦ ἁγίᾳ ἐκκλησίᾳ τοῖς κατ' αὐτὴν ὑπαντιάζοντα, κάλλιστα διιθυνόμενα καὶ τῷ θείῳ θελήματι ταλαντευόμενα καὶ ζυγοστατούμενα, εὐπαράδεκτα γένηται τῷ Κυρίῳ, συντονώτατα δὲ τὴν σπουδὴν ἐπὶ τῇ διηνεκεῖ διαμονῇ τῆς ἐν αὐτῇ συμπνοίας καὶ ἑνότητος καὶ ὁλοκληρίας ἐπανατείνεται, ὅθεν οὐδενὸς φειδομένη, πάντα πόνον ἀνατλῶσα νυσταγμὸν τοῖς βλεφάροις οὐ λαμβάνουσα, ἀλλὰ διόλου νήφουσα καὶ ἐπαγρυπνοῦσα, τὰ μὲν εἰς διάστασιν καὶ διάσπασιν καὶ διαφθορὰν τείνειν ὑπονοούμενα τῷ θώρακι τοῦ πνεύματος φραγνυμένη παντὶ σθένει διείργει καὶ ἀποκρούεται, τὰ δὲ τὴν ξυμφυΐαν συνιστῶντα πάσῃ προνοίᾳ καὶ προμηθείᾳ περιποιεῖται καὶ περιθάλπει, ἀρίστης εὐταξίας παραίτιον καὶ τῶν ἀγαθῶν πηγὴν τὴν ἐν πνεύματι συνάφειαν καὶ ὁμοφροσύνην καὶ ἀγάπην, καὶ ἐπὶ ταύτῃ μιᾷ καὶ μόνῃ ἐρηρεῖσθαι τὴν τοῦ Χριστοῦ ἐκκλησίαν καλῶς εἰδυῖα καὶ διδάσκουσα, ὥστε, εὐδοκοῦντος οὕτω τοῦ Θεοῦ, πύλας ᾅδου αὐτῆς οὐ κατισχύσαι. Ἐπειδὴ τοίνυν ὁ ἐν μακαρίᾳ τῇ λήξει ἁγιώτατος πατριάρχης Ἱεροσολύμων κῦρ Δοσίθεος διὰ πολλῶν χρόνων θεαρέστως τοῦ τῇδε ἀποστολικοῦ θρόνου προστατεύσας, καὶ ἀρετῇ καὶ σοφίᾳ διαπρέψας, καὶ πολλαῖς μὲν περιστάσεσι διὰ τὰς τῶν ἀντιδοξούντων ἐπιβουλὰς πολλάκις ἐνσχεθείς, πολλῇ δὲ τῇ ἐξ ὕψους εὐμενείᾳ καὶ τῷ πλούτῳ τῶν ἀρετῶν, αἷς ἐκεκόσμητο, πάντων τῶν ἀντικειμένων ὑπέρτερος ἀναφανεὶς καὶ ἀρρενωπῷ καὶ γενναίῳ φρονήματι μυρίους καμάτους ὑποστησάμενος, τῷ μὲν ῥηθέντι θρόνῳ ταῖς ἀξιαγάστοις αὐτοῦ μερίμναις καὶ πράξεσι μεγάλην ὠφέλειαν καὶ ἐπίδοσιν, μεγάλην δὲ εὐδοξίαν καὶ εὔκλειαν ἑαυτῷ περιῆψε, καὶ τοῦ τρόπου δὲ καὶ τοῦ λόγου τῇ διδασκαλίᾳ τῷ χριστωνύμῳ πληρώματι οὐκ ὀλίγην προκοπὴν καὶ ἐπίδοσιν προξενήσας ἀθανάτου καὶ ἀιδίου μνήμης ἠξίωται. Ἀλλὰ τῶν ἐν τῷδε τῷ βίῳ ἐπικήρων ὄντων, γήρᾳ προβεβηκὼς κατὰ τὴν ἐν τῇ Βασιλευούσῃ ταύτῃ πόλει διατριβὴν χαλεπῇ νόσῳ τρυχωθεὶς καὶ πρὸς τῷ τέλει τοῦ βίου γενόμενος ἑαυτοῦ τε μεγάλην ἐποιήσατο πρόνοιαν, καὶ ἀπὸ μέσης ψυχῆς εἰς εὐλάβειαν

ἐκκεχυμένος, πάνθ' ὁπόσα παρὰ τῶν ἐκδημούντων τῶν ὧδε ἡ καθ' ἡμᾶς ἀμώμητος ἁγιστεία ψυχωφελῶς ἀπαιτεῖ μετὰ διαπύρου κατανύξεως ἐκτελέσας, ἀρίστην τῇ ἑαυτοῦ πολιτείᾳ ἀπέθετο σφραγῖδα· συνάμα δὲ τῆς ἀγαθῆς καταστάσεως καὶ κυβερνήσεως τοῦ ἐν Ἱεροσολύμοις ἀποστολικοῦ θρόνου προμήθειαν ποιούμενος διὰ κωδικέλλου, τῇ ἰδίᾳ ὑπογραφῇ κατησφαλισμένου, τὴν ἑαυτοῦ προμεμελετημένην γνώμην καθαρῶς ἐνεφάνισε τῇ καθ' ἡμᾶς ἁγίᾳ Συνόδῳ καὶ τὰ εἰς σύστασιν αὐτοῦ συντείνοντα μετὰ μεγάλου ζήλου παρεδήλωσεν, ἀξιώσας ἡμᾶς καὶ ἐνόρκως παρακαλέσας, ὅπως, οὕτω τῷ κρείττονι δόξαντος, μετὰ τὴν αὐτοῦ ἀποβίωσιν ἥκιστα ξυγχωρηθῇ γενέσθαι ἀλλοτρίου προσώπου παρεγχώρησις, ἀλλὰ μηδεμιᾶς παρερπυσάσης ὑπερθέσεως ἐκ τῶν τελούντων ὑπὸ τὸν θρόνον Ἱεροσολύμων ὁ ἁρμοδιώτατος καὶ ἱκανώτατος ἐκλεγεὶς τῆς προστασίας αὐτοῦ ἐπιλάβηται. Ὅθεν μετὰ τὴν ἐκείνου εἰς τὰς αἰωνίους μονὰς μετάστασιν αὐτίκα, ποιμένα καὶ προστάτην ἀπαιτούσης τῆς νῦν ἐν Ἱεροσολύμοις ἁγίας ἐκκλησίας, διὰ τὴν ἀπωτάτω διάστασιν τοῦ ἐν αὐτοῖς ἱεροῦ συλλόγου καὶ τὴν εἰς ἀποκατάστασιν καὶ προβιβασμὸν ἑτέρου τινὸς τό γε νῦν ἔχον ὑπὸ τῆς ἐν Ἱεροσολύμοις ἱεραρχικῆς συνόδου ὅτι τάχιστα, ὡς ἀπαιτεῖ ἡ χρεία, ἀδυναμίαν καὶ ἀμηχανίαν, ἔγνωμεν οὐκ εἰς ἀναβολὰς ἀποταμιευθῆναι τὸ πρᾶγμα, ἀλλὰ τῷ λόγῳ τῆς καθόλου συμπνοίας καὶ συμφυΐας καὶ τῷ ἔρωτι τῆς ἀδιαιρέτου συναφείας καὶ τῆς ἐν ἁγίῳ πνεύματι ἑνότητος τῆς καθολικῆς ἐκκλησίας προσαναφλεγόμενοι, πρόνοιαν αὐτίκα ποιήσασθαι προειλόμεθα τοῦ ἐν ἀγάπῃ καὶ ἀδελφότητι ἡμῖν ἡνωμένου ἀποστολικοῦ θρόνου, τοῦ καὶ μονονουχὶ χεῖρας ἀνατείνοντος καὶ γεγωνοτέρᾳ φωνῇ τήνδε τὴν παρ' ἡμῶν βοήθειαν καὶ ἐπικουρίαν προσλιπαροῦντος, ἵνα μή, ὡς εἴπομεν, διὰ τὴν τῶν τόπων μακρὰν διάστασιν καὶ τὰς εἰωθείας τῇ παρολκῇ τοῦ χρόνου προσεπιφύεσθαι ἀνωμαλίας ἀπρόσφυλόν τι συμβῇ καὶ ἀπαίσιον καὶ βλάβην αὐτῷ ἐπενέγκῃ ἀθεράπευτον· πρὸς δὲ καὶ τὴν προσήκουσαν ἀνέκαθεν τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ πρὸς τὰς λοιπὰς κηδεμονίαν ἀνελλειπῶς πληροῦντες καὶ πνευματικῆς ἀγάπης τὸ καθῆκον ἀποδιδόντες, ἔτι δὲ

*

καὶ τοῦ καιροῦ τὴν ἐπηωρημένην ἀνάγκην ἰώμενοι, κατὰ τὴν ἐν τῷ ῥηθέντι κωδικέλλῳ γενομένην προτροπήν, ἐπ' ἐκλογῇ ἀξίου προσώπου τοῦ ἀναδεξομένου τοὺς οἴακας τῆς ἐν Ἱεροσολύμοις ἀποστολικῆς καθέδρας, νόμιμον καὶ κανονικὴν σύνοδον συνεστήσαμεν· ἐν ᾗ, προκαθημένης τῆς ἡμετέρας μετριότητος καὶ τῇ ἐπικλήσει τοῦ παναγίου πνεύματος διευθετούσης αὐτήν, καὶ παρεδρεύοντος αὐτῇ τοῦ μακαριωτάτου πατριάρχου πρώην Ἀντιοχείας καὶ προέδρου Κύπρου κῦρ Ἀθανασίου, καὶ συμπαρόντων τῶν παρατυχόντων ὧδε ἱερωτάτων μητροπολιτῶν, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ ὁμογνωμονοῦντος καὶ συνᾴδοντος τοῦ ἐκλαμπροτάτου ἐξοχωτάτου καὶ σοφωτάτου αὐθέντου πρώην μεγάλου λογοθέτου τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἐξ ἀπορρήτων τῆς κραταιᾶς βασιλείας κυρίου Ἀλεξάνδρου, τοῦ κατὰ πνεῦμα ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, συναινοῦντος δὲ καὶ τοῦ κλήρου παντὸς καὶ πάντων τῶν ἀρχόντων καὶ τῶν παρευρεθέντων ἐνταῦθα ὁσιωτάτων πνευματικῶν καὶ πατέρων τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων, καὶ τῶν ἐπιτρόπων τοῦ Ζωοδόχου Τάφου συνευφημούντων, γενομένης συνοδικῆς σκέψεως περὶ ἐκλογῆς ἀξιολόγου προσώπου ἐκ τῶν ἤδη τελούντων ὑπὸ τὸν θρόνον Ἱεροσολύμων, ἔδοξε τῶν λοιπῶν προέχειν καὶ πολλῷ τῷ μέσῳ ὑπερτερεῖν ὁ ἱερώτατος καὶ σοφολογιώτατος μητροπολίτης Καισαρείας τῆς Παλαιστίνης κῦρ Χρύσανθος, ἀνὴρ ἐξ ἁπαλῆς ἡλικίας τὸν μονήρη βίον ἀνηρημένος καὶ ἐν κόλποις τῆς ἐν Ἱεροσολύμοις ἁγίας ἐκκλησίας ἐντεθραμμένος καὶ διὰ πολλῶν χρόνων ἐνησκημένος πράξει καὶ θεωρίᾳ, καὶ μὴ μόνον τῇ θύραθεν φιλοσοφίᾳ, ἀλλὰ καὶ τῇ καθ' ἡμᾶς θεοσόφῳ παιδείᾳ κεκοσμημένος, καὶ ἱκανώτατος τοῦτο μὲν τῷ καθ' αὐτὸν βίῳ ὑπογραμμὸς γενέσθαι χριστιανικῆς διαγωγῆς τοῖς ὑπ' αὐτόν, τοῦτο δὲ τῇ τοῦ λόγου σάλπιγγι τρανῶς διακηρῦξαι τὰς Θείας Γραφάς, γενναῖος τὸ φρόνημα, πρᾷος τὸ ἦθος, προσηνὴς τὸν τρόπον, προσέτι διὰ μακροῦ χρόνου ὑπουργήσας τῷ Ζωοδόχῳ Τάφῳ καὶ ὁτὲ μὲν τῷ ἀοιδίμῳ πατριάρχῃ κῦρ Δοσιθέῳ τῷ καὶ θείῳ αὐτοῦ παρακολουθῶν καὶ

ταῖς ἐκείνου πνευματικαῖς ὑποθήκαις ὑπέχων τὰ ὦτα καὶ διὰ τὸ γῆρας ἀσθενοῦντα νεανικῶς ὑποστηρίζων, ὁτὲ δὲ τῆς ὁδοιπορίας τοὺς καμάτους εἰς ἑαυτὸν ἀναλαμβάνων καὶ πόνοις ἰδίοις ταῖς ἀνάγκαις τῶν ἀδελφῶν ψυχαγωγία εὑρισκόμενος, καὶ ἵνα συλλήβδην εἴπω μετὰ τοῦ σκεύους τῆς ἐκλογῆς, ἀνεπίληπτος, κόσμιος, διδακτικός, σώφρων, νηφάλιος (Τίτ. 1, γ' 2), πρὸς δὲ καὶ δυνάμενος συμφυλάξαι καὶ περιφρουρῆσαι τὸν κόσμον καὶ τὴν καλλονὴν τῆς ἐκεῖ ἐκκλησίας, ἔτι δὲ καὶ πάσαις ὑπηρετῆσαι ταῖς χρείαις κἀπὶ τὸ κρεῖττον ἀνορθῶσαι τὰ μετὰ χεῖρας, καὶ ἑνὶ ἔπει κατὰ πάντα ἄξιος ἀναδέξασθαι ταύτην τὴν προστασίαν. Διὸ καὶ τοῖς παρευρεθεῖσιν ἱερωτάτοις μητροπολίταις, τοῖς ἀγαπητοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς, δεδώκαμεν ἄδειαν ψήφους κανονικὰς προβαλέσθαι, κατὰ τὴν ἔκπαλαι ἐκκλησιαστικὴν διατύπωσιν· ὧν καὶ τῇ χάριτι τοῦ παναγίου πνεύματος γεγενημένων, καὶ δῆτα συνευφημούντων καὶ πνευματικῶς συναγαλλιωμένων καὶ τῷ Κυρίῳ αἴνους ἀναφερόντων ἁπάντων, ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης κῦρ Χρύσανθος ἀπὸ τῆς ἁγιωτάτης μητροπόλεως Καισαρείας λόγῳ μεταθέσεως προεβιβάσθη εἰς τὸν ἀποστολικὸν πατριαρχικὸν τῶν Ἱεροσολύμων θρόνον καὶ κοινῇ ἐκλογῇ καὶ ὁμογνώμονι ψήφῳ ἀποκατέστη γνήσιος αὐτοῦ πατριάρχης. Ἡ δὲ μετριότης ἡμῶν τῇ ἐξ ὕψους χάριτι ταῦτα καλῶς εὐθετήσασα καὶ τοῦδε προνενόηται, ἵνα εἰς ἀνεξίτηλον μνήμην τὸ γεγονὸς ὁσίως καὶ ἐννόμως ἅπασι παραδηλώσῃ καὶ εἰς τὸν ἔπειτα χρόνον παραπέμψῃ· εὔλογον γὰρ τὰ καλῶς οἰκονομηθέντα καὶ θεαρέστως χωρήσαντα καὶ τελεσθέντα, ἅτε δεσμοῖς ἀρραγέσι τὸ ἐνιαῖον τῆς καθόλου ἐκκλησίας συντηροῦντα, μετὰ καὶ τοῦ τὰ ἀνέκαθεν ὁρισθέντα ἑκάστῳ θρόνῳ προνόμια ἀπαρατρέπτως καὶ ἀπαραχαράκτως συμφυλαχθῆναι, εἰς διηνεκὲς ὁμονοίας ἅμα καὶ εὐταξίας ὑπόμνημα, διὰ τοῦ παρόντος συνοδικοῦ σιγιλλιώδους γράμματος τοῖς μεθ' ἡμᾶς πᾶσιν ὀρθοδόξοις ἐκτεθεῖσθαι καὶ συνδιατετηρῆσθαι, ὑμᾶς δὲ πατρικῶς καὶ φιλοστόργως παροτρύναι, ὅπως τῷ μακαριωτάτῳ καὶ σοφολογιωτάτῳ πατριάρχῃ Ἱεροσολύμων κῦρ Χρυσάνθῳ, τῷ ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ, τὴν ὀφειλομένην εὐλάβειαν καὶ

